C
00 k
Ba. 213 c, 2.
(G. H. 327. b)

PINDARI
CARMINA
ET
FRAGMENTA
GRAECE

CVM SCHOLIIS INTEGRIS
EMENDATIVS EDIDIT
VARIETATEM LECTIONIS
ADNOTATIONEM CRITICAM
ET INDICES
ADIECIT
CHRISTIANVS DANIEL BECKIVS

Stadt-Gymnasium zu HALLE a/S.

TOMVS SECVNDVS
PYTHIA, NEMEA

LIPSIAE
APVD G. E. BEERIVM
cIↃIↃccxcv

Universitäts- u. Landesbibliothek Halle (Saale)

Ὑπόθεσις τῶν Πυθίων.

Ὁ τῶν Πυθίων ἀγὼν ἐτέθη μὲν πρότερος τῶν Ἰσθμίων πολλοῖς ἔτεσιν. ἡ δὲ αἰτία τοιαύτη μυθολογεῖται περὶ αὐτῶν. Λητὼ γὰρ ἡ Κοίου, τοῦ Οὐρανοῦ καὶ Γῆς, καὶ Φοίβης, τῆς Κρόνου, ἢ ὁ Ζεὺς ἐμίγη ὄρτυγι εἰκασθείς, ἔγκυος γινομένη, ὠδίνεν ἐπὶ τοῦ Ζωστῆρος τῆς Ἀττικῆς· τίκτει τε Ἄρτεμιν καὶ Φοῖβον ἐν Δήλῳ, τῇ πρότερον Ὀρτυγία καλουμένῃ. ἡ μὲν δὴ Ἄρτεμις αὐξηθεῖσα ἦλθεν εἰς Κρήτην, καὶ τὸ Δικτύνιον ὄρος κατέσχεν· Ἀπόλλων δὲ ἐν Λυκίᾳ· τῇ δὲ μητρὶ τὴν Δῆλον ἀπένειμαν. ἔρχεται τοίνυν εἰς Δελφοὺς ὁ Ἀπόλλων, Πυθῶνι τὰς βοῦς νέμων. Ἑρμῆς δὲ χέλυν εὑρὼν τετράχορδον, λίνα ἀντὶ χορδῶν ἐνημμένην, ἐπειδὴ ὅπω ἡ τῶν νευρῶν χρῆσις εὕρητο, καὶ ἀλοὺς τὰς τοῦ Ἀπόλλωνος βοῦς κλέπτων, ἀντὶ τῆς κλοπῆς τὴν χέλυν δίδωσι τῷ Ἀπόλλωνι, λαβὼν παρ' αὐτοῦ τὸ κηρύκειον. ἐπτάφθογγον δὲ αὐτὴν ἐποίησεν, ἁρμοσάμενος πρὸς τὴν τοῦ Πανὸς σύριγγα, ἀ τοῦ Ἑρμοῦ καὶ Πηνελόπης, ἀλλὰ τοῦ Διὸς καὶ Θύμβρεως· ἢ τάχα ἑπτὰ φθόγγοις αὐτὴν ἐκέρασε, διὰ τὸ αὐτὸν ἑπταμηνιαῖον γεγενῆσθαι. δοκεῖ δὲ ἕτος τὰ λίνα ἐξελὼν, τοῖς νεύροις ἐντεῖναι τὴν λύραν. ὅθεν καὶ λέγεται λίνον εὑρηκέναι. ἔμαθε δὲ καὶ τὴν μαντικὴν τέχνην ὑπὸ τοῦ Πανός. ἕτος γὰρ τοῖς Ἀρκάσι θεμιστεύει πᾶσιν ἐπιμελῶς. εἶτα ἔρχεται ἐπὶ τὸ μαντεῖον, ἐν

ᾧ πρώτη Νὺξ ἐχρησμώδησεν, εἶτα Θέμις. Πυθῶνος δὲ τότε κυριεύσαντος τῆ προφητικῆ τρίποδος, ἐν ᾧ πρῶτος Διόνυσος ἐθεμίστευσε, καὶ ἀποκτείνας τὸν ὄφιν τὸν Πυθῶνα, ἀγωνίζεται τὸν Πυθικὸν ἀγῶνα κατὰ ἑβδόμην ἡμέραν· πεῖραν μὲν, ὅτι ἀπεπειράθη τῆς κατὰ τὸ θηρίον μάχης· ἴαμβον δὲ, διὰ τὴν λοιδορίαν τὴν γενομένην αὐτῷ πρὸ τῆς μάχης· λέγεται γὰρ ἰαμβίζειν τὸ λοιδορεῖν· δάκτυλον δὲ, ἀπὸ Διονύσε, ὅτι πρῶτος ἔτος δοκεῖ μετὰ τῆ τρίποδος θεμιτεῦσαι· Κρητικὸν δὲ, ἀπὸ Διός· μητρῷον δὲ, ὅτι Γῆς ἐστι τὸ μαντεῖον· σύριγμα, δὲ διὰ τὸν τῆ ὄφεως συριγμόν. ἔτω μὲν ἂν κατέστη πρῶτον ὁ τῶν Πυθίων ἀγών. μετὰ δὲ ταῦτα, Κρίσσης κτισθείσης ἐπὶ τὸ γενὸν τῆς εἰς Δελφὲς ἀγέσης ὁδῆ, καὶ πολλὰ τῶν Κρισσαίων ἐργαζομένων ἐπὶ τὲς Ἕλληνας, καὶ ἀποσυλάντων τὲς ἐπὶ τὸ χρηστήριον βαδίζοντας, οἱ Ἀμφικτύονες ἐλθόντες εἰς τὴν Κρίσσαν μετὰ τῶν ἄλλων συμμάχων, καὶ κύριοι αὐτῶν γενόμενοι διέθηκαν ἕτερον ἀγῶνα, ἐν ᾧ καὶ αὐληταὶ ἠγωνίσαντο. οἱ δὲ τὸν γυμνικὸν ἀγῶνα νικήσαντες εἰσὶν ἕτοι, ὅτε Ἀπόλλων ἔθηκε Πύθια, ἐν τῷ τῆ Πυθῶνος ἀγῶνι· Κάστωρ σάδιον, πὺξ Πολυδεύκης, δολιχὸν Καλαΐς, ὁπλίτην Ζήτης, δίσκον Πηλεὺς πάλην Τελαμὼν, παγκράτιον Ἡρακλῆς· ἃς τῷ φυτῷ τῆς δάφνης ἐστεφάνωσεν.

Ἄλλως. ὑπόθεσις τῶν αὐτῶν.

Εὐρύλοχος ὁ Θεσσαλὸς καταπολεμήσας Κιρραίες ἀνεκτήσατο τὸν ἀγῶνα τῆ θεῆ· οἱ δὲ Κιρραῖοι ληστρικῇ ἐφόδῳ χρώμενοι ἐφόνευον τὲς παραβάλλοντας εἰς τὰ τῆ θεῆ ἄλση. περιεγένετο δὲ αὐτῶν ἐπὶ ἀρχοντος, Ἀθήνησι μὲν Σιμωνίδε, Δελφοῖς δὲ Γυλίδα. οἱ μὲν ἂν Κιρραῖοι εἰς τὴν παρακειμένην τῷ Παρνασσῷ Κίρφιν, ὄρος

ὄρος ἄτω καλέμενον, ἀπέφυγον, ὅσοι δὴ καὶ περιλειφθέντες ἐτύγχανον. καταλιπὼν δὲ ὁ Εὐρύλοχος ἐνίους τῶν Θεσσαλῶν μετὰ Ἱππίᾳ τᾷ στρατηγᾷ, ὥστε τὰς ὑπολοίπας χειρώσασθαι, ᾤχετο ἀνακτησόμενος τὸν ἀγῶνα, καὶ δὴ τᾶτον χρηματίτην μόνον ἔθετο. μετὰ δὲ χρόνον ἑξαετῆ καταγωνισαμένων τῶν λοιπῶν τὰς ὑπολελειμμένας τῶν Κιρραίων, ἐπὶ μὲν Ἀθήνησιν ἄρχοντος Δαμασίᾳ, ἐν δὲ Δελφοῖς Διοδώρᾳ, ὕστερον καὶ στεφανίτην ἔθεντο κατορθώσαντες. τὸν δὲ Εὐρύλοχον νέον ἐκάλεν Ἀχιλλέα, ὡς Εὐφορίων ἱστορεῖ·

Ὁπλοτέρᾳ τ' Ἀχιλῆος ἀκόμεν Εὐρυλόχοιο,
Δελφίδες ᾧ ὕπο καλὸν Ἰήϊον ἀνεβόησαν.

μόνων δε κιθαρῳδῶν ἀγωνιζομένων τοπαλαιὸν, ἐποίησεν ὁ Εὐρύλοχος καὶ τὰ ἕτερα ὑπάρχειν ἀγωνίσματα.

Ἄλλως.

Τὰ Πύθια ἐτέθη, ὡς μέν τινες, ἐπὶ τῷ δράκοντι, ὃν Φύλακα ὄντα τᾷ ἐν Δελφοῖς μαντείᾳ ὁ Ἀπόλλων ἔκτεινεν· ἐκλήθη δὲ ὁ ἀγὼν ἀπὸ τᾶ τόπᾳ· τῷ δὲ τόπῳ ἦν τὸ ὄνομα Πυθὼ, ἤτοι ἀπὸ τᾶ τὰς φοιτῶντας ἐπὶ τὸ μαντεῖον τᾷ θεᾷ πυνθάνεσθαι, ἢ διὰ τὸ σαπῆναι τὸ θηρίον αὐτόθι ἀναιρεθέν. πύθεσθαι γάρ ἐστι τὸ σήπεσθαι, ὡς παρ' Ὁμήρῳ (Odyss. α, 161.)· Λεῦκ' ὀστέα πύθεται ὄμβρῳ. καθαρθεὶς δὲ ὁ Ἀπόλλων τὸν τῆς δρακοντοκτονίας φόνον ἐν Κρήτῃ παρὰ Χρυσοθέμιδι, ἐκεῖθεν ἦλθεν εἰς τὰ Θεσσαλικὰ τέμπη, ἔνθεν μετεκομίσατο τὴν δάφνην. μέχρι δὲ πολλᾶ ἡ εἰς τὰς τῶν νικώντων στεφάνας χωρᾶσα δάφνη, ἐντεῦθεν ἐκομίζετο ὑπὸ παιδὸς ἀμφιθαλᾶς. ἐτελεῖτο δὲ ὁ ἀγὼν καταρχὰς μὲν διὰ ἐννατηρίδος· μετέπειτα δὲ εἰς πενταετηρίδα διὰ τὸ τὰς Παρνασίδας νύμφας

Ἀπόλλωνι κτείναντι τὸ θηρίον τὰς ἐν ταῖς χερσὶν ὀπώρας προσενεγκεῖν δῶρα. ἔκτισαν δὲ τὸν ἀγῶνα οἱ Ἀμφικτύονες, Εὐρυλόχῳ τῷ Θεσσαλῷ θέντος αὐτόν.

Ἄλλως.

Τὸν Πυθικὸν ἀγῶνα διέθηκεν Εὐρύλοχος ὁ Θεσσαλὸς σὺν τοῖς Ἀμφικτύοσι τὰς Κιρραίας καταπολεμήσας, ὡμάς τινας ὄντας καὶ βιαζομένας τὰς περιοίκους, ἐπὶ ἄρχοντος Δελφοῖς μὲν Γυλίδα, Ἀθήνησι δὲ Σίμωνος. καὶ νικήσας ἔθετο χρηματικὸν ἀγῶνα· χρήμασι γὰρ μόνοις τὰς νικήσαντας ἐτίμων, ἔπω στεφάνῳ ὄντος. ἔθετο δὲ ἀγῶνα κιθαρῳδικὸν ὥσπερ καὶ πρότερον· προσέθηκε δὲ αὐλητὴν καὶ αὐλῳδόν· καὶ τῶν Ἀμφικτυόνων στρατεύματος ἀναχωρήσαντος ὀλίγοι περιελείφθησαν, ὥστε τὴν Κίρφιν διαπορθῆσαι. ἡγεῖτο δὲ τῶν παραλειφθέντων Ἱππίας ὁ Θεσσαλός. καὶ ἔτει ἕκτῳ μετὰ τὴν τῆς Κίρρας ἅλωσιν, ἀνεκήρυξαν τῷ θεῷ τὸν στεφανίτην, ἐπὶ Διοδώρου μὲν ἄρχοντος Δελφοῖς, Ἀθήνησι δὲ Δαμάσιδος. ἀντίκειται δὲ ἐκ μεσημβρίας τῷ ὄρει τῷ Παρνασσῷ Κιρραῖον πεδίον, καὶ ὄρος, ὃ Κίρφιν καλοῦσιν, ἐν ᾧ μέσος ὁ Πλειστος ὀνομαζόμενος φέρεται ποταμός. καὶ ὅτι Εὐρύλοχος ὁ Θεσσαλὸς τὰς Κιρραίας ἐπόρθησε, μαρτυρεῖ καὶ Εὐφορίων·

Ὁπλοτέρῳ τ' Ἀχιλῆος ἀκόμεν Εὐρυλόχοιο,
Δελφίδες ᾧ ὕπο καλὸν Ἰηΐον ἀνεβόησαν
... πορθήσαντι λυκώρεος οἴκια Φοίβῳ.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τῷ πρώτῳ τῶν Πυθίων εἴδους.

Ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιβ'. Τὸ πρῶτον σύγκειται ἐκ διμέτρου τροχαϊκοῦ ἀκαταλήκτου.

Τὸ

Τὸ δεύτερον πενθημιμερὲς δακτυλικὸν, ὅμοιον τῷ (Hom. Il. α, 1.)· Μῆνιν ἄειδε θεά. Τὸ τρίτον ὀκτασύλλαβον Σαπφικὸν, ὧ τὸ πρῶτον ὅλον ἐκ Σαπφῦς γέγραπται. ἔστι δὲ μονόμετρον τροχαϊκὸν ἀκατάληκτον καὶ χοριαμβικόν. Τὸ τέταρτον Πινδαρικὸν ἐκ Σαπφικῦ. σύγκειται δὲ ἐκ τροχαϊκῆς συζυγίας, καὶ χοριαμβικῆς καὶ Ἰωνικῆς ἀπ' ἐλάσσονος, καὶ συλλαβῆς. Τὸ πέμπτον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τῦ πρώτε ποδὸς τῆς πρώτης συζυγίας διαφερόσης. Τὸ ἕκτον σύνθετον ἐκ τῦ λεγομένε προσοδιακῦ καὶ ἰαμβικῆς συζυγίας. Τὸ ἕβδομον Πινδαρικὸν ἐκ Σαπφικῦ, διαφέροντος τῦ τετάρτε, ὅτι ἐκεῖνο μὲν ὑπερκατάληκτον, τῦτο δὲ καταληκτικόν. Τὸ ὄγδοον τροχαϊκὸν τρίμετρον καταληκτικόν. Τὸ ἔννατον πενθημιμερὲς δακτυλικὸν, ὅμοιον τῷ· Μῆνιν ἄειδε θεά. Τὸ δέκατον ὅμοιον τῷ ἑβδόμῳ. Τὸ ἑνδέκατον προσοδιακὸν, παρὰ τὴν ἰαμβικὴν συζυγίαν. Τὸ δωδέκατον τροχαϊκὴ διποδία, ἅ ἐστι μονόμετρον.

Περὶ τῆς ἐπῳδῆς αὐτῆ. Ἡ δὲ ἐπῳδὸς κώλων πεντεκαίδεκα. Τὸ πρῶτον δακτυλικὸν τρίμετρον καταληκτικόν. Τὸ δεύτερον τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον. Τὸ τρίτον προσοδιακὸν δίμετρον ἀκατάληκτον, τῆς τελευταίας ἀδιαφόρε ὔσης. Τὸ τέταρτον κατὰ τὸ Πινδαρικὸν ἐκ Σαπφικῦ, διαφέρον τῦ τετάρτε, ὅτι ἐκεῖνο μὲν ὑπερκατάληκτον, τῦτο δὲ καταληκτικὸν, ὅμοιον τῷ ἑβδόμῳ καὶ τῷ δεκάτῳ τῆς στροφῆς. Τὸ πέμπτον δίμετρον τροχαϊκὸν ἀκατάληκτον, ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ ἕκτον δίμετρον τροχαϊκὸν βραχυκατάληκτον. Τὸ ἕβδομον προσοδιακὸν, ὅμοιον τῷ ἕκτῳ τῆς στροφῆς.

Τὸ ὄγδοον ὅμοιον τῷ τρίτῳ τῆς στροφῆς. Τὸ ἔννατον δίμετρον Ἰωνικὸν ἀπ' ἐλάσσονος καταληκτικόν. Τὸ δέκατον ὅμοιον (τῷ τετάρτῳ τῆς στροφῆς), ἐκείνῳ ὑπερκαταλήκτῳ ὄντος. Τὸ ἑνδέκατον δίμετρον τροχαϊκὸν ἀκατάληκτον, ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ δωδέκατον ὁμοίως. Τὸ τρισκαιδέκατον πενθημιμερὲς δακτυλικὸν, ὅμοιον τῷ· Μῆνιν ἄειδε θεά. Τὸ τεσσαρεσκαιδέκατον προσοδιακὸν, ὃ σύγκειται ἐξ Ἰωνικῆς ἀπ' ἐλάσσονος καὶ χοριαμβικῆς συζυγίας. Τὸ δέκατον πέμπτον δίμετρον τροχαϊκὸν ἀκατάληκτον, ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς.

ARGVMENTVM PRIMI CARMINIS.

O cithara Apollinis atque Musarum amica! te chorus cantoresque sequuntur; tu Iouis fulmen compescis (1 — 9); aquila Iouis sceptro insidens per te delinita obdormiscit (10 — 18); Mars adeo hastis sepositis somnum capit; deorum quoque mentes carminibus et cantu tuo mulcentur (19 — 24). Quos vero Iupiter non amat, Pieridum voce perturbantur omnes vbique et in mari et in terra, et Typhoeus sub terra, qui olim in Cilicia nutritus, nunc subiectus est Italiae campis, Siciliae montique Aetnae (25 — 39), vnde ignei fontes prorumpunt, qui interdiu fumum, noctu flammam ostentant (— 46). Eiicit vero monstrum illud flammas, mirum omnibus et visu et auditu, quomodo substratus monti pungatur (— 55). Ego vero tibi placere velim, Iupiter (respicitur ad v. 25), qui praees monti, vnde vrbs Aetna nomen habet, ab Hierone condita et in eius victoria Pythica renunciata (— 64. Scil. Hiero se Aetnaeum iussit proclamari victorem). Vt vero nautae inde, si ipsis sub initium nauigationis secundus contigit ventus, coniiciunt felicem fore ipsis reditum: ita haec victoria spem facit, Aetnam pluribus victoriis fore insignem (— 73). Tu, Apollo, huius vrbis memineris (— 78). A diis enim omnes humanae virtutes, sapientes homines, fortes et facundi proficiscuntur (— 82). — Illum ego virum (Hieronem)

laudaturus attingam ſcopum et aduerſarios vincam (— 86). Vtinam vero omne tempus felicitatem et opes ſeruet, aerumnarum obliuionem paret (— 90). Recordari enim Hiero poteſt, quantas ſuſtinuerit pugnas fortiter et glorioſe (— 96). Iam vero Philoctetae more bellum geſſit, quem neceſſitate vrgente etiam ſuperbus homo (Vlyſſes) demulſit blandis verbis. Narrant enim heroas veniſſe, Philocteten in Lemno inſula vulnere adflictum arceſſituros, qui quidem Ilium expugnauit, quamquam infirmus; ita enim in fatis fuit (— 108). Sic Hieroni etiam in poſterum deus reſtitutor adſit, eorum, quae optat, opportunitatem praebens (— 111). Muſa! apud Dinomenem (Hieronis filium) quoque cane quadrigarum praemium. Victoria patris non alienum eſt gaudium (— 115). Age, Aetnae regi (Ioui) gratum hymnum meditemur, cui (Ioui) nouam vrbem (Aetnam), Doricis legibus conſtitutam, dicauit Hiero (— 121). Etenim Pamphyli et Heraclidarum poſteri, qui olim ad Taygetum habitarunt (Peloponneſii), immanere Aegimii inſtitutis (Doricis) volebant Dorienſes, vbi occupauerant, e Pindo profecti, Amyclas, vicini Tyndaridarum (Spartanorum) facti bellicoſorum (121 — 129). Iupiter fac, vt et reges et ciues Aetnaei ſemper vere dicantur tali fortuna vti (— 134). Te iuuante rex populum ad concordiam perducat (— 136). Precor, Iupiter, vt Carthaginenſium et Etruſcorum tumultus (exercitus) domi ſe contineat (neque Siciliae quietem turbet), memor cladis naualis, quam (Etruſci) ad Cumas ab Hierone acceperunt, et illius, quam (Poeni) a Gelone paſſi ſunt,

qui

qui in mare demerſit iuuentutem, et Graeciam (Graecas Siciliae colonias) a ſeruitute liberauit (— 147). Athenienſium laudem a pugna Salaminia, Spartanorum a Plataeenſi, quibus Perſae victi ſunt, peto; ſed Dinomenis liberis (Geloni et Hieroni) laudes ſunt repetendae a pugna ad Himeram, vbi hoſtes (Poeni) fuſi ſunt (— 156). Si opportune multa paucis complexus dicas (vt ego Hieronis laudes breuiter percurri), minor reprehenſio hominum ſequitur, cum ſatietas (ex laudum nimia copia) facile obtundat (— 161). Gloria quidem ciuium, maxime in alienis laudibus, inuidos pungit; at noli a praeclare factis deſiſtere, Hiero! praeſtat inuidia premi quam miſeratione; iuſte populum guberna, et verax eſto! (— 168). Si quid perperam dictum fuerit, magnum habetur, a te profectum. Multis praees; multi teſtes certi vtriusque generis dictorum (et verorum et falſorum (— 172). Si laudari ſemper cupis, generoſam indolem ſeruans, ſumtibus noli parcere, ſed vela, vt gubernator, ventis expande. Caue ne decipiaris adulatorum blanditiis. (Non adulatorum vox, ſed) gloria poſt mortem ſola per hiſtoricos et poetas docet, qualis vita mortui vere fuerit (— 183). Non perit benefica Croeſi virtus (ſemper laudatur); at Phalarin, qui homines tauro aeneo excruciauit, ſemper mala premit fama, nec carminibus inter conuiuia celebratur (— 190). Bona fortuna vti, primum eſt praemium; bona fama ſecundum; qui vtrumque conſecutus eſt, ſummum obtinuit ornamentum.

ΠΙΝΔ. ΠΥΘΙΑ

ΕΙΔΟΣ α'.

ΙΕΡΩΝΙ ΑΙΤΝΑΙΩι ΗΣΥΡΑΚΟΥΣΙΩι

ΑΡΜΑΤΙ.

Σ. α'. Κ. ιβ'.

Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων

Σύνδι-

Πινδάρου Πύθια. Πύθια μὲν ἦν ἐκλήθη ὁ ἀγὼν ἀπὸ τόπου. τῷ δὲ τόπῳ ἦν τὸ ὄνομα Πυθώ, ἤτοι παρὰ τὸ πυνθάνεσθαι τὰς ἀφικνουμένους, ἢ παρὰ τὸ σήπεσθαι τὸν Πυθῶνα ἐν αὐτῇ. ἐκαλεῖτο δὲ πρότερον Νάπη, εἶτα Πετρήεσσα, εἶτα Κρίσσα, εἶτα Πυθώ.

Ἱέρωνι Αἰτναίῳ] γέγραπται μὲν ὁ ἐπινίκιος Ἱέρωνι, λέγεται δὲ ὁ Πίνδαρος ὕτως ἐπιβεβλῆσθαι, κατὰ Ἀρτέμονα τὸν ἱστορικόν, ὅτι δὴ αὐτῷ ὁ Ἱέρων χρυσῆν ὑπέσχετο κιθάραν. τὰ δὲ τοιαῦτα περιεργίας πεπλήρωται. οἰκειότατα γὰρ, Πυθίῳ ὄντος τοῦ ἀγῶνος, τὸν Θεὸν προσάπτην ὄντα ἀνυμνεῖ. Ὁ δὲ Ἱέρων ἄνωθεν Συρακούσιος ἦν. τὴν δὲ Κατάνην ἀνακτίσας, ὁμωνύμως τῷ παρακειμένῳ ὄρει Αἴτναν προσηγόρευσε, καὶ Αἰτναῖον ἑαυτὸν, κατὰ τὰς ἀγῶνας νικῶν, ἀνεκήρυξεν. ἐνίκησε δὲ ὁ Ἱέρων τὴν μὲν εἰκοστὴν ἕκτην Πυθιάδα καὶ τὴν ἑξῆς κέλητι, τὴν δὲ εἰκοστὴν ἐννάτην ἅρματι, εἰς ἣν ὁ ὑποκείμενος ἐπινίκιος τέτακται. ἔσχε δὲ ὁ Ἱέρων τὴν τῶν Συρακουσίων ἀρχὴν μετὰ τὴν τοῦ Γέλωνος, τοῦ ἀδελφοῦ, τελευτὴν τῇ ἑβδομηκοστῇ πέμπτῃ Ὀλυμπιάδι. τέφοντος δὲ δάφνῃ οἱ νικῶντες.

1. Χρυσέα φόρμιγξ] τινὲς χρυσῆν ὑποσχέσθαι φασὶ κιθάραν τὸν Ἱέρωνα τῷ Πινδάρῳ. διὸ καὶ ὁ ποιητὴς ὑπομιμνήσκων αὐτὸν τῆς ἐπαγγελίας, ἀπὸ τῆς κιθάρας ἤρξατο τοῦ προοιμίου. ἢ χρυσέα φόρμιγξ, ἀντὶ τοῦ, τιμία κιθάρα, ὡς (Hom. Il. XXII, 470.)· χρυσῆ Ἀφροδίτη.

Ἀπόλλωνος] ὑμάτην αὐτῷ παρέβλεπται, τὸ Ἀπόλλωνος (κτῆμα εἶναι) τὴν κιθάραν· ἀντὶ γὰρ τῆς τῶν βοῶν κλοπῆς παρ' Ἑρμοῦ πρῶτος ἐκτήσατο τὸ ὄργανον· ἢ Ἀπόλλωνος, διὰ τὸ τὸν Ἀπόλλωνα προκατάρχειν τοῦ χοροῦ τῶν Μουσῶν.

3. Σύν-

Σύνδικον Μοισᾶν κτέανον·
Τᾶς ἀκύει μὲν βάσις, ἀγλαΐας ἀρχὰ,
Πείθονται δ' ἀοιδοὶ σάμασιν,
Ἀγησιχόρων ὁπόταν τῶν Φροιμίων
Ἀμβολὰς τεύχῃς ἐλελιζομένα·
Καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
Ἄρεα.

3. Σύνδικον] συνῳδὸν, οἱονεὶ ἐκ ἐναντίον. ὁ δὲ Ἀπολλώνιος σύντροπον ἤκουσε τὸ σύνδικον. δίκη γὰρ ὁ τρόπος. ὡς καὶ Ὅμηρος (Od. XIX, 43.)· Αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν. ὁ δὲ νῦς· ὦ χρυσῆ κιθάρα, καὶ τῆ Ἀπόλλωνος κτῆμα καὶ τῶν μελανοπλοκάμων Μουσῶν σύνδικον, ἤγουν, συνῳδὸν καὶ σύντροπον, παρόσον ὁ μὲν Ἀπόλλων τῇ κιθάρᾳ τῶν ᾠδῶν προκαθηγεῖται τῶν Μουσῶν, αὗται δὲ χορεύουσι.

4. Τᾶς ἀκύει μὲν βάσις] βάσιν ἔνιοι τὸν ῥυθμόν φασι· πρὸς γὰρ τὸν ῥυθμὸν ἡ ἁρμονία τῶν μελῶν διατυποῦται· οἱ δὲ τὴν τῶν χορδῶν κρᾶσιν· προκατάρχονται γὰρ αἱ ᾠδαὶ παρὰ τῆς κιθάρας· εἶθ' ὕστως ἕπεται ὁ τῶν χορευτῶν ῥυθμός. ἡ βάσις, ὁ ῥυθμὸς, παρὰ τὸ βαίνειν εἰς τὸν ῥυθμὸν τοῖς κρούσι τὴν γῆν τοῖς ποσίν.

Ἀγλαΐας ἀρχὰ] ἀμφίβολον, πότερον ἡ βάσις ἀγλαΐας ἀρχὴ ἔσα, ἢ σὺ, ὦ κιθάρα, ἀγλαΐας τυγχάνεις ἀρχή; κἀντεῦθεν δὲ ἄδηλον· ἤτοι ἀγλαΐαν τὴν κατὰ τὰς πανηγύρεις φησὶ, καθ' ἣν πάντες γαννύμενοι τερπόμεθα, ἢ τὴν διάχυσιν καὶ εὐφροσύνην, ἢ ἀγλαΐας ἀρχὴν, τὴν ἀρχὴν καὶ τὰς προανακρούσεις.

5. Πείθονται δ' ἀοιδοὶ] ἀοιδοὶ ἤτοι ἐν τῷ καθόλου οἱ χορευταὶ, ἢ οἱ κιθαρῳδοὶ, ἢ αἱ ποιηταὶ, ἢ ἐπὶ τῶν Μουσῶν ὁ λόγος. ὡς γὰρ ἔφην, Ἀπόλλων μὲν προκατάρχει τῶν Μουσῶν· πρὸς δὲ τὰ κρούματα εὐρύθμως αἱ Μοῦσαι χορεύουσι. σάμασι δὲ, τοῖς σημείοις, τοῖς συνθήμασιν, ἢ τοῖς κελεύσμασιν, ἀπὸ τοῦ σημῆναι διὰ τῆς προανακρούσεως.

7. Ἀμβολὰς τεύχῃς] τὰς προαναφωνήσεις κατασκευάζῃς. ὡς καὶ Ὅμηρος (Od. I, 155.)· Ἤτοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν. ἐλελιζομένα δὲ, διακινουμένη. ὁ δὲ νῦς· ἧς, σῆ, ὦ κιθάρα, κατακύει μὲν ἡ τῶν ποδῶν κρᾶσις, τῆς εὐφροσύνης καὶ τῆς διαχύσεως ἀρχὴ οὖσα. πείθονται δὲ καὶ οἱ ἀοιδοὶ τοῖς σοῖς συνθήμασιν, ὅταν τῶν προοιμίων, τῶν ἡγουμένων τῶν χορῶν, τὰς προαναφωνήσεις καὶ κρούσεις διακινουμένη κατασκευάζῃς.

8. Καὶ τὸν αἰχματὰν κεραυνὸν] κατὰ τὸ ἐναντίον προηγαγεν. ἔδει γὰρ εἰπεῖν, αἰχμήτην κεραυνῶ πῦρ. τὸ δὲ τοιοῦτο σχῆμα τῆ λόγῳ καὶ παρ' Ὁμήρῳ (Il. IV. 535.)· Ὃ δὲ χασσάμενος πελεμίχθη. πελεμιχθεὶς γὰρ ἀνεχώρησεν.

9. Ἄρεα

Ἀενάϝ πυρός. εὖ-
δει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετὸς, ὠ-
κεῖαν πτέρυγ' ἀμφοτέρω-
θεν χαλάξαις,

Α. α'. Κ. ιβ'.

Ἀρχὸς οἰωνῶν· κελαινῶ-
πιν δ' ἐπί οἱ νεφέλαν
Ἀγκύλῳ κρατὶ, γλεφάρων
Ἀδὺ κλαῖτρον, κατέχευας. ὁ δὲ κνώσσων
Ὑγρὸν

9. Ἀενάϝ πυρὸς] τὸ ἀέναον κυρίως ἐπὶ τῶν ὑδάτων τίθετον. καταχρηστικῶς δὲ ὁ Πίνδαρος νῦν καὶ ἐπὶ τῆ κεραυνῷ τίθησι, ἀντὶ τῦ ἄσβεστον. σκάπτῳ δὲ Δωρικῶς, τῷ σκήπτρῳ.

10. Διὸς αἰετὸς] πάνυ γὰρ διετυπωσεν, ὅτι δὴ ὁ ἀετὸς ἐπικαθήμενος τῷ τῦ Διὸς σκήπτρῳ, καὶ κατακηλήμενος ταῖς μυσικαῖς ᾠδαῖς εἰς ὕπνον κατάγεται, ἀμφοτέρας χαλάσας τὰς πτέρυγας, καὶ ταλαντευόμενος καὶ ζυγοστατύμενος, ὥσπερ διὰ τὴν τῦ σκήπτρυ τενότητα, ὥσε αὐτὸν μὴ ἐξολισθαίνειν τῇ ᾠδῇ, ἀλλ' ἀσφαλῆ τὴν βάσιν ὑπάρχειν. ἡ δὲ Σαπφὼ ἐπὶ τῦ ἐναντίυ, ἐπὶ τῶν περισερῶν· Ταῖσι ψυχρὸς μὲν ἐγένετο θυμὸς, πὰρ δ' ἰεῖσι τὰ πτερά. ὁ δὲ νῆς· καὶ τὸν ἰσχυρότατον καὶ πολεμικώτατον κεραυνὸν σβεννύης τῦ διὰ παντὸς ὄντος πυρός. ἀφυπνοῖ δὲ, τῇ ᾠδυῇ συσχεθεὶς ἐπὶ τῦ σκήπτρυ τῦ Διὸς ὁ ἀετὸς, τὴν ταχεῖαν ἑαυτῦ πτέρυγα ἐξ ἀμφοτέρων τῶν μερῶν χαλάσας ὁ τῶν ὀρνέων βασιλεύς.

13. Κελαινῶπιν δ' ἐπί οἱ νεφέλαν] ἤτοι κατ' αὐτῆς τῆς νεφέλης τὸ ἐπίθετον, ἵνα σωματικώτερον ἀναπλάσῃ τὴν νεφέλην, τὴν μέλανας ἔχησαν ὀφθαλμὺς, ἢ τὴν μελαίνυσαν τὰς ὀφθαλμὺς νεφέλην, ἢ κελαινῶπιν νεφέλαν, τὴν ἐπίχυσιν τῦ ὕπνυ φησὶ, παρ' ὅσον ἀφεγγὴς ἐστι· κατέχευας, φησὶν, ὦ κιθάρα, ἁπαλὸν καὶ ἡδὺ κλεῖθρον κατὰ τῶν βλεφάρων, ἀντὶ τῦ, εἰς ὕπνον καταφερόμενος ὑπὸ σῦ, ὦ κιθάρα, ὁ ἀετὸς αἰωρεῖται τὸν νῶτον ἐπὶ θάτερα ῥέπων.

15. Ἀγκύλῳ κρατὶ] ἤγυν τῇ ἐπικεκαμμένῃ ῥινὶ τῦ ἀετῦ. ὕτω δὲ εἶπε διὰ τὸ ἐπικαμπὲς τῆς ῥινὸς αὐτῦ· ἀπὸ μέρυς τὸ πᾶν. καὶ Ὅμηρος (Od. XIX. 538.) ἀγκυλοχείλην τὸν ἀετὸν φησί. τὸ δὲ κλαῖτρον ἀντὶ τῦ κλεῖθρον.

17. Ὑγρὸν

Ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
Ῥιπαῖσι καταγχόμενος. καὶ γὰρ βια-
τὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπὼν
Ἐγχέων ἀκμὰν, ἰαίνει καρδίαν
Κώματι· κῆλα δὲ καὶ
Δαιμόνων θέλγει φρένας, ἀμφί τε Λα-
τοίδα σοφίᾳ βαθυκόλ-
πων τε Μοισᾶν.

Ε. ά Κ. ιέ.

Ὅσσα δὲ μὴ πεφίληκε
Ζεὺς, ἀτύζονται βοὰν
Πιερίδων ἀίοντα,
Γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον,
Ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖ-
ται

17. Ὑγρὸν νῶτον αἰωρεῖ] ἀντὶ τοῦ εἰς ὕπνον φερόμενος ὑπὸ σοῦ, ὦ κιθάρα, αἰωρεῖται τὸν νῶτον ἐπὶ θάτερα ῥέπων. Ἄλλως. ὑγρὸν νῶτον αἰωρεῖ· τὸν εὐδιάχυτον ὑπὸ τῆς ἡδονῆς. γραφικώτατα δὲ συνδιατιθέμενον τῇ ἡδονῇ καὶ θελγόμενον τὸν ἀετὸν ὑπετύπωσε.

18. Ῥιπαῖσι] ταῖς βολαῖς. λέγει δὲ, τοῖς μέλεσιν. ὁ δὲ νῦς· ὁ ἀετὸς εἰς ὕπνον τῇ ἡδονῇ καθελκόμενος τὸν εὐδιάχυτον αὐτοῦ νῶτον ἐπαίρει, τοῖς σοῖς βέλεσι θελχθείς.

Βιατὰς Ἄρης] ὁ γὰρ ἰσχυρότατος Ἄρης τὴν τραχυτάτην τῶν δοράτων ἀκμὴν καταλιπὼν, τετέσι τὸν πόλεμον, εὐφραίνει τὴν καρδίαν τῷ τῆς κιθάρας κώματι, ἤγουν θέλγματι.

21. Κῆλα δὲ] κῆλα μὲν Ὅμηρος τὰ τοξικὰ βέλη (Il. I, 383.)· Τὰ δ' ἐπώχετο κῆλα θεοῖο. δυνατὸν δὲ ἀκούειν καὶ νῦν τροπικώτερον βέλη, τὰ θελκτικὰ τῆς μουσικῆς πάθη· κῆλα δὲ κατὰ συναίρεσιν τὰ κηλήματα, ἤγουν τὰ ὑπὸ τῆς μουσικῆς θέλγματα. ὁ δὲ νῦς· τὰ δὲ τῆς μουσικῆς κηλήματα καὶ τῶν θεῶν θέλγει τὰς φρένας παρὰ τῇ σοφίᾳ τοῦ Ἀπόλλωνος καὶ τῶν ἰοπλοκάμων Μουσῶν.

25. Ὅσσα δὲ μὴ πεφίληκε] τοῦτο εἶπεν, ἵνα ἕτοιμοι ὦσιν οἱ ἀκροαταὶ πρὸς τὴν ἀκρόασιν. ὁ δὲ νῦς· ὅσα δὲ μήτε κατὰ τὴν γῆν, μήτε κατὰ τὴν ἄπειρον θάλασσαν φιλεῖ ὁ Ζεὺς, ἀποτρέφονται τὴν ᾠδὴν τῶν Μουσῶν.

29. Ἐν αἰνᾷ Ταρτάρῳ] πάλιν κατὰ τὸ ἴδιον ἔθος θηλυκῶς τὴν

Τάρ-

ται Θεῶν πολέμιος,
Τυφὼς ἑκατονταπάρανος· τὸν ποτε
Κιλίκιον θρέψεν πολυώ-
νυμον ἄντρον· νῦν γε μὰν
Ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι
Σικελία τ' αὐτῇ πιέζει
Στέρνα λαχνάεντα· κίων

Δ'

Τάρταρον προήγαγεν, ὡς καὶ τὴν Ἰσθμὸν (Olymp. VIII, 64.) καὶ τὸ Τυφώς· ἔοικε γὰρ Τυφών. Ὅμηρος δὲ ἑτέραν εὐθεῖαν οἶδεν, ἃ Τυφωεύς (Il. II, 782)· Τυφωεῖ γαῖαν ἰμάσσῃ.

31. Ἀπὸ κοινῆ τὸ ἀτύζεται. ἀποστρέφεται, φησι, καὶ ὁ Τυφὼν ὕπνος τὴν μυσικὴν, ὁ ἐν τῷ Ταρτάρῳ κείμενος, ὁ πολέμιος τῶν θεῶν.

Ἑκατονταπάρανος] οὐκ ἀριθμητικῶς, ἀλλ' ἀντὶ τοῦ πολυκέφαλος.

Τόν ποτε Κιλίκιον θρέψεν] ὃν ποτε, τὸν Τυφῶνα φησὶν, ἔθρεψε μὲν τὸ ἐν Κιλικίᾳ πολυθρύλλητον σπήλαιον, νῦν δὲ αἱ τῆς Κύμης ὄχθαι καὶ ἡ Σικελία τὰ δασέα αὐτοῦ τήθη πιέζει. Ἄλλως. ἀσιάζεται καὶ ἡ περὶ τοῦ Τυφῶνος ἱστορία. οἱ μὲν γὰρ αὐτὸν ὄρει τῆς Βοιωτίας ὑποκεῖσθαι ἔφασαν, καὶ ὡς εἰσὶν αὐτόθι πυρὸς ἀναδόσεις· οἱ δὲ ἐν Φρυγίᾳ· ἕτεροι δὲ ἐν Λυδίᾳ. Ἀρτέμων δέ τις ἱστορικὸς πιθανώτερον λογοποιεῖ. καθάπαξ γάρ, φησι, πᾶν ὄρος ἔχον πυρὸς ἀναδόσεις ἐπὶ Τυφῶνι καίεται. ἔστι δὲ τὸ πιθανὸν ἐξ αὐτῆς τῆς τοῦ ὀνόματος ἱστορίας. τύφειν γὰρ τὸ καίειν. ὁ δὲ Πίνδαρος φησὶ τὸν Τυφῶνα ἐν Κιλικίᾳ τεθράφθαι, ὡς καὶ Ὅμηρος (Il. II, 783.)· Εἰν Ἀρίμοις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς. ὑποκεῖσθαι δὲ τῷ ὄρει καὶ αὐτόθι πυρὸς κρατῆρας καὶ τὰς ἀναδιδομένας πρηστῆρας. πολυώνυμον δὲ, ἀντὶ τοῦ, πολυθρύλλητον, διὰ τὸ ἀνατραφῆναι ἐν αὐτῷ τὸν Τυφῶνα.

34. Ταί θ' ὑπὲρ Κύμας] Κύμη, νῆσος παρακειμένη τῇ Σικελίᾳ. ἔστι δὲ καὶ ἑτέρα τῶν Αἰολέων. φαίνεται δὲ οὐχ ἡ Κύμη πῦρ ἀναδιδοῦσα, ἀλλ' ἡ καλουμένη Προσύλη, ἣν καὶ Πιθηκούσας ὀνομάζουσι. συμβαίνουσι γὰρ αὐτόθι κυμάτων ἐξαισίων κινήσεις, καὶ ἀνέμων σφοδροτάτων ἐπίπνοιαι, νηῶν πρηστήρων ἐπιφάνειαι, καὶ πυρὸς καταφλέξεις. μυθολογεῖται ὑποκεῖσθαι τὸν Τυφῶνα.

Ἁλιερκέες ὄχθαι] ἤτοι αἱ τὴν ἄλλα ἕρκος ἔχουσαι, ἢ τῆς ἁλὸς αὐτῆς ἕρκος οὖσαι, διὰ τὸ μὴ συγχωρεῖν ἐπίπροσθεν φέρεσθαι τὰ κύματα.

36. Κίων δ' ὐρανία] ἡ Αἴτνη, τὸ ὄρος, ἣν οὕτως ὠνόμασε, διὰ τὸ ὕψος ὑποσημαίνουσαν τὸν οὐρανόν. ὁ δὲ νῦς· ἡ δὲ οὐρανία κίων συνέ-

χει

Δ' ἀρανία συνέχει,
Νιφόεσσ' Αἴτνα, πάνετες
Χιόνος ὀξείας τιθήνα·

Σ. β'. Κ. ιβ'.

Τᾶς ἐρεύγονταί μεν ἀπλά-
τὰ πυρὸς ἀγνότατα
Ἐκ μυχῶν παγαί· ποταμοὶ
Δ' ἀμέραισίν μεν προχέοντι ῥόον καπνᾶ
Αἴθων'· ἀλλ' ἐν ὄρφναισιν πέτρας
Φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ-
αν φέρει πόντα πλάκα σὺν παταγῳ.
Κεῖνο δ' Ἀφαίστοιο κρηνὲς ἑρπετὸν

Δεινο-

χει τὸν Τυφῶνα, ἢ κατὰ πᾶσαν ὥραν ἔτης χιονιζομένη καὶ τῆς ὀξείας χιόνος τροφὸς ὖσα, ἤγουν ἡ Αἴτνη.

38. Πάνετες] τὸ πάνετες ἀμφίβολον· ἤτοι γὰρ διαπαντὸς συνέχει τὸν Τυφῶνα ἡ Αἴτνη καὶ δι' αἰῶνος, ἢ τῷ ἑξῆς συναπτέον, ὀξείας χιόνος τιθήνα, ἀ.' ἢ, δι' ἔτης ἀεὶ τιθηνουμένη καὶ τρέφουσα τὴν χιόνα, ἢ ὅτι ᾗ κατὰ παντὸς, ἀλλὰ κατὰ πᾶσαν ὥραν ἔτης, ἵνα εἰς ὑπερβολὴν ἄρῃ τὸν λόγον, λέγων καὶ χειμῶνι καὶ θέρει χιονίζεσθαι τὴν Αἴτνην. ὀξεῖαν δὲ τὴν χιόνα φησὶν, ἤτοι παρὰ τὴν πυκνότητα τῆς καταφορᾶς, ἢ παρὰ τὴν ψυχρότητα, ὅτι οἱ ἁπτόμενοί ὁμοίου τι πάσχουσι τοῖς κεντεμένοις. ἁπλάτα δὲ πυρὸς, ἀπροσπελάστα, ἢ πολλῷ.

41. Ἀγνότατα ἐκ μυχῶν] ἀγνότατον τὸ πῦρ φησιν, ὅτι ἀγνιστικόν ἐστιν, ἢ καὶ παρὰ τὸ θεῖον τὸ αὐτόθι γιγνόμενον, ᾧ καθαίρομεν, ὡς καὶ Ὅμηρος (Od. XXII, 282.)· ὅφρα θεειώσω μέγαρον. τῇ δὲ τροπῇ ἐπιμένει διάλυε, πυρὸς ποταμὸς καὶ πηγὰς λέγων, διὰ τὴν ἄγαν τοῦ πυρὸς ἀνάδοσιν. ὁ δὲ νῦς· ἀφ' ἧς τινος Αἴτνης ἀναφυσῶνται καὶ ἀναδίδονται ἐκ τῶν μυχῶν ἀπροσπελάστα πυρὸς πηγαί· οἱ δὲ ποταμοὶ τοῦ πυρὸς ἐν μὲν ἡμέρᾳ ῥᾶν καὶ φθορὰν προχέουσι καπνὸν, αἴθωνα, ἤτοι μέλανα, ἢ καυσικόν· ἐν δὲ νυκτὶ ἡ ξανθὴ τοῦ πυρὸς φλὸξ ἐκρήγνυσι τὴν ὄρυς τὰς πέτρας, καὶ εἰσκυλίει τῇ παρακειμένῃ θαλάσσῃ.

47. Ἀφαίστοιο ἑρπετὸν] ὁ Τυφὼν, παρόσον ἐξ αὐτοῦ, ἤτοι δι' αὐτὸν, οἱ τοῦ πυρὸς ἀναδίδονται πρηστῆρες. κρηνὺς μὲν τροπικῶς φησὶν ὡς ἐπὶ ποταμοῦ. ἐμφαίνει δὲ τὰς τοῦ πυρὸς ἀναφυσήσεις. ὁ δὲ

Δεινοτάτης ἀναπέμ-
πει· τέρας μὲν θαυμάσιον προσιδέ-
σθαι· θαῦμα δὲ καὶ παριόν-
των ἀκῦσαι,

Α. Β΄. Κ. ιβ΄.

Οἷον Αἴτνας ἐν μελαμφύλ-
λοις δέδεται κορυφαῖς
Καὶ πέδῳ· στρωμνὰ δὲ χαράσ-
σοισ' ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ. —
Εἴη, Ζεῦ, τὶν εἴη ἀνδάνειν,
Ὅς τᾶτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαί-
ας μέτωπον, τᾷ μὲν ἐπωνυμίαν
Κλεινὸς οἰκιστὴς ἐκύδανεν πόλιν
Γείτονα·

δὲ νῶς· ἐκεῖνο δὲ τὸ τῆ Ἡφαίστῳ ἑρπετὸν κρυνὲς πυρὸς δεινοτάτης ἀναδίδωσι, θαυμαστὸν μὲν ἰδεῖν, θαυμαστὸν δὲ καὶ τῶν παριόντων καὶ ἑωρακότων ἀκῦσαι.

52. Ἐν μελαμφύλλοις] τοῖς πολυδένδροις. ἡ γὰρ τῶν δένδρων πυκνότης βαθεῖαν ἀπεργάζεται τὴν ὕλην. Ζητητέον δὲ, πῶς φησὶ τὸν Τυφῶνα ἐνδεδέσθαι ταῖς τῆς Αἴτνης κορυφαῖς, ὃν φησι ὑπ' αὐτῇ κεῖσθαι; ῥητέον δὲ, ὅτι ὑπόκειται μὲν αὐτῷ τὸ ἔδαφος ὑπὸ τὸν νῶτον, ἐπίκειται δὲ τῷ ῥάχει ἡ Αἴτνη ὥσπερ δεσμὸς καὶ σχοινίον ἐν μέσῳ αὐτὸν συνέχουσα.

54. Χαράσσοισα] ἐπιξύουσα, ἐπινύσσουσα. ὁ δὲ νῶς· τὸ ὑπερῳμένον ἔδαφος κεντροῦσα καὶ ἐπιξύει τὸ τῆ Τυφῶνος νῶτον· τῆς δὲ κεντρώσεως αἴτιόν ἐστι τὸ τῇ Αἴτνῃ ἐπικείμενον βάρος. τὸ μὲν κεκλιμένον νῶτον κεντεῖ ἐπιξύουσα ἡ ὑποκειμένη τῆ ἐδάφει κεντρώδης ῥωμνή.

56. Εἴη Ζεῦ] ἐπειδὴ τὸν περὶ τῆ Τυφῶνος λόγον ἐκίνησε καὶ τὰς τιμωρίας αὐτῆ διεξῆλθεν, ὥσπερ φόβῳ διατεθεὶς πρὸς τὰ δεινήματα, κατεύχεται τὸν Δία ἔχειν εὐμενῆ. ὁ δὲ νῶς· εἴη σοί, φησιν, ὦ Ζεῦ, ἀρέσκειν, ὅστις τῆτο τὸ ὄρος περιέπεις, τὴν Αἴτνην, ἥ ἐστι τῆς εὐκάρπε Σικελίας πρόσωπον, ἤτοι διὰ τὸ ἐπιφανὲς, ἢ διὰ τὸ ὕψος. τιμᾶται δὲ κατὰ τὸ ὄρος τῆς Αἴτνης ὁ Ζεύς. Γαίας δὲ μέτωπον τὴν Αἴτνην μεταφορικῶς φησὶν ἀπὸ τῶν ζώων, ἤτοι διὰ τὸ ἐπίσημον αὐτὴν εἶναι, ἢ διὰ τὸ ὕψος καὶ τὴν ἀναβασιν.

58. Τᾷ μὲν ἐπωνυμίαν] τᾶτα ὧν τῆ ὄρει τὴν ὁμώνυμον πόλιν Αἴτνην ὁ ἔνδοξος οἰκιστὴς Ἱέρων ἐδόξα-

Γείτονα· Πυθιάδος
Δ' ἐν δρόμῳ κάρυξ ἀνέειπέ νιν ἀγ-
γέλλων Ἱέρωνος ὑπὲρ
Καλλινίκᾳ

Ε. β'. Κ. ιέ.

Ἅρμασι. — Ναυσιφορήτοις
Δ' ἀνδράσι πρῶτα χάρις
Ἐς πλόον ἀρχομένοις, πομ-
παῖον ἐλθεῖν ἦρον· ἐοικότα γὰρ
Κἀν τελευτᾷ φερτέρᾳ νό-
στ τυχεῖν. ὁ δὲ λόγος
Ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει,
Λοιπὸν ἔσσεσθαι στεφάνοι-
σί τε ἵπποις τε κλυτὰν
Καὶ σὺν εὐφώνοις θαλίαις ὀνομαστάν. —
Λύκιε καὶ Δάλοι' ἀνάσσων

Φοῖβε,

ἐδόξασεν, ἀνακηρύξας κατὰ τὰ Πύθια· ἀνεκήρυξε γὰρ ὑπὲρ τὸ καλλίνικον ἅρμα τῷ Ἱέρωνος ὁ κῆρυξ, ὄσαν αὐτῷ πατρίδα.

64. Ναυσιφορήτοις] ὡς τοῖς διὰ νηὸς φερομένοις ἀνδράσι χάρις καὶ ἡδονὴ πρώτοις φερομένοις διὰ θαλάσσης, πόμπιμον καὶ ἤριον ἐπιπνεῦσαι ἄνεμον, ὕτω καὶ τῇ Αἴτνῃ ἀνακτισθείσῃ πρῶτον ἐν ἀγῶσιν ἐπιφανεστάτην γενέσθαι φησι.

67. Ἐοικότα γὰρ] ἐοικὸς γὰρ καὶ πρέπον φησὶ, τὸν ἐξ ἀρχῆς ἀγαθῆς ἀρξάμενον, τοῦτον καὶ τέλους εὐδόξου τεύξασθαι. ὕτως ὤν καὶ τὴν Αἴτνην ἐκ πρώτης ἀρξαμένην ἐν τοῖς ἀγῶσιν, ἐπίδοξον εἶναι ὑπολαμβάνω καὶ διηνεκῶς εὐπραγήσειν.

69. Ὁ δὲ λόγος] ὁ δὲ ἐμὸς ἐγκωμιαστικὸς λόγος, φησὶ, κοσμεῖ καὶ δοξάζει τὴν Αἴτνην ταῖς συντυχίαις ταύταις τῆς νίκης, καὶ εἰς τὸ λοιπὸν αὐτὴν, ἵπποις τε καὶ στεφάνοις ἔνδοξον καὶ σὺν θαλίαις καὶ κώμοις ἡδέσιν ὀνομαστὴν ἀποδείκνυσιν, ὥστε τὴν μνήμην αὐτῆς διαμένειν ἄσβεστον.

74. Λύκιε καὶ Δάλοιο ἀνάσσων] ὦ Λύκιε Ἄπολλον καὶ τῆς Δήλου βασιλεύων καὶ τῷ Παρνασσῷ, τῷ ἐν Φωκίδι ὄρει, τὴν Κασταλίαν κρήνην φιλῶν, ἐθελήσαις ταῦτα, ἃ εὔχομαι, τῷ σῷ νόῳ πράττειν καὶ συμπεραίνειν, καὶ εὔανδρον ἀποτελεῖν τὴν χώραν.

Φοῖβε, Παρνασῶ τε κράναν
Κασταλίαν Φιλέων,
Ἐθελήσαις ταῦτα νόῳ
Τιθέμεν εὐανδρόν τε χώραν.

Σ. γ'. Κ. ιβ'.

Ἐκ Θεῶν γὰρ μαχαναὶ πᾶ-
σαι βροτέαις ἀρεταῖς,
Καὶ σοφοὶ καὶ χερσὶ βια-
ταὶ περίγλωσσοί τ' ἔφυν.— ἄνδρα δ' ἐγὼ κεῖνον
Αἰνῆσαι μενοινῶν, ἔλπομαι
Μὴ χαλκοπάραον ἄκοντ' ὠσεί τ' ἀγῶ-
νος βαλεῖν ἔξω παλάμᾳ δονέων,
Μακρὰ δὲ ῥίψαις ἀμεύσασθ' ἀντίους. —
Εἰ γὰρ ὁ πᾶς χρόνος ὅλ-
βον μὲν ἕτω καὶ κτεάνων δόσιν εὐ-
θύνοι, καμάτων δ' ἐπίλα-
σιν παράσχοι.

Α. γ'.

79. Ἐκ Θεῶν γὰρ μαχαναὶ] ἐκ θεῶν γάρ, φησι, ταῖς ἀνθρωπίναις ἀρεταῖς πᾶσαι μηχαναὶ δωρῆνται. κατὰ δαίμονα γάρ τινα σοφοὶ, καὶ ταῖς χερσὶν ἀνδρεῖοι, καὶ ἄγαν εὔγλωσσοι, καὶ δυνατοὶ κατὰ τὸ λέγειν ἐγένοντο.

82. Ἄνδρα δ' ἐγὼ κεῖνον] τὸν δὲ Ἱέρωνα ἐγκωμιάσαι προθυμούμενος ἐλπίζω παρὰ σκοπὸν μὴ ξίψειν τὸν ὕμνον, ἀντὶ τοῦ, κατὰ σκοπὸν δοκῶ βαλεῖν τὰς ὕμνους, καὶ ἄξιον ὄντα τὸν Ἱέρωνα ὑμνεῖν.

84. Μὴ χαλκοπάραον] τὸ ὑπέρβατον, ἕτω· μὴ ὥσπερ χαλκοπάραον ἄκοντα παλάμᾳ δονέων ἀγῶνος ἔξω βαλεῖν.

86. Μακρὰ δὲ ῥίψαις] ἐλπίζω δὲ μακρῶς καὶ δυνατῶς ἀκοντίσας παρελθεῖν καὶ νικῆσαι τοὺς ἐναντίους.

87. Εἰ γὰρ ὁ πᾶς χρόνος] τὸ εἰ τοῦτο νῦν εὐκτικόν ἐστιν, ἀντὶ τοῦ εἴθε. εἴθε γάρ, φησιν, ὁ πᾶς χρόνος τήν τε εὐδαιμονίαν καὶ τὸν πλοῦτον ἐπ' εὐθείας ἀγάγοι, καὶ τῶν καμάτων τῶν τῆς λιθυρίας ἐπίλησιν ἀγάγοι, ὡς ἐγὼ τοὺς ἐναντίους νικήσαι προσδοκῶ.

89. Καμάτων δ' ἐπίλασιν παράσχοι] καμάτων, φησὶ, τῶν συνεχό-

Α. γ. Κ. ιβ.

Ἦ κεν ἀμμνάσειεν, οἵαις
Ἐν πολέμοισι μάχαις
Τλάμονι ψυχᾶ παρέμει-
ν', ἀνίχ' εὑρίσκοντο Θεῶν παλάμαις τιμὰν,
Οἵαν ἔτις Ἑλλάνων δρέπει,
Πλέτᾳ τεφάνωμ' ἀγέρωχον. νῦν γε μὰν
Τὰν Φιλοκτήταο δίκαν ἐφέπων
Ἐστρατεύθη. σὺν δ' ἀνάγκᾳ μιν Φίλον

συνεχόντων τὸν Ἱέρωνα ἐκ τῆ νοσήματος τῆς λιθιερίας. φησὶ γάρ πε καὶ Ἀριστοτέλης, ἐν τῇ τῶν Γελώων πολιτείᾳ, Γέλωνα τὸν τῆ Ἱέρωνος ἀδελφὸν ὑδέρῳ νοσήματι τὸν βίον τελευτῆσαι, αὐτὸν δὲ τὸν Ἱέρωνα, ἐν τῇ τῶν Συρακυσίων πολιτείᾳ, δυσυρίῃ δυσυχῆσαι.

91. Ἦ κεν ἂν μνάσειεν] καὶ τάχα ἂν εἰς ὑπόμνησιν ἀγάγοι, ὁποίας ὁ Ἱέρων ἐν τοῖς πολέμοις, τῇ πολεμικῇ ἑαυτῆ καὶ ὑπομονητικῇ ψυχῇ, ὑπέμεινε μάχας, ἡνίκα ἐκτῶντο τὴν Σικελικὴν τυραννίδα, ἣν αὐτοῖς οἱ θεοὶ ταῖς ἑαυτῶν μηχαναῖς ἐδωρήσαντο, ὁποίαν ἰδεῖς τῶν ἄλλων Ἑλλήνων δρέπεται, τῆ πλέτᾳ ὅσαν τεφάνωμα τίμιον. φασὶ δὲ τὸν Ἱέρωνα καὶ πρὸς Γέλωνα τὸν ἀδελφὸν ἐσασιακένοι, τῆς ἀρχῆς ἕνεκα. Ἄλλως. Ἦ κεν ἂν μνάσειεν. ἀναμνήσειεν ἄν ὁ χρόνος, εἰ ἐπίλησις γένοιτο τῶν καμάτων, ὥςε φανερὰν αὐτῆ γενέσθαι τὴν ἀρετὴν, ἣν εἶχεν ἐν πολέμοις.

94. Ἀνίχ' εὑρίσκοντο θεῶν] ὁ μὲν λόγος ἐπὶ περὶ Ἱέρωνος καὶ Γέλωνος, τῶν τυραννησάντων ἐν Συρακύσαις. τὸ δὲ σημαινόμενον· ὅτε σὺν τῇ τῶν θεῶν μηχανῇ ἀνεκτῶντο τὴν βασιλείαν. τιμὴν γὰρ εἴωθε τὴν βασιλείαν ὀνομάζειν.

96. Νῦν γε μὰν τὰν Φιλοκτήταο δίκαν] ἐπὶ δὲ τῆ παρόντος τὸν Φιλοκτήτε τρόπον ὁ Ἱέρων μετερχόμενος ἐστρατεύθη καὶ τὴν μάχην ἐνίκησε. φορείῳ δὲ φερόμενος ὁ Ἱέρων διὰ τὴν λιθιερίαν, κατηγωνίζετο τὰς ἐναντίας. παραβάλλων δὲ αὐτὸν, τῷ Ποίαντος Φιλοκτήτῃ παρείκασε.

98. Σὺν δ' ἀνάγκᾳ φίλον] σὺν δὲ τῇ ἀνάγκῃ τῆς νόσε καὶ τις ὑπερήφανος ἔσανε καὶ ἐκολάκευσεν αὐτὸν, τὸν Ἱέρωνα δηλονότι. βέλεται δὲ λέγειν, ὅτι καὶ νοσῶντα αὐτὸν πολλοὶ τῶν ὑπερηφάνων ἐκολάκευσαν. Ἄλλως. αἰνίττεται δὲ τῶτο εἰς Ἀναξίλαον, τὸν τῶν Ῥηγίνων βασιλέα, βληθέντα Λοκρὰς καταπολεμῆσαι τὰς ἐν Ἰταλίᾳ, καὶ ἐμποδισθέντα τῇ τῆ Ἱέρωνος ἀπειλῇ. ὅτι δὲ Ἀναξίλαος Λοκρὰς ἠθέλησεν ἄρδην ἀπολέσαι, καὶ ἐκωλύθη πρὸς Ἱέρωνος, ἱστορεῖ

καὶ

Καί τις ἐὼν μεγαλά-
νωρ ἔσανεν. Φαντὶ δὲ Λαμνόθεν ἕλ-
κει τειρόμενον μεταλάσ-
σοντας ἐλθεῖν

Ε. γ'. Κ. ιε'.

Ἥρωας ἀντιθέους Ποί-
αντος υἱὸν τοξόταν·
Ὃς Πριάμοιο πόλιν πέρ-
σεν, τελεύτασέν τε πόνους Δαναοῖς,
Ἀσθενεῖ μὲν χρωτὶ βαίνων·
Ἀλλὰ μοιρίδιον ἦν.
Οὕτω δ' Ἱέρωνι Θεὸς ὀρθωτὴρ πέλοι

Τὸν

καὶ Ἐπίχαρμος ἐν Νάσοις. ἕτεροι δὲ τὸν Θήρωνα λέγειν ἔφασαν, ὡς τῷ Θήρωνος μεγάλα μὲν δυναμένῳ, κολακεύοντος δὲ τὸν Ἱέρωνα.

100. Φαντὶ δὲ Λαμνόθεν] ταύτῃ τῇ ἱστορίᾳ καὶ Βακχυλίδης συμφωνεῖ ἐν τοῖς Διθυράμβοις, ὅτι δὴ οἱ Ἕλληνες ἐκ Λήμνου μετεπείλαντο τὸν Φιλοκτήτην, Ἑλένου μαντευσαμένου, εἱμαρτο γὰρ, ἄνευ τῶν Ἡρακλείων τόξων μὴ πορθηθῆναι τὴν Ἴλιον.

101. Μεταλλάσσοντας] ἐπιζητήσοντας. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τὰ μέταλλα ἐπιζητούντων. ἐπειδὴ δὲ διὰ τὸ πάθος τῷ Φιλοκτήτῃ τὸν Ἱέρωνα εἴκασε, τῇ ἐπεξεργασίᾳ χρώμενος ἐπιπλέον αἴρει τὰ ἐγκώμια. ὁ δὲ νῦς· φασὶν ἐκ Λήμνου τῷ ἕλκει καταπονούμενον τὸν τῆ Ποίαντος υἱὸν τοξότην ἐπιζητήσοντας ἐλθεῖν τὸν ἰσοθέους ἥρωας.

105. Ὃς Πριάμοιο πόλιν πέρσεν] ὅς τις Φιλοκτήτης τὴν Ἴλιον ἐπόρθησε, καὶ ἐπὶ τέλος ἤγαγε τοῖς Ἕλλησι τὰς πόνους· ἀνεῖλε γὰρ τὸν Πάριν· ἀσθενεῖ μὲν καὶ ἀδυνάτῳ σώματι βαδίζων, ἀλλὰ μεμοιραμένον ἦν τὸ τὴν Ἴλιον ἁλῶναι τοῖς Ἡρακλείοις τόξοις.

109. Οὕτω δ' Ἱέρωνι Θεὸς] οὕτω δέ, φησι, τῷ Ἱέρωνι ὁ θεὸς ὀρθωτὴρ καὶ ἰατὴρ γένοιτο, ὡς καὶ τῷ Φιλοκτήτῃ. φησὶ γὰρ Διονύσιος, χρησμοῖς Ἀπόλλωνος ἀπολησάμενον τὸν Φιλοκτήτην ἀφυπνῶσαι. τὸν δὲ Μαχάονα ἀφελόντα τῆ ἕλκους τὰς διασαπείσας σάρκας, καὶ ἐπικλύσαντα οἴνῳ τὸ τραῦμα, ἐπιπάσαι βοτάνην, ἣν Ἀσκληπιὸς εἰλήφει παρὰ Χείρωνος καὶ οὕτως ὑγιασθῆναι τὸν ἥρωα. Ἄλλως. Οὕτω δ' Ἱέρωνι θεὸς] οὕτως ὢν καὶ τῷ Ἱέρωνι, ὡς τῷ Φιλοκτήτῃ, ὁ θεὸς ὀρθωτὴρ

καὶ

Τὸν προσέρποντα χρόνον, ὦν
Ἔραται, καιρὸν διδάς. —
Μοῖσα, καὶ παρ᾽ Δεινομένει κελαδῆσαι
Πείθεό μοι ποιναν τεθριππων. —
Χάρμα δ᾽ ἐκ ἀλλότριον νι-
καφορία πατέρος. —
Ἄγ᾽, ἔπειτ᾽ Αἴτνας βασιλεῖ
Φίλιον ἐξεύρωμεν ὕμνον,

Σ. δ᾽ Κ. ιβ᾽.

Τῷ πόλιν κείναν θεοδμά-
τῳ σὺν ἐλευθερίᾳ
Ὑλλίδος στάθμας Ἱέρων

καὶ ὑγείας αἴτιος γένοιτο εἰς τὸν ἐσόμενον χρόνον, ὧν ἐπιθυμεῖ, εὐχέρειαν παρεχόμενος. Ἄλλως. ἅτω δὲ τῷ Ἱέρωνι ὀρθωτὴρ καὶ θεραπευτὴς καὶ ἰατὴρ ὁ θεὸς γένοιτο, ὡς καὶ τῷ φιλοκτήτῃ.

112. Μοῖσα καὶ παρ᾽ Δεινομένει] ὦ μοῦσα, πείθε μοι χορεῦσαι καὶ παρὰ τῷ Ἱέρωνος υἱῷ, Δεινομένει, ποινὴν καὶ ἀντέκτισιν τῷ νικηφόρῳ ἅρματι παρεχομένη τὸ ἐγκώμιον. ἡ γὰρ ἀλλοτρία ἡδονὴ τῷ παιδὶ ἡ τῦ πατρὸς νίκη. Δεινομένης δὲ υἱὸς Ἱέρωνος ἐκ τῆς Νικοκλέους τῦ Συρακουσίου θυγατρὸς, κατὰ Φίλιστον καὶ Τίμαιον. ἐκ γὰρ τῆς Ἀναξίλαυ θυγατρὸς, καὶ τῆς Θήρωνος ἀνεψιᾶς, ἐκ ἐπαιδοποίησεν ὁ Ἱέρων, προγήμας ταύτην. ὅθεν ἔτι καὶ ὁ παῖς, ὁμώνυμος τῷ πάππῳ. Δεινομένης γὰρ ὁ πατὴρ Ἱέρωνος.

116. Ἄγ᾽ ἔπειτ᾽ Αἴτνας] ἄγε τοίνυν, ὦ Μοῦσα, ἐπὶ τῷ τῆς Αἴτνης βασιλεῖ Δεινομένει προσφιλέστατον ἀνεύρωμεν ὕμνον.

118. Τῷ πόλιν κείναν] ᾧ τινι Δεινομένει, ὁ Ἱέρων δηλονότι, τὴν Αἴτνην ἔκτισε καὶ διοικεῖν ἔδωκε σὺν θείᾳ ἐλευθερίᾳ, καὶ τοῖς νόμοις τῆς Δωρίδι δικαιοσύνης, ἀπὸ κοινῦ τὸ, διοικεῖν ἔδωκεν. Ἄλλως. ἀνακτίσας τὴν Κατάνην ὁ Ἱέρων καὶ Αἴτνην μετονομάσας, διοικεῖν Δεινομένει τῷ υἱῷ ταύτην δέδωκεν, ἐν νόμοις τῆς Δωρίδος στάθμης. τῦτο δὲ λέγει, ἐπεὶ στρατηγὸν αὐτῆς κατέστησεν αὐτὸν, ἐλευθέρως ἀφεὶς τὰς Αἰτναίας καὶ τοῖς Λακωνικοῖς τρόποις ἢ νόμοις χρωμένας.

120. Ὑλλίδος στάθμας] νόμῳ τῆς Δωρίδος δικαιοσύνης, ἀπὸ Ὕλλυ τῦ ἐπιφανεστάτυ τῶν Δωριέων, ὃς ἐβασίλευσε τῶν περὶ Ἰταλίαν οἰκησάντων. ἔνιοι δὲ τὸ Ὑλλίδος στάθμας, τῆς Λυκύργυ φασὶ νομοθεσίας. ὗτος γὰρ ἐν-

δεκα-

Ἐν νόμοις ἔκτισσε. Θέλοντι δὲ Παμφύλε
Καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι,
Ὄχθαις ὕπο Ταϋγέτα ναίοντες, αἰ-
εὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιᾷ
Δωριῆς. ἔσχον δ' Ἀμύκλας ὄλβιοι,
Πινδόθεν ὀρνύμενοι,
Λευκοπώλων Τυνδαριδᾶν βαθύδο-
ξοι γείτονες, ὧν κλέος ἄν-
θησεν αἰχμᾶς. —

Α. δ'.

θέκατός ἐστιν ἀπὸ Ἡρακλέους, ὡς Ἔφορος ἱστορεῖ. ὁ δὲν Ἱέρων Γελῴος καὶ Μεγαρεῖς καὶ Συρακυσίους, ὄντας τῶν Δωριέων ἀποίκους, ἐνῴκισε τῇ Αἴτνῃ. καὶ ὕτως ἂν ὁ λόγος ἀκολουθίαν ἔχει, ὡς καὶ Δωριεῦσιν ὦσαν Αἰτναίοις, καὶ Λακωνικὸς νόμος θέσθαι τὸν Ἱέρωνα.

121. Θέλοντι δὲ Παμφύλῳ] Πάμφυλος καὶ Δύμας καὶ Δῶρος, υἱοὶ Αἰγιμίου, ἀφ' ὧν Παμφυλὶς καὶ Δυμανὶς φυλαὶ ἐν Λακεδαίμονι. ὁ δὲ νῦς· θέλησι δὲ οἱ Ἡλλίδαι, τυτέσιν οἱ Λακεδαιμόνιοι ἀπὸ Ἡρακλέους καὶ Παμφύλου κατάγεσθαι. Ἄλλως. οἱ Δωριεῖς εἰκῶντες πρότερον τὴν Πίνδον, μίαν ὖσαν τῆς τετραπόλεως τῆς ἐν Περῤῥαιβίᾳ, ἀφικνῦνται εἰς τὴν μεταξὺ Οἴτης καὶ Παρνασσῦ Δωρίδα, ἐξάπολιν ὖσαν. ἐστὶ δὲ Ἐρινεὸν, Κύτινον, Βοιὸν, Λίλαιον, Κάρφαια, Δρυόπη· ἐκ δὲ τύτων σὺν τοῖς Ἡρακλείδαις εἰς Λακεδαίμονα κατέρχονται. ὁ δὲ νῦς ἐπαμφοτερίζει. θέλησι δὲ οἱ ἀπὸ Παμφύλου, Ἡρακλέους ἀπόγονοι, Δωριεῖς, οἱ παρὰ ταῖς Ὄχθαις τῆ Ταϋγέτα μένοντες, ἐμμένειν τοῖς Αἰγιμίου νόμοις.

123. Ὄχθαις ὕπο Ταϋγέτα] Ταΰγετον, ὄρος Λακωνικὸν, ὃ καὶ Ὅμηρος μέμνηται (Od. VI, 103.)· Ἢ κατὰ Τηΰγετον περιμήκετον.

125. Ἔσχον δ' Ἀμύκλας] κατέσχον τὴν Σπάρτην. ἀπὸ μιᾶς γὰρ πόλεως τὴν πᾶσαν ἐμφαίνει Λακωνικήν.

126. Πινδόθεν λέγει, ὅτι οἱ Δωριεῖς, διὰ Πίνδυ τὴν κάθοδον ποιησάμενοι, εὐχερῶς τῆς Πελοποννήσυ ἐγένοντο ἐγκρατεῖς. Πίνδος δὲ Περῤῥαιβίας ὄρος. Ἄλλως. Πινδόθεν τὰς Ἡρακλείδας θέλει λέγειν ὁρμῆσαι, καθ' ὃν χρόνον ἀνεκτήσαντο τὴν Πελοπόννησον καὶ Λακωνικήν.

127. Βαθύδοξοι γείτονες] ἔδει σύνοικοι εἰπεῖν. ἀλλὰ ῥητέον, ὅτι ἱσορῦσι τινὲς τὰς Διοσκύρυς μετῳκηκέναι εἰς Ἄργος. γειτνιᾷ δὲ τὸ Ἄργος τῇ Λακεδαίμονι. καὶ ὕτως ὁ Πίνδαρος κατὰ λόγον γείτονας φησὶ τὰς Λακεδαιμονίας τῶν Διοσκύρων.

130. Ζεῦ

Α. δ'. Κ. ιβ'.

Ζεῦ, τέλει αἰεί γε τοιαύ-
ταν Ἀμένα παρ' ὕδωρ
Αἶσαν ἀστοῖς καὶ βασιλεῦ-
σιν, διακρίνειν ἔτυμον λόγον ἀνθρώπων.
Σύν τοι τίν κεν ἀγητὴρ ἀνὴρ
Υἱῷ τ' ἐπιτελλόμενος δᾶμόν τε γέ-
ρων τράποι σύμφωνον ἐφ' ἡσυχίαν.
Λίσσομαι, νεῦσον, Κρονίων, ἄμερον
Ὄφρα κατ' οἶκον ὁ Φοί-
νιξ, ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ,
Ναυσίστονον ὕβριν ἰδὼν,
Τὰν πρὸ Κύμας.

130. Ζεῦ τέλει'] ὦ Ζεῦ, τέλειε διὰ παντὸς τοῖς Αἰτναίοις, τοῖς περιοικοῦσι τὸν Ἀμένη ποταμὸν, τοιαύτην μερίδα βασιλεῦσί τε καὶ δημόταις παράσχῃ, ὥστε τὸν τῶν ἀνθρώπων λόγον διακρίνειν τοῦτο καὶ ἀληθὲς ἀποφαίνειν, ὅτι ἐν ἐλευθερίᾳ εἰσίν. οἱ δὲ τοιαύτην μοῖραν τοῖς Αἰτναίοις ἀνδρείας θείας, καὶ Λακεδαιμονίοις κατὰ πόλεμον ἔχουσι, δίδυ τοῖς βασιλεῦσι καὶ ἀστοῖς, μοῖραν εὐτυχίας.

134. Σύν τοι τίν κεν ἀγητὴρ] σὺν σοὶ, ὦ Ζεῦ, ὁ τῆς Σικελίας ἡγητὴρ, ἥγων βασιλεὺς, Ἱέρων, τῷ ἑαυτοῦ υἱῷ Δεινομένει ἐντελλόμενος τὸν τῶν Αἰτναίων δῆμον ἐπιτρέπει διὰ παντὸς εἰς σύμφωνον καὶ εἰρηναίαν ἡσυχίαν.

137. Λίσσομαι, νεῦσον Κρονίων] καθικετεύω σε, ὦ Κρόνε παῖ, Ζεῦ, ἐπίνευσον, ὅπως ὅ τε τῶν Φοινίκων, καὶ ὁ τῶν Καρχηδονίων, καὶ Τυρσηνῶν θόρυβος, ἡσυχον καὶ εἰρηναῖον ἔχῃ τὸν οἶκον. ἢ ἐπίνευσον θεασάμενος τὴν πρὸ τῆς Κύμης ναυμαχίαν, ἃ κατατολεμηθέντες ὑπὸ τῷ Ἱέρωνι παπόνθασιν. Ἄλλως. χαριέστατα ἐκ τοῦ θορύβου τὴν τῶν βαρβάρων ἀκοσμίαν ὑπεσήμασατο, ὡς καὶ Ὅμηρος (Il. IV, 436): Ὡς Τρώων ἀλαλητὸς ἰὼν τέρετὸν εὐρὺν ὀρώρει. Ἄλλως. Τυρσηνοὶ καὶ Καρχηδόνιοι, οἳ εἰσὶ Φοινίκων ἀπόγονοι, διεμάχοντο πρὸς Κυμαίους· μελλόντων ἂν ἄρδην ἀπόλλυσθαι τῶν Κυμαίων, Ἱέρων συμμαχήσας, τοὺς μὲν Κυμαίους διέσωσε, τῶν δὲ Τυρσηνῶν τοὺς πλείστους ἀπώλεσε. κατεύχεται ἂν ὁ Πίνδαρος εἰρηνικὰ καὶ ἀσασίαστα μένειν λοιπὸν τὰ πράγματα Καρχηδονίοις καὶ Σικελιώταις.

142. Οἶα

Ε. δ'. Κ. ιε'.

Οἷα Συρακοσίων ἀρ-
χῷ δαμασθέντες πάθον·
Ὠκυπόρων ἀπὸ ναῶν
145 Ὃς σφιν ἐν πόντῳ βάλεθ' ἁλικίαν,
Ἑλλάδ' ἐξέλκων βαρείας
Δηλείας. αἰρέομαι

Πὰρ

142. Οἷα Συρακοσίων] ὁποῖα γὰρ ὑπὸ τῷ ἄρχοντι καὶ βασιλεῖ τῶν Συρακοσίων Ἱέρωνι ἀναιρεθέντες πεπόνθασιν οἱ Καρχηδόνιοι καὶ Τυρσηνοί.

145. Ὃς σφιν ἐν πόντῳ] ὅτις Ἱέρων ἀπὸ τῶν ταχειῶν νεῶν ἐνέβαλε τῇ θαλάσσῃ πᾶσαν τὴν ἡλικίαν.

146. Ἑλλάδ' ἐξέλκων] ἔνιοι μὲν Ἑλλάδα τὴν ἐν Σικελίᾳ ἤκουσαν. ἔνιοι δὲ Ἑλλάδα τὴν Ἀττικήν. ἱστορεῖται γάρ τι τοιοῦτον, ὅτι Ξέρξῃ μέλλοντος στρατεύειν ἐπὶ τὴν Ἑλλάδα, πρέσβεις ἦλθον πρὸς Καρχηδονίους κελεύοντες πλεῖν ἐπὶ Σικελίαν, καὶ τὰς τῶν Ἑλλήνων φρονοῦντας καταστρέφεσθαι, καὶ ὕτως ὁρμᾷν ἐπὶ τὴν Πελοπόννησον. οἱ μὲν οὖν Καρχηδόνιοι ὑπήκουσαν. κατὰ δὲ τὸν αὐτὸν χρόνον πρὸς Ἱέρωνα πρέσβεις ἦλθον παρ' Ἀθηναίων ἀξιοῦντες συμμαχεῖν τοῖς Ἕλλησιν οἷς ὑπήκουσαν οἱ περὶ τὸν Γέλωνα, καὶ κατασκευασάμενοι διακοσίας ναῦς καὶ δισχιλίους ἱππέας καὶ μυρίους πεζοὺς τὸν τῶν Καρχηδονίων στόλον κατεναυμάχησαν κατὰ τὰς Σικελίας ὁρμῶντα, ὥστε καὶ τοὺς Σικελιώτας καὶ τοὺς ἄλλους Ἕλληνας ἐλευθερῶσαι. Ἄλλως. Εἰκὸς δὲ ταῖς Ἐφόρου ἱστορίαις ἐντυχόντα τὸν Πίνδαρον ἐξηκολουθηκέναι αὐτὸν αὐτῷ. ἱστορεῖ γὰρ Ἔφορος τοιοῦτον, ὅτι παρασκευαζομένῳ Ξέρξῃ τὸν ἐπὶ τὴν Ἑλλάδι στόλον, πρέσβεις παραγενέσθαι πρὸς Γέλωνα τὸν τύραννον, ἱκετεύοντας, εἰς τὸν τῶν Ἑλλήνων σύλλογον ἐλθεῖν· ἐκ δὲ Περσῶν καὶ Φοινίκων πρέσβεις πρὸς Καρχηδονίους, προστάσσοντας, ὡς πλεῖστον δέοι στόλον εἰς Σικελίαν βαδίζειν, καταστρεψόμενον τοὺς τὰ τῶν Ἑλλήνων φρονοῦντας, (εἶτα) πλεῖν ἐπὶ Πελοπόννησον. ἀμφοτέρων δὲ τὸν λόγον ὑποδεξαμένων, καὶ τῷ μὲν Ἱέρωνος συμμαχῆσαι τοῖς Ἕλλησι προθυμουμένῳ, τῶν δὲ Καρχηδονίων ἑτοίμων ὄντων συμπράξαι τῷ Ξέρξῃ, Γέλωνα διακοσίας ναῦς εὐτρεπίσαντα καὶ δισχιλίους ἱππεῖς καὶ πεζοὺς μυρίους κατακῶσαι στόλον Καρχηδονίων πλέοντα ἐπὶ Σικελίαν καὶ διαμαχησάμενον μόνον τοὺς Σικελιώτας ἐλευθερῶσαι, ἀλλὰ καὶ τὴν Ἑλλάδα σύμπασαν. εἰκὸς ὂν ταύτῃ τῇ ἱστορίᾳ ἐντετυχηκέναι τὸν Πίνδαρον.

147. Αἰρέομαι πὰρ μὲν Σαλαμῖνος] αἱρεῦμαι καὶ ἀποδέχομαί, φησι

Παὰρ μὲν Σαλαμῖνος Ἀθηναίων χάριν
Μισθὸν· ἐν Σπάρτᾳ δ' ἐρέω
Περὶ Κιθαιρῶνος μάχαν·
Ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι·
Παὰρ δέ γε τὰν εὔυδρον ἀκτὰν
Ἱμέρα, παίδεσσιν ὕμνον
Δεινομένευς τελέσαις,
Τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ,
Πολεμίων ἀνδρῶν καμόντων. —

φησι, τὴν παρὰ Σαλαμῖνος καὶ Ἀθηναίων χάριν καὶ μισθὸν, ὅτι ἐκινδύνευσαν ὑπὲρ πάσης τῆς Ἑλλάδος· ἤτοι λαμβάνω καὶ λογίζομαι σωτηρίαν τῆς Ἑλλάδος, τὴν τῶν Ἀθηναίων νίκην· ἢ αἱρεῖμαί, φησι, τὴν τῆς Ἑλλάδος σωτηρίαν, τὸν παρ' Ἀθηναίων μισθόν· τυτέτιν ἡ παρὰ Σαλαμῖνος χάρις. λαμβάνω τὴν χάριν, τυτέστι τὴν (νίκην) Σαλαμῖνος εἰς μισθὸν καὶ εἰς σωτηρίαν τῆς Ἑλλάδος παρὰ Ἀθηναίων. οἱ γὰρ Ἀθηναῖοι εἰς Σαλαμῖνα ναυμαχήσαντες πρὸς τὺς Πέρσας ἔσωσαν τὴν Ἑλλάδα.

149. Ἐν Σπάρτᾳ δ' ἐρέω] αἱρεῖμαι καὶ ἀποδέχομαί, φησι, τὴν πρὸ Κιθαιρῶνος μάχην τῶν Σπαρτιατῶν, καθ' ἣν οἱ τοξόται τῶν πεζικῶν ἡγεμένοι περὶ Πλαταιὰς τὴν πεζικὴν ἀνετρέψαντο δύναμιν.

152. Παὰρ δὲ (sic sine γε) τὰν εὔυδρον ἀκτὰν Ἱμέρα] Ἱμέρας ποταμὸς Σικελίας, περὶ ὃ καὶ Αἰσχύλος φησὶν ἐν Γλαύκῳ (T. II. p. 639. ed. Pauw).

Καλοῖσι λυτροῖς ἐκλέλυμαι μὲν δέμας
Εἰς ὑψικρημνον Ἱμέραν δ' ἀφικόμην.

λέγει τοίνυν· παρὰ δὲ τὴν εὔυδρον ἀκτὴν τῆ Ἱμέρα ποταμῆ τὸν ὕμνον τοῖς τῆ Δεινομένεος παισὶ τελέσας, ἀπὸ κοινῆ τὸ αἱρέομαι, ὅ ἐστιν ἐπιθυμῶ.

155. Τὸν ἐδέξαντο] ἤγουν ὃν τινα ὕμνον ἐδέξαντο παρὰ τῆ ἑαυτῶν ἀρετῆ τῶν πολεμίων ἀνδρῶν ἀναιρεθέντων. φασὶ δὲ τὸν Γέλωνα τοῖς ἀδελφοῖς φιλοφρονύμενον ἀναθεῖναι τῷ θεῷ χρυσᾶς τρίποδας ἐπιγράψαντα ταῦτα (inter Simon. fragm. T. I. Brunk. Analect. n. 45. p. 134.)·

Φημὶ Γέλων', Ἱέρωνα, Πολύζηλον, Θρασύβυλον,
Παῖδας Δεινομένευς τὰς τρίποδας θέμεναι,
Βάρβαρα νικήσαντας ἔθνη, πολλὴν δὲ παρασχεῖν
Σύμμαχον Ἕλλησιν χεῖρ' ἐς ἐλευθερίην.

ἢ ὅτως· ὄντινα ὕμνον ἐδέξαντο νικήσαντες τὺς Καρχηδονίυς.

157. Καὶ-

Σ. έ. Κ. ιβ'.

Καιρὸν εἰ φθέγξαιο, πολλῶν
Πείρατα συντανύσαις
Ἐν βραχεῖ, μείων ἕπεται
Μῶμος ἀνθρώπων. ἀπὸ γὰρ κόρος ἀμβλύνει
Αἰανὴς ταχείας ἐλπίδας.
Ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύνει, μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις.
Ἀλλ' ὅμως — κρέσσων γὰρ οἰκτιρμῶν φθόνος —
Μὴ παρίει καλά. νώμα δικαίῳ πηδαλίῳ στρατὸν, ἀψευδεῖ δὲ πρὸς ἄκμονι χάλκευε γλῶσσαν.

Α. έ.

157. Καιρὸν εἰ φθέγξαιο] οἱ μὲν φασὶ τὴν κατὰ πρόθεσιν λείπειν, ἵν' ᾖ· κατὰ καιρὸν εἰ φθέγξαιο, ἢ καιρίως λέγων τῆς πολυλογίας τὰ πέρατα εἰς ἓν συντείνας καὶ συμπλέξας ἐκφύγοις ἂν τὸν φθόνον. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν δικτύων. τὸ δὲ ἐξῆς· εἰ ἐν βραχεῖ φθέγξαιο κατὰ καιρὸν, πολλῶν πείρατα συντανύσας, μείων ἕπεται μῶμος ἀνθρώπων. Ἄλλως. αἰσθάνεται ἑαυτῷ ἐκπεπτωκότος. ὁ δὲ νῦς· εἰ τὰ καίρια λέγεις τῶν πολλῶν εἰς ἓν συντεμὼν καὶ συμπλέξας, οὐκ ἀκολουθήσει μέμψις, οὐδὲ φθόνος. ὁ γὰρ αἰανὴς κόρος, ἤγουν αἰώνιος καὶ διηνεκὴς, καὶ ἡ μακρολογία ἀμβλύνει τὰς τῶν ἀκουόντων ταχείας ἀπαύδις, ἀντὶ τῆ διανοίας.

162. Ἀστῶν δ' ἀκοὰ] ἡ δὲ τῶν πολιτῶν, φησιν, ἀκοὴ κρυφίως λυπεῖ τὴν ψυχὴν ἐπὶ τοῖς ἀλλοτρίοις τῶν πολιτῶν κατορθώμασιν. ἀλλήλοις γὰρ ὡς ἐπὶ τὸ πλεῖστον φθονοῦσιν· ἤτοι ἀντὶ τῆ, λυποῦνται οἱ πολῖται ἐπὶ τοῖς τῶν ἀλλοτρίων καλοῖς καὶ ἐπὶ τοῖς σοῖς, Ἱέρων, καλοῖς φθονῆσαί τινες.

164. Ἀλλ' ὅμως, κρέσσων γὰρ] ἀλλ' ὅμως βέλτιον φθονεῖσθαι ἢπερ οἰκτίρεσθαι.

165. Μὴ παρίει καλὰ] μὴ οὖν παρέλκυε, μηδὲ παρόρα τὰ καλὰ, ὦ Ἱέρων, διὰ τὸν φθόνον, ἀλλὰ τὸν νῦν τεταγμένον σοι δῆμον δικαίῳ καὶ ἀγαθῷ κυβέρνα πηδαλίῳ. τὸ νώμα γὰρ ἀντὶ τῆ κυβέρνα.

166. Ἀψευδεῖ δὲ πρὸς ἄκμονι] ἄκμονα, τὸ τόμα, ἀπὸ μεταφορᾶς τῶν χαλκευόντων ἔφη. πρὸς ἄκμονα δὲ ἀψευδῆ χάλκευε τὴν γλῶσσαν, ὅ ἐστι, φιλαλήθης ἔσο, ἤτοι

Α. ε'. Κ. ιβ'.

Εἴ τι καὶ φλαῦρον παραιθύσ-
σει, μέγα τοι φέρεται
Πὰρ σέθεν. Πολλῶν ταμίας
Ἐσσὶ· πολλοὶ μάρτυρες ἀμφοτέροις πιτοί.
Εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,
Εἴπερ τι φιλεῖς ἀκοὰν ἀδεῖαν ἀ-
εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις·
Ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ
Ἰστίον ἀνεμόεν.
Μὴ δολωθῇς, ὦ φίλε, κέρδεσιν εὐ-
τραπέλοις. Ὀπιθόμβροτον αὔ-
χημα δόξας

Ε. ε'.

ἤτοι ἀληθεύει. ἴσως δέ τι ἐπηγγείλατο τῷ Πινδάρῳ ὁ Ἱέρων.

169. Εἴ τι καὶ φλαῦρον] λείπει ὁ γάρ· ἐὰν γάρ τι καὶ εὐτελὲς παρὰ σοῦ λεχθῇ καὶ ὁρμήσῃ, τοῦτο μέγα καὶ διὰ πάντων φέρεται. φησὶ δὲ μεγάλα εἶναι τὰ τῶν ἀρχόντων ἁμαρτήματα, κἂν εὐτελῆ τυγχάνῃ. εἰ καί τι ἂν εὐτελὲς ἁμάρτῃς, καὶ τοῦτο μέγιστον ἔσαι.

171. Πολλῶν ταμίας] πολλῶν γὰρ βασιλεὺς τυγχάνεις, καὶ δεσπότης, καὶ διοικητής. βασιλεὺς γὰρ ἦν.

172. Πολλοὶ μάρτυρες ἀμφοτέροισι] τῷ τε ἀληθεῖ καὶ τῷ ψευδεῖ· ἢ σοὶ καὶ τῷ υἱῷ. ὁ δὲ Σιδώνιος, σοὶ καὶ τοῖς ὑποτεταγμένοις.

173. Εὐανθεῖ δ' ἐν ὀργᾷ] εὐγενεῖ. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν εὐγενῶν φυτῶν. εὐγενεῖ δέ, φησί, τρόπῳ περιμένων, εἰ δή τι φιλεῖς τὴν ἡδεῖαν τῶν ἐγκωμίων ἀκοήν, μὴ ἀπόκαμνε πρὸς τὰς δαπάνας. ἐκ δὲ τούτου προτρέπεται τὸν Ἱέρωνα, μισθὸν αὐτῷ παρασχεῖν, τὸ ἐπινίκιον χάριν.

176. Ἐξίει δ' ὥστε (sic) κυβερνάτας ἀνὴρ] ὥσπερ δὲ κυβερνήτης ἄριστος, ἔα πρὸς πνεῦμα τὸ ἱστίον. τροπικῶς δὲ οὕτω φησίν, ἵνα ὡς ἱστίον μὲν τὸν μισθόν, πνεῦμα δὲ τὸ ἐγκώμιον ἀκούσωμεν.

178. Μὴ δολωθῇς] μὴ δολωθῇς, φησίν, ὦ προσφιλέστατε Ἱέρων, τῇ ἐχθροτάτῃ φιλοκερδείᾳ.

179. Ὀπιθόμβροτον] τὸ φροντίδος ἀξιούμενον ὑπὸ τῶν ἀνθρώπων, τὸ μετὰ ταῦτα καὶ μετὰ θάνατον λεγόμενον ἐγκώμιον, ἤτοι, τὸ μετὰ ταῦτα ἐσόμενον τῆς δόξης καύχημα.

181. Οἷον

Ε. ε'. Κ. ιε'.

Οἷον ἀποιχομένων ἀν-
δρῶν δίαιταν μανύει
Καὶ λογίοις καὶ ἀοιδοῖς.
Οὐ φθινεῖ Κροίσῳ Φιλόφρων ἀρετά.
Τὸν δὲ ταύρῳ χαλκέῳ καυ-
τῆρα νηλέα νόον
Ἐχθρὰ Φάλαριν κατέχει παντᾶ Φάτις·
Οὐδέ μιν φόρμιγγες ὑπω-
ρόφιαι κοινωνίαν
Μαλθακὰν παίδων ἀείροισι δέχονται.

Τὸ

181. Οἷον ἀποιχομένων] ὅπερ μόνον τῶν τεθνηκότων ἀνδρῶπων τὸν βίον καταμηνύει τοῖς τε λογίοις καὶ ποιηταῖς. οἱ δὲ ἅτως· τὸ μετὰ ταῦτα μόνον ἐσόμενον τῆς δόξης καυχημα τῶν τεθνηκότων ἀνθρώπων, τὸν βίον καταμηνύει τοῖς τε λογίοις καὶ ἀοιδοῖς· λογίοις μὲν, τοῖς πεζογράφοις, ἀοιδοῖς δὲ, τοῖς ποιηταῖς.

184. Οὐ φθίνει Κροίσῳ] ἠδαμῶς φθείρεται, φησι, καὶ λήθην λαμβάνει ἡ τῷ Κροίσῳ φιλοφρονητικὴ ἀρετή. ὅτι δὲ πλούσιος καὶ φιλόφρων ὁ Κροῖσος ἦν, δῆλος ὁ λόγος.

185. Τὸν δὲ ταύρῳ] κατὰ δὲ τἐναντίον, φησι, Φάλαριν τὸν ἐν τῷ χαλκῷ βοὶ κατακαύσαντα τὴς ἀνθρώπης αἰσχρὰ φάτις ἔχει. τὸν δὲ τῷ Φαλάριδος ταῦρον οἱ Ἀκραγαντῖνοι κατεπόντωσαν, ὥς φησι Τίμαιος. τὸν γὰρ ἐν τῇ πόλει δεικνύμενον μὴ εἶναι τῷ Φαλάριδος, καθάπερ ἡ πολλὴ κατέχει δόξα, ἀλλ' εἰκὼν ἐστι Γέλωνος τῷ ποταμῷ. κατασκευάσαι δὲ αὐτόν φασι Περίλαον καὶ πρῶτον ἐν αὐτῷ κατακαῆναι. καὶ Καλλίμαχος (Fragm. 119. p. 487. T. I. Ern.)

Πρῶτος ἐπεὶ τὸν ταῦρον ἐκαί-
νισεν, ὃς τὸν ἄλεθρον
Εὗρε τὸν ἐν χαλκῷ καὶ πυρὶ
γιγνόμενον.

ὁ δὲ νῦς· τῷ μὲν Κροίσῳ ἠδαμῶς φθείρεται ἡ φιλοφρονητικὴ ἀρετὴ, τὸν δὲ χαλκῷ ταύρῳ τῶν ξένων καυσῆρα καὶ ἀνηλεῆ τὸν νοῦν, Φάλαριν, αἰσχρὰ παντάχῃ κατέχει φήμη.

188. Οὐδέ μιν φόρμιγγες] ἠδὲ αὐτόν, φησι, τὸν Φάλαριν αἱ ἐποικίδιαι κιθάραι παρὰ συμποσίοις καὶ δείπνοις εἰς κοινωνίαν ἠδεῖαν δέχονται (λείπει γὰρ τῷ λόγῳ ἡ εἰς πρόθεσις) ταῖς τῶν παίδων ὁμιλίαις καὶ τοῖς ὕμνοις, τυτέστιν, ἠδέποτε τὸν Φάλαριν ἐν συμποσίοις παῖδες ὑμνῦσιν.

191. Τὸ

Τὸ δὲ παθεῖν εὖ, πρῶτον ἄθλων·
Εὖ δ' ἀκοῦσαι, δευτέρα μοῖ-
ρ'. ἀμφοτέροισι δ' ἀνὴρ
Ὅς ἂν ἐγκύρσῃ, καὶ ἕλῃ,
Στέφανον ὕψιστον δέδεκται.

191. Τὸ δὲ παθεῖν εὖ] τὸ δὲ ἐπιτυχεῖν ἀέθλων καὶ ἀγῶνος, καὶ εὖ πράξαι, πρωτεύει· ἀνυμνεῖσθαι δὲ νικήσαντα, δευτέρα μοῖρα. ἀμφοτέροις δὲ τούτοις ὃς ἂν ἐπιτύχῃ καὶ κρατήσῃ, στέφανον ὑψηλότατον δέχεται.

Περὶ τῶν κώλων τῆς τροφῆς καὶ ἀντιστροφῆς τῆ δευτέρᾳ τῶν Πυθίων εἴδους.

Τῆς δευτέρας ᾠδῆς ἡ μὲν τροφὴ καὶ ἀντίστροφος κώλων ιε΄. Τὸ α΄, δίμετρον τροχαϊκὸν καταληκτικὸν, λελυμένας ἔχον τὰς δύο πόδας. Τὸ β΄, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ γ΄, τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. Τὸ δ΄, ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ε΄, χοριαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ς΄, ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ζ΄, Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν, τῆς πρώτης· συλλαβῆς διαφόρᾳ ὅσης. Τὸ η΄, χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. Τὸ θ΄, τρίμετρον ἰαμβικὸν βραχυκατάληκτον. Τὸ ι΄, ἐπιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ια΄, μονόμετρον ἀναπαιστικὸν. Τὸ ιβ΄, δίμετρον ἐπιχοριαμβικὸν ἀκατάληκτον. Τὸ ιγ΄, τρίμετρον ἰαμβικὸν βραχυκατάληκτον. Τὸ ιδ΄, δίμετρον τροχαϊκὸν καταληκτικὸν Εὐριπίδειον. Τὸ πεντεκαιδέκατον, πενθημιμερὲς ἰαμβικόν.

Περὶ τῆς ἐπῳδῆ αὐτῆ. Ἡ δὲ ἐπῳδὸς κώλων δεκατεσσάρων. Τὸ α΄, δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ β΄, δίμετρον ἰαμβικὸν βραχυκατάληκτον. Τὸ γ΄, δίμετρον χοριαμβικὸν καταληκτικόν. Τὸ δ΄, τρίμετρον ἀντισπαστικὸν ἀκατάληκτον, ἀπὸ ἰαμβικῆς ἀρχόμενον καὶ κατακλειόμενον ἰαμβικῇ. Τὸ ε΄, παιωνικὸν δίμετρον καταληκτικόν. Τὸ ς΄, γλυκώνειον, τῆ πρώτῃ ποδὸς ἀδιαφόρᾳ, εἶτα τροχαίᾳ, εἶτα

εἶτα διϊάμβε. Τὸ ζ', ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν Πινδαρικὸν, ἀπὸ τροχαίε εἰς τροχαῖον. Τὸ ὄγδοον, σύνθετον ἀπὸ παίωνος καὶ διμέτρε Ἰωνικῆ ἀκαταλήκτε, τῆ τε ἀνακλωμένε καὶ τῆ ἀπὸ μείζονος. Τὸ ἔννατον πενθημιμερὲς ἰαμβικόν. Τὸ δέκατον Ἰωνικὸν δίμετρον κατακλειόμενον, ἐκ τροχαϊκῆς διποδίας. Τὸ ἑνδέκατον χοριαμβικὸν τρίμετρον καταληκτικόν. Τὸ δωδέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ τρισκαιδέκατον Πινδαρικὸν, διὰ τὸ πολλάκις τὸν Πίνδαρον αὐτῷ κεχρῆσθαι. σύγκειται δὲ ἐξ ἀντισπάστε καὶ χοριάμβε καὶ ἰάμβε καὶ συλλαβῆς. Τὸ τεσσαρεσκαιδέκατον Ἰωνικὸν ἀπὸ μείζονος ἀκατάληκτον.

ARGVMENTVM CARMINIS SECVNDI.

Syracusae, Marti sacra, athletarum nutrix, tibi hoc carmen in victoriam curulem affero, qua Hiero Ortygiam (Syracusas) ornauit, Dianae sedem (1 — 12.), quae eum adiuuit. Nam Diana et Mercurius ei adsunt, quando instruit quadrigas Neptunum implorans (— 23). Alios reges alii poetae laudent; Cyprii saepe celebrant Cinyram, quem Veneris sacerdotem amauit Apollo (— 31.). Grati animi sensus impellit nonnullos, vt benefactores laudibus efferant. Te, o Hiero, Locrae Epizephyriae puellae publice canunt, tua virtute ab hostium metu liberatae (— 38.). Ixion vero, rota agitatus, omnes monet, esse benefactoribus gratias referendas (— 44.); id quod ipse clare sensit. Nam cum apud Saturnios viueret, beatitatem ferre non potuit, incensus Iunonis, coniugis Iouis, amore, ita vt insolens crimen committeret (— 54.). Duo scelera eum miserum reddiderunt, alterum, quod primus inter homines dolo caedem soceri patrauit; alterum, quod Iouis coniugem tentauit (— 63.). Oportet vero cuiusque modulum (id quod cuique conuenit) per se spectare. Concubitus illiciti in perniciem coniiciunt. Nubem amplexus dulcem fraudem sectatus est Ixion. Nubes enim, a Ioue dolose facta, Iunoni simillima splendebat (— 73.). Parauit vero magnam sibi perniciem, vinculum cum quatuor radiis (rotam), quo constrictus illud omnibus declarauit monitum (— 78.). Nubes ei sola solum

(vnicum)

(vnicum) peperit filium inuenuſtum, nec diis nec hominibus acceptum, quem Centaurum nominauit. Ille ad Pelium cum Magneſiis equabus rem habuit, vnde natus eſt mirus ille exercitus (Centaurorum), quoad inferiores partes matribus, quoad ſuperiores patri, ſimilis (— 88). Deus omnem euentum ex ſententia perficit, deus qui celerrime operatur, ſuperbos deprimit, alios ornat (— 96.). Me vero vitare oportet maledicentiam. Vidi enim Archilochum, qui inſectandi alios ſtudio delectabatur, anguſtiis premi (— 102.). Diuitiis cum ſapientia iunctis florere, optimum eſt. Tu iis liberaliter flores, multarum vrbium et numeroſi populi domine (Hiero). Si quis alium in Graecia ſuperiorem opibus et gloria fuiſſe dicit, fruſtra loquitur (— 112.). Euehar ad tuas laudes dicendas. Audacia iuuentuti in periculoſis praeliis adeſt; tu quoque magnam gloriam et equeſtri et pedeſtri pugna conſecutus es, ſed conſilia (tua) ſenilia materiem laudum tutiorem praebent. Salue! Carmen hoc, vt Phoeniciae merces, trans mare (Thebis Syracuſas) ad te mittitur (— 126.). Caſtorium vero carmen Aeolicis modis compoſitum, beneuole excipe, lyricum hymnum. Semper tibi conſta (in adulatoribus repudiandis)! Pueris etiam ſimius venuſtus eſt (ita iuuenibus adulatores placere poſſunt); ſed Rhadamanthus (bonus princeps) felix eſt, quod prudentiſſime egit, nec fraudibus delectatus eſt, quod ſemper mortalibus euenit per adulatores (— 139.). Sunt vtrisque (et ſibi et aliis) grauiſſimo malo calumniatores, moribus admodum ſimiles vulpium, et lucrandi ſtudio. Sed quid lucrantur? In com-

muni naufragio, ſuberis inſtar non ſubmerſus nato in maris ſuperficie (147.). Non valent apud bonos doloſi hominis dicta. Adulans omnibus omnia implicat. Impudentiae eius nolo particeps eſſe. Amicum amabo; ſed aduerſario lupi inſtar occurram nunc hic nunc illic in obliquis eius viis (— 156.). Homo ſincerus in quauis ciuitatis forma, et in regia, et in democratica, et in ariſtocratica, melior eſt (— 161.). Cum deo vero non pugnandum eſt, qui nunc illos euehit, nunc aliis magnam largitur gloriam. At nec haec mentem inuidorum deliniunt. Sed maiori trutina expendentes (maioris illa aeſtimantes, quae aliis eueniunt) infligunt ſuo animo vulnus, antequam id, quod machinantur, conſequi valent (— 170.). Iuuat impoſitum iugum facile ferre; pernicioſum eſt, aduerſus ſtimulum calcitrare. Mihi contingat, bonis placere et cum iis verſari (— 176.).

Non eſt carmen reliquis epiniciis ſimile, ſed occaſione victoriae ſcriptum et Syracuſas miſſum encomium.

ΕΙΔΟΣ β'.

ΤΩΙ ΑΥΤΩΙ ΙΕΡΩΝΙ

ΑΡΜΑΤΙ.

Σ. α'. Κ. ιε'.

Μεγαλοπόλιες ὦ Συρά-
κοσαι, βαθυπολέμῳ

C 2 Τέμε-

Τῷ αὐτῷ Ἱέρωνι, ἅρματι] καὶ ὗτος ὁ ἐπινίκιος Ἱέρωνι ἐπιγέγραπται, νικήσαντι ἅρματι. ἄθηλον δὲ, εἰς ποῖον ἀγῶνα. διεσιάζετο γὰρ ὁ μετρίως τοῖς πρὸ ἡμῶν. οἱ μὲν γὰρ ὅλως αὐτὸν φασιν ἐπινίκιον εἶναι· Τίμαιος δὲ, χαριστήριον· Καλλίμαχος δὲ, Νεμεακόν· Ἀμμώνιος δὲ καὶ Καλλίστρατος, Ὀλυμπιακόν, ὡς καὶ Ἀπολλώνιος ὁ εἰδογράφος. ἔνιοι δὲ Παναθηναϊκόν. αὐτίκα γὰν Διονύσιος ὁ Φασηλίτης ἐκ εἴα δεῖν γράφεσθαι (v. 6.), τὰν λιπαρὰν ἀπὸ Θηβᾶν, ἀλλὰ, τὰν λιπαρὰν ἀπ' Ἀθηνᾶν, διὰ τὸ Παναθηναϊκὸν εἶναι τὸν ἐπινίκιον. καταφέρεσθαι γάρ φησί πως τὸν Πίνδαρον εἰς τὸ, τὰς μὲν Ἀθήνας λιπαρὰς ἀγορεύειν, τὰς δὲ Θήβας χρυσαρμάτους, καὶ εὐαρμάτους, καὶ λευκίππους, καὶ κυανάμπυκας, τέλεον εὐχερής τις ὤν. καὶ γὰρ καὶ ἄλλας πλείας λιπαρὰς καλεῖ, ὥσπερ τὴν Σμύρναν· καὶ λιπαρῷ Σμυρναίῳ ἄστει· καὶ τὴν Αἴγυπτον, ἐν Διθυράμβοις (Fragm. p. 50.)· Τὰν λιπαρὰν μὲν Αἴγυπτον ἄγει κνήμων. καὶ τὰς Θήβας δέ πε εἶπε λιπαράς· Λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον. ἄλλως τε εὔηθες, ἀπὸ τῶν Ἀθηνῶν φάναι τῷ Ἱέρωνι τὸ μέλος φέρεσθαι. ὁ γὰρ τὸ μέλος, ἀλλ' ἡ νίκη αὐτῷ Ἀθήνηθεν ἀφικνεῖται. ὁ δὲ Πίνδαρος οὐκ Ἀθηναῖος, ἀλλὰ Θηβαῖος, ὥστε, ἀπὸ Θηβᾶν, δεῖ γράφεσθαι, ὅθεν ἦν ὁ Πίνδαρος, ὁ τὸ ποίημα συνθείς.

1. Μεγαλοπόλιες] μεγαλοπόλιας εἶπε τὰς Συρακούσας, ἐπειδὴ Ἀρχίας τέσσαρας πόλεις καταρρεψάμενος εἰς μίαν συνήγαγεν. εἰσὶ δὲ αὗται· Ἀχραδινὴ, Τύχη, Ἐπιπολαὶ, καὶ Νῆσος. οὐκ ἐκ τῶ παρατυχόντος ὧν μεγαλοπόλιας εἶπε τὰς Συρακούσας. ἃ δὲ νῦν· ὦ μεγαλοπόλιες Συράκουσαι, τῷ μεγαλοπολέμῳ Ἄρεος τέμενος ὔσαι, ἀντὶ τῶ, ὠνδρεῖοι ὄντες.

3. Ἀν-

Τέμενος Ἄρεος, ἀνδρῶν
Ἵππων τε σιδαροχαρμᾶν
Δαιμόνιαι τροφοί·
Υ̓́μμιν τόδε τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν
Φέρων μέλος ἔρχομαι
Ἀγγελίαν τετραορίας ἐλελίχθονος·
Εὐάρματος Ἱερων ἐν ᾇ κρατέων
Τηλαυγέσιν ἀνέδησεν Ὀρ-
τυγίαν στεφάνοις,
Ποταμίας ἕδος Ἀρτέμιδος·

Τᾶς

3. Ἀνδρῶν, ἵππων τε] ἀνδρῶν σιδήρῳ καὶ ἵπποις χαιρόντων καὶ πολεμικῶν τροφοὶ ὔσαι δαιμόνιαι. τοῦτο δὲ εἴρηκε διὰ τὸ νεωστὶ Καρχηδονίης καὶ Λίβυας καὶ Τυρσηνὸς ὑπὸ τῶν περὶ Γέλωνα καὶ Ἱέρωνα μὴ μόνον τῇ νήσῳ ἐπιπλεύσαντας καθῃρῆσθαι, ἀλλὰ καὶ ὑπ' αὐτοῖς τὴν Καρχηδόνα γενέσθαι, ὥστε καὶ ὑπακούειν. τὸ γὰν ἀνθρωποθυτεῖν φησὶν ὁ Θεόφραστος ἐν τῷ περὶ Τυρσηνῶν παύσασθαι αὐτὸς, Γέλωνος προστάξαντος. ὅτι δὲ καὶ ἐκέλευσεν αὐτὸς χρήματα εἰσφέρειν, Τίμαιος διὰ τῆς τεσσαρεσκαιδεκάτης ἀναγέγραφε.

6. Τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν] λιπαρὰς φησὶ τὰς Θήβας διὰ τὸν Διόνυσον, καὶ τὸν Ἡρακλῆ, καὶ αὐ ἐκ αὐτὸς δὲ ὁ Πίνδαρος ἦκων εἰς τὰς Συρακούσας ταῦτά φησιν. ᾗ γὰρ ἀφῖκται πρὸς τὸν Ἱέρωνα, ἀλλ' ἡ ᾠδὴ ἐπιτολιμαία ἐστίν. ἤτοι ὧν ἐκ τῶ διακομίσαντος τὴν ᾠδὴν πρὸς τὸν τύραννόν ἐστιν ὁ λόγος, ἢ ἐκ τῦ χορῦ. διὰ γὰρ χορῦ ἔπεμπε τὰς ἐπινικίους. ὁ δὲ νῦς· ἀπὸ τῶν εὐδαιμόνων Θηβῶν παραγίνομαι τὸ μέλος φέρων.

8. Ἀγγελίαν τετραορίας] ἤγγειλε ἀνακήρυξιν. τῷ ἅρματος τῷ κατὰ τὴν χθόνα ἐλελίζοντος καὶ ἀνακινοῦντος.

9. Εὐάρματος Ἱέρων ἐν ᾇ] ἐν ᾗ ὁ εὐάρματος Ἱέρων νικῶν εὐσυνόπτοις καὶ διαυγεστάτοις τεφάνοις ἀνέδησε τὴν Ὀρτυγίαν. ἐν τῇ Ὀρτυγίᾳ γὰρ ἦν τὰ ἱπποτροφεῖα τῦ Ἱέρωνος. Ὀρτυγίαν δὲ τὴν ἐπὶ τῆς Σικελίας κεκλῆσθαι νῆσόν φησιν. αὕτη γὰρ νῆσος ὔσα τὸ πρότερον συνῆπτε ταῖς Συρακούσαις.

12. Ποταμίας ἕδος] τῆς Ἀλφειαίας. φασὶ γάρ τινες τὸν Ἀλφειὸν ἐρασθῆναι τῆς Ἀρτέμιδος καὶ διώξαντα ἄχρι τῆς Ὀρτυγίας παύσασθαι. ὅθεν Ἀλφειαίας Ἀρτέμιδος ἱερὸν ἐκεῖ καθιδρύθηνῦν δὲ ποταμίας εἶπεν. Ἄλλως. ἵδρυται γὰρ ἄγαλμα Ἀρτέμιδος ἐπὶ τῇ Ἀρεθούσῃ· ἡ δὲ Ἀρέθουσα ἐξ Ἀλφειῦ τῦ ποταμῦ δέχεται τὰ ῥεύματα. διὰ τῦτο ὧν ποταμίαν Ἄρτεμιν αὐτὴν κατωνόμασε.

13. Τᾶν

Τᾶς ἠκ ἄτερ δεινὰς ἀγαναῖσιν ἐν
Χερσὶ ποικιλανίας
Ἐδάμασσε πώλας.

Α. ά. Κ. ιέ.

Ἐπὶ γὰρ ἰοχέαιρα παρ-
θένος χερὶ δίφρον,
Ὅ, τ' ἐναγώνιος Ἑρμᾶς,
Αἰγλᾶντα τίθησι κόσμον,
Ξεστὸν ὅταν δίφρον
Ἐν θ' ἅρματα πεισιχάλινα καταζευ-

13. Τᾶς ἠκ ἄτερ] ἧς τινος ἐκείνης, τῆς Ἀρτέμιδος δηλονότι, ἣ χωρὶς, τὰς πεποικιλμένας ἡνίας ἔχουσας πώλας ταῖς ἀγαναῖς ἑαυτῆ χερσὶν ἐδάμασε καὶ ὑπέζευξε. (τὸ δὲ κείνας τῷ πώλας συναπτέον.) ἐπεὶ ἱππικὴ καὶ ἡ Ἀρτεμις. καὶ Ὅμηρος (Il. VI, 205.)· Τόνδε χολωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα.

16. Ἐπὶ γὰρ ἰοχέαιρα] τὸ ἐπὶ τῷ τίθησι συναπτέον. διδύμα δὲ ἡ Ἀρτεμις καλεῖται. ὁ δὲ νῦς· ἡ δὲ παρθένος Ἀρτεμις ἀμφοτέραις αὐτῆς ταῖς χερσὶ, καὶ ὁ ἐναγώνιος Ἑρμῆς, τὸν λαμπρὸν ἐπιτίθησι κόσμον τῷ ἅρματι.

18. Ὅ τ' ἐναγώνιος] ἐναγώνιος δὲ ὁ Ἑρμῆς, ὡς τῶν ἀγώνων προστάτης, ὡς καὶ Αἰσχύλος (in Fragm. vid. Stanlei. ad Agam. 524.)· Ἐναγώνιε Μαίας καὶ Διὸς Ἑρμᾶ.

20. Ξεστὸν ὅταν δίφρον] ὅταν τὸν δίφρον καταζευγνύῃ, φησὶ, καὶ τὰ πεισιχάλινα ἅρματα, τὰς σειρὰς δηλονότι· καὶ τὰ ζυγά. πεισιχάλινα δὲ πῶς τὰ ἅρματα; χαλινοῖς γὰρ ἃ χρῶνται πρὸς τὴν καταζευξιν· ἤτοι ὧν τὰς ἡνίας δεκτέον χαλινὺς εἰρῆσθαι, διὰ τὸ χαλᾶσθαι αὐτὰς καὶ πάλιν ἕλκεσθαι, ἢ καὶ ἐπὶ τῶν κελήτων δεκτέον. ἠγώνισται γὰρ καὶ κέλησιν. ὅταν ὧν ὁ Ἱέρων εἰς τὸν ἀγῶνα παρασκευάζῃ τὰ ἅρματα, ἡ Ἀρτεμις προσάπτεται αὐτῶν ὀχημάτων, κατὰ τὸ Ὁμηρικόν (Il. V, 799.)·

Ἵππειε δὲ θεὰ ζυγὸν ἧψατο
Φώνησέν τε.

ἢ ὅτως· ἐπιτίθησί, φησι, τὰς χεῖρας ἡ Ἀρτεμις καὶ ὁ Ἑρμῆς τῷ Ἱέρωνι, ὅταν εἰς τὸν εὔξεστον δίφρον καὶ τὰ πεισιχάλινα ἅρματα, ὅ ἐστι τὰς ἡνίας, καταζευγνύῃ τὸ ἱππειον σθένος, ἀντὶ τοῦ, ὅτε τοὺς ἵππους ζεύγνυσιν ὁ Ἱέρων, καλῶν τὸν Ποσειδῶνα, ὡς ἱππειον θεόν.

21. Ἐν θ' ἅρματα] ἡ ἐν αὐτὶ τῆς εἰς, ἵν' ᾖ· ὅταν εἰς τὰς δί-

φρους

γυνὴ σθένος ἵππειον,
Ὀρσοτρίαιναν εὐρυβίαν καλέων Θεόν. —
Ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ
Εὐαχέα βασιλεῦσιν ὕ-
μνον, ἄποιν' ἀρετᾶς.
Κελαδέοντι μὲν ἀμφὶ Κινύ-
ραν πολλάκις φᾶμαι Κυπρίων, τὸν ὁ
Χρυσοχαῖτα προφρόνως
Ἐφίλασ' Ἀπόλλων

Ε. ά. Κ. ιδ'.
Ἱερέα κτίλον Ἀφροδίτας.

Ἄγει

φρυς καὶ χαλκῆς ζευγνύῃ τὸ ἵππειον σθένος, τυτθεῖ, τὴς ἵππης.

24. Ἄλλοις δέ τις ἐτέλεσεν] ἄλλοις βασιλεῦσιν ἄλλος ποιητὴς ὕμνον εὔηχον καὶ εὔρυθμον, ἢ ἐφ' ᾧ ἐστιν αὐχεῖν, κατασκευάζει, ὄντα τὸν ὕμνον ἀμοιβὴν καὶ λύτρα τῆς ἀρετῆς. εἶτα ἡ ἀνταπόδοσις τῷ νῷ· ἐγὼ δέ σε, ὦ Ἱέρων, καὶ ἐπισυνάπτει ἐργασίαν.

27. Κελαδέοντι μὲν ἀμφὶ Κινύραν] περὶ μὲν τὸν Κινύραν, τὸν τῶν Κυπρίων βασιλέα, οἱ ὕμνοι γίνονται, ἐγὼ δὲ περί σε. ὅτος δὲ ἦν Ἀπόλλωνος υἱὸς καὶ Πάφυ, κατ' ἐνίους Εὐρυμέδοντος καὶ Παφίας νύμφης. ἐγένετο δὲ βασιλεὺς τῶν Κυπρίων καὶ ἱερεὺς τῆς Κυπρίας Ἀφροδίτης. ὁ δὲ νῷ· χορεύσασι μὲν περὶ τὸν Κινύραν πολλάκις οἱ τῶν Κυπρίων ὕμνοι, ὄντινα ὁ χρυσοκόμης ἠγάπησεν Ἀπόλλων, ἱερέα καὶ σύντροφον καὶ συνήθη τῆς Ἀφροδίτης ὄντα. ἡ δὲ ἀνταπόδοσις τῷ λόγῳ αὖτη· περὶ μὲν τὸν Κινύραν οἱ τῶν Κυπρίων ὕμνοι, περὶ δὲ σὲ ὁ ἐμὸς καὶ τῶν Συρακυσίων. Διαπορεῖται δὲ, τί ποτε ἐν τῷ τῷ Ἱέρωνος ὕμνῳ τῷ Κινύρα ἐμνημόνευσε; καὶ φασί τινες, ὅτι ὁ Κινύρας ὅτος ἱεροφάντης ταῖν θεαῖν ἀπεδέδεικτο. Δεινομένης γὰρ υἱεῖς εἰσιν οἱ περὶ τὸν Ἱέρωνα, τῷ τὰ ἱερὰ ἐκ Τριόπα τῆς Κύπρυ εἰς Σικελίαν κομίσαντος. ὁ δὲ Κινύρας ὅτός ἐστιν, ἀφ' ᾧ οἱ ἐν Κύπρῳ Κινυρίδαι τῇ θεᾷ ἀνιέρωντο. ἢ ὅτως· εἰσὶν οἱ λέγοντες τὸν Δεινομένην, τὸν πατέρα Ἱέρωνος, ἀνέκαθεν τυγχάνειν Κύπριον. διὸ νῦν εὐλόγως γεγράφων εἰς τὸν Ἱέρωνα μέμνηται Κινύρα, ὃ καὶ Ὅμηρος μέμνηται (Il. XI, 20.)·

Τὸν ποτε οἱ Κινύρης δῶκε ξεινήϊον εἶναι.

31. Ἱερέα κτίλον] Ὅμηρος μὲν προηγούμενον τῆς ποίμνης κριὸν κτίλον ὀνομάζει (Il. III, 196. XIII, 492.), ἡ δὲ τὸ ὀνόματος ἔτυμα-

Ἄγει δὲ χάρις φίλων
Ποίνιμος ἀντὶ ἔργων
Ὀπιζομένα. Σὲ δ', ὦ Δεινομένειε παῖ,
Ζεφυρία πρὸ δόμων

C 4 Λοκρὶς

ἐτυμολογία οὐχ ὕτως ἔχει αὕτη ἡ παρὰ Πινδάρῳ. ἐστὶ γὰρ παρὰ τὸ κτίσαι, ὅ ἐστι θρέψαι. καθάπερ φησὶ καὶ ἐν ἄλλοις ὁ Πίνδαρος· Ὀρικτίτᾳ υἱός, τῷ ἐν ἔρεσι τεθραμμένῳ. νῦν δὲ κτίλον οἱονεὶ τὸν συντεθραμμένον καὶ συνήθη λέγει καὶ εἰθισμένον τῇ χειρί. καὶ αὐτὸς γὰρ ὁ Πίνδαρος τὸ τιθασσεῦσαι καὶ κτιλεύεσθαι λέγει (Fragm. p. 86.)· Ἔνθα ποιμένες κτιλεύουσιν κάπρων λεόντων τε. ἀγαπᾶσθαι δὲ τὸν Κινύραν φησὶν ὑπὸ Ἀπόλλωνος, οὐχ ὅτι ἐρώμενος αὐτῷ ἦν, ἀλλ' ὅτι ὑπὸ τῶν μουσικῶν ἐγκωμιαζόμενος.

32. Ἄγει δὲ χάρις] ἄγει δὲ ἑαυτὴν ἡ χάρις πρὸς ἀμοιβήν τινος ὑποσημαινομένη τῶν προὐπαρξάντων ἀσφαλεστάτων ἔργων. ὁ δὲ λόγος αὐτῷ, ὅτι προευεργετηθεὶς ὑπὸ Ἱέρωνος νῦν ἀμείβεται αὐτὸν τοῖς ὕμνοις καὶ ἐγκωμίοις. ἀντὶ γὰρ ἔργων ἡ χάρις ἄγει τὸν ποιητὴν εἰς τὸ λέγειν καὶ ὑμνεῖν, ἤτοι ὁ μισθός. ποίτινος (sic) δὲ, ἀμειπτική. Ἄλλως. ἔξωθεν προσδεκτέον τὸ χάριν, ὥστε εἶναι τὸν λόγον τοιοῦτον· ἡ δὲ χάρις χάριν ἄγει, ἀντὶ φίλων ἔργων σεβομένη τὸν εὐεργετήσαντα. ἢ ὀπιζομένη, ἀντὶ τῶ ἀμειβομένη, ἀντιδιδοῦσα, ἐντρεπομένη. μετ' αἰδοῦς γὰρ χαρίζεται, ἀλλ' ὑ μετὰ θράσους. ἢ τὸ ὀπιζομένη, ἀντὶ τῦ ὕστερον ἐπακολουθοῦσα. ἡ γὰρ ἀμειπτικὴ χάρις ὑστέρα τῆς προκαταρκτικῆς. τοῦτο δὲ εἶπε, διὰ τὸ τὸς Λοκροὺς χάριν ὁμολογεῖν τῷ Ἱέρωνι, προευεργετήσαντι αὐτούς. Λοκροὺς δὲ, τὸς Ἐπιζεφυρίους φησὶ, τὸς πρὸς τῇ Ἰταλίᾳ οἰκοῦντας.

34. Σὲ δ' ὦ Δεινομένειε παῖ] Ἀναξίλα τῷ Μεσήνης καὶ Ῥηγίου τυράννῳ Λοκροῖς πολεμοῦντος, Ἱέρων πέμψας Χρόμιον τὸν κηδεστὴν, διηπείλησεν αὐτῷ, εἰ μὴ καταλύσαιτο τὸν πρὸς αὐτὸς πόλεμον, αὐτὸν πρὸς τὸ Ῥήγιον στρατεύειν, ὃ δὴ πρὸς τὴν ἀπειλὴν ἐνδόντος, ἐν εἰρήνῃ διῆγον οἱ Λοκροί. ἐφ' οἷς ὦν ἔπαθον οἱ Λοκρίδες, ᾄδου καὶ καθύμνων τὸν Ἱέρωνα. ὁ δὲ νῦς· ἀνυμνῦσι μὲν τὸν Κινύραν οἱ Κύπριοι· σὲ δὲ, ὦ Δεινομένειε παῖ, Ἱέρων, αἱ Ἐπιζεφύριαι πάρθενοι προελθοῦσα τῶν οἴκων, τῶν πολεμικῶν καμάτων ἐξ ἀπροσδοκήτε ἀπαλλαγεῖσαι, καὶ διὰ τὴν σὴν δύναμιν ἐλεύθεραν βλέπουσαι. [καὶ γὰρ Ἀναξίλας, ὡς ἔφαμεν, καὶ Κλεόφρων ὁ τύτε παῖς, Ἰταλίας ὄντες τύραννοι, ὁ μὲν ἐν Μεσήνῃ τῇ Σικελιωτικῇ, ὁ δὲ ἐν Ῥηγίῳ, τῷ περὶ Ἰταλίαν, πόλεμον ἠπείλων Λοκροῖς. διαπρεσβευσάμενος δὲ πρὸς αὐτὸς ὁ Ἱέρων ἔπαυσε τὸς Λοκροὺς τῦ πολέμε.]

39. Θεῶν

Λοκρὶς παρθένος ἀπύει,
Πολεμίων καμάτων ἐξ ἀμαχάνων
Διὰ τεὰν δύναμιν δρακεῖσ' ἀσφαλές. —
Θεῶν δ' ἐφετμαῖς

Ἰξίονα

39. Θεῶν δ' ἐφετμαῖς Ἰξίονα φαντὶ] ταῖς τῶν θεῶν δὲ ἐντολαῖς καὶ βιαλήσεσι τὸν Ἰξίονα φησὶν ἡ Λοκρὶς παρθένος ταῦτα τοῖς ἀνθρώποις βοᾶν, τῷ ταχεῖ τροχῷ πανταχῆ δινήμενον, ὥστε τὸν εὐεργέτην προσηνέσιν ἀμοιβαῖς μετερχομένους ἀμείβεσθαι. Ἄξιον δὲ εἰπεῖν, τίνος ἕνεκα τὰς περὶ τὸν Ἰξίονα παρεμβέβληκε νῦν λόγους ὁ Πίνδαρος. εἰ γὰρ οἱ Λοκροὶ, ἀνθ' ὧν εὐηργετήθησαν ὑφ' Ἱέρωνος, ᾄδουσιν αὐτῷ, εἰς ᾠδὴν ὁ Ἰξίων αὐτῷ προσῆκται. τότε γὰρ ἐχρῆν εἰς παράδειγμα αὐτὸν ἄγεσθαι, εἰ μή γε χάριτος οἱ Λοκροὶ, ὥσπερ ὁ Ἰξίων, ἐμνήσθησαν. φαμὲν ἔν, ὅτι καθόλου παρακελεύονται αἱ Λοκρίδες τῷ Ἰξίονι λέγειν τοῖς ἀνθρώποις, ὡς τὸν εὐεργέτην προσήκει τοῖς αὐτοῖς ἀεὶ ἀμείβεσθαι. Τὸν δὲ Ἰξίονα οἱ μὲν Ἀντίοχος γενεαλογοῦσιν, ὡς Αἰσχύλος· Φερεκύδης δὲ, Πεισίνοος· ἔνιοι δὲ, Ἄρεος· οἱ δὲ Φλεγύαν, Ἀσκληπιάδης δὲ ἐν τῷ τρίτῳ τῶν Τραγῳδουμένων ὕτω γράφει. προσισορροῦσι δὲ ἔνιοι, ὡς καὶ μανείη ὁ Ἰξίων, ὡς καὶ Φερεκύδης. καὶ τὴν ἐπὶ τὸ τροχῷ δὲ κόλασιν αὐτῷ παρεγκεχειρήκασιν. ὑπὸ γὰρ δίκης καὶ θυέλλων αὐτὸν ἐξαρπασθέντα φθαρῆναί φασιν. ὕτος ἔγημε Δίαν τὴ Δηϊονέως θυγατέρα. ἔθος δὲ τοῖς παλαιοῖς τῶν γυμφῶν τοῖς πατράσι δῶρά τινα ἐνάγειν, ὡς Ὅμηρος (Iliad. XI, 244. f.)·

Πρῶθ' ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλι' ὑπέστη
Αἶγας ὁμῦ καὶ ὄϊς.

ὁ γοῦν Δηϊονεὺς, κατὰ τὸ σύνηθες, γήμαντα Ἰξίονα τὴν αὐτῦ θυγατέρα τὴν τῶν δώρων εἰσεπράττετο δόσιν· ὁ Ἰξίων δὲ βιαζόμενος παρ' αὐτῦ καὶ ἀναγκασθεὶς, βάθρον διώρυξε, καὶ πλησώσας αὐτὸν πυρὸς, ὡς ἐπὶ εὐωχίαν ἐκάλεσεν. ὁ δὲ ἀπρονόητος ὢν τῦ μηχανήματος καὶ εἰσελθὼν εἰς τὴν πυρὰν, ἔνδον ἔπεσε καὶ κατεκαύθη. τῦ δὲ μύσους μηδενὸς καθαρίζοντος τὸν Ἰξίονα, ἀποστραφέντων δὲ αὐτὸν καὶ τῶν ἄλλων θεῶν, μόνος ὁ Ζεὺς οἰκτείρας αὐτὸν, ἐκάθηρε τῦ φόνυ καὶ εἰς τὸν οὐρανὸν τῦτον ἀνήγαγε, καὶ συνέζιον ἑαυτῷ ἐποιήσατο. ὁ δὲ Ἰξίων μὴ τῆς προτέρας ὥσπερ τῦ Διὸς ἀπομνημονεύσας χάριτος, δευτέρῳ πάλιν ἐπιχειρεῖ ἁμαρτήματι, καὶ εἰς ἔρωτα τῆς Ἥρας κινηθεὶς ἐπεχείρει ταύτῃ συμμίγνυσθαι. ὁ δὲ Ζεὺς καὶ τῦτο μαθὼν, ὁμοίαν τῇ Ἥρᾳ νεφέλην ἐξετύπωσε καὶ ἀνέπλασεν. ἣν καὶ θεασάμενος Ἰξίων συνεμίγη τε αὐτῇ, καὶ ἄγριον τινα καὶ τερατώδη ἄνδρα ἐκ ταύτης πεποίηκε, κένταυρον κατονομάσας. ὕστερον μέντοι τροχῷ τὰς χεῖρας καὶ τὺς πόδας τῦ Ἰξίονος ὁ Ζεὺς ἐδέσμευσε,

Ἰξίονα Φαντὶ ταῦτα
Βροτοῖς λέγειν, ἐν πτερόεντι τροχῷ
Παντᾷ κυλινδόμενον·
Τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς
Ἐποιχομένυς τίνεσθαι.

Σ. β'. Κ. ιε'.

Ἔμαθε δὲ σαφές. εὐμενέσ-
σι γὰρ παρὰ Κρονίδαις
Γλυκὺν ἑλὼν βίοτον, μα-
κρόν γ' ἐχ ὑπέμεινεν ὄλβον,
Μαινομέναις Φρεσὶν
Ἥρας ὅτ' ἐράσσατο, τὰν Διὸς εὐναὶ
Λάχον πολυγαθέες·
Ἀλλά νιν ὕβρις εἰς ἀάταν ὑπεράφανον

σε, καὶ τὸν τροχὸν ἀειδίνητον παρεσκεύασε. ταύτης ἓν τῆς ἱστορίας νῦν ὥσπερ ἀπομνημονεύει ὁ Πίνδαρος, ὡς προσήκει τὺς εὐεργετήσαντας βελτίοσιν ἀμείβεσθαι, καὶ μὴ τοῖς ἐναντίοις καταβλάπτειν. δεδεμένος, φησὶ, τῷ τροχῷ ὁ Ἰξίων βοᾷ, ὅτι δεῖ τὺς εὐεργετήσαντας ἀντευεργετεῖν.

45. Ἔμαθε δὲ σαφὲς] ἔμαθε δὲ σαφῶς ὁ Ἰξίων, ὅτι δεῖ τὸν εὐεργέτην ἀνταμείβεσθαι. παρὰ γὰρ τοῖς τῆ Κρόνυ παισὶν, εὐμενῶς διατεθεῖσιν αὐτῷ, ἡδύν τε δεξάμενος βίον, τὴν ἐν θεοῖς διαγωγὴν, τὸν μακρὸν καὶ ὑπεραίροντα τὴν ἑαυτῆ φύσιν, ἐνεγκεῖν οὐκ ἴσχυσεν, ὅτε τῆς Ἥρας ταῖς μαινομέναις φρεσὶν ἐπεθύμησεν, ἥντινα Ἥραν μόνυμ αἱ τῆ Διὸς κοίτυμ ἔλαχον.

52. Ἐς (sic) αὐάταν] εἰς ἄτην καὶ βλάβην. Αἰολικῶς δὲ τὸ αὐάταν προήγαγεν. ἐκεῖνοι γὰρ, ἐὰν ὦσι δύο φωνήεντα μεταξὺ, ἐντιθέασι τὸ υ', ὡς ἐπὶ τῆ ἀὴρ, καὶ ἀώς. ὅτε δὲ σύμφωνόν ἐστιν, οὐκέτι. Καὶ τάχα ἄν τις ἡμῖν ἀποροήσειε λέγων· πῶς τὸ ἄτη, τῆ τ' ὄντος μεταξὺ, τὸ υ' ἀνεδέξατο, εἴπερ τῆτο ἀ γίγνοιτο, ὅπηνίκα σύμφωνόν ἐστι μεταξὺ; καὶ φαμὲν, ὅτι ἀπὸ συναιρέσεως γέγονεν. ἦν γὰρ ἀάτη· καὶ Ὅμηρος (Il. XIX, 91.)·

Πρέσβα Διὸς θυγατὴρ Ἄτη,
ἣ πάντας ἀᾶται.

ἀναλόγως ἂν εἰ καὶ κατ' ἔκθλιψιν γέγονεν, ἀλλ' ἂν διὰ τὸ ὑπάρχειν δυνάμει τὸ ἕτερον α', τὸ υ' ἀνεδέξατο. ὃ δὲ νῦς· ἀλλὰ αὐτὸν

τὸν

Ὧρσεν. τάχα δὲ παθὼν ἐοικότ' ἀνὴρ
Ἐξαίρετον ἔλε μόχθον. αἱ
Δύο δ' ἀμπλακίαι
Φερέπονοι τελέθοντι· τὸ μὲν,
Ἥρως ὅτι γε ἐμφύλιον αἷμα πρώ-
τιστος ἐκ ἄτερ τέχνας
Ἐπέμιξε θνατοῖς·

Α. β'. Κ. ιε'.

Ὅτι δὲ μεγαλοκευθέεσ-
σιν ἔν ποτε θαλάμοις
Διὸς ἄκοιτιν ἐπειρά-
το. — χρὴ δὲ καθ' αὑτὸν αἰεὶ

Παν-

τὸν Ἰξίονα ἡ ὕβρις εἰς ἄτην μεγίστην ἐνέβαλε.

53. Τάχα δὲ παθὼν] Ὅμηρος τὸ τάχα ἀντὶ τοῦ ταχέως. ταχέως δὲ παθὼν καὶ τιμωρηθεὶς τὸν πρέποντα αὐτῷ καὶ ἁρμόζοντα μισθὸν ἀνεδέξατο. ἐξαίρετον δέ φησι, τὸ ἐξηλλαγμένον, ἤτοι δὲ, ὅτι μέγας, ἢ ὃν οὐδεὶς ἄλλος ἔσχεν. οὐδεὶς γὰρ ἄλλος παραδίδοται οὕτως ἐπὶ τροχῷ κολαζόμενος.

54. Αἱ δύο δ' ἀμπλακίαι] τόν τε ἐμφύλιον φόνον καὶ τὴν τῆς Ἥρας ἐπιθυμίαν φησί. λέγει δὲ τοῦτο, ὅτι τὸ μὲν τοῦ φόνου ἁμάρτημα συνέγνωσαν οἱ θεοὶ, τὸ δὲ δεύτερον οὐκέτι. φησὶν οὖν, ὅτι αἱ δύο ἁμαρτίαι φερέπονοί εἰσιν, οἱονεὶ πόνου καὶ τιμωρίαν τοῖς ἁμαρτάνουσιν ἐπιφέρουσαι. τῶν οὖν δύο ἁμαρτημάτων διαίρεσιν ποιεῖται, καί φησιν· Ἰξίων ἐμφύλιον φόνον ἐνέμιξεν ἀνθρώποις, οἷον, πρῶτος τὸν ἐμφύλιον φόνον ἐν ἀνθρώποις εἰργάσατο. δεύτερον δὲ, ὅτι τοῖς μεγάλοις καὶ ἀκατασκευάστοις θαλάμοις τοῦ Διὸς τὴν γαμετὴν Ἥραν ἐπείρα τε καὶ ἐνήδρευε. Τὸ γὰρ ἐπειρᾶτο ἀντὶ ἐνεργητικοῦ ἐστιν. σημαίνει δὲ τὸ ἐνήδρευεν. οὕτω γὰρ καὶ πειρατὰς τοὺς κατὰ πέλαγος λῃστὰς λέγομεν, κυρίως δὲ, τοὺς ἐν ὁδῷ κακοῦργοντας, παρ' ὃ δὴ καὶ ὁδοιπόρους αὐτοὺς λέγουσιν. Εὐριπίδης ἐν Ἀρχελάῳ (n. 28. Fragm. Musgr.)· ἔπαυσ' ὁδοιπόρους λυμεῶνας. καὶ Σοφοκλῆς ἐν Αἰγεῖ (n. 5. T. III. p. 387. ed. Brunk. 1788. in 8.)· Πῶς δῆθ' ὁδοιπόρων οἷος ἐξέβης λαθών;

58. Οὐκ ἄτερ τέχνας] ἡ χωρὶς δόλου. τοῦτο δὲ λέγει διὰ τὸν βόθρον. σημειωτέον δὲ, ὅτι καὶ τοὺς δόλους καὶ τὰς πανουργίας τέχνας τινὲς ἐκάλουν.

63. Χρὴ δὲ καθ' αὑτὸν] προσῳκόν ἐστι, φησι, τῶν κατὰ τὴν ἑαυτοῦ

Παντὸς ὁρᾶν μέτρον. —
Εὐναὶ δὲ παράτροποι ἐς κακότατ' ἀ-
θρόαν ἔβαλον ποτὶ
Κοῖτον ἰκόντ', ἐπεὶ νεφέλα παρελέξατο
Ψεῦδος γλυκὺ μεθέπων ἀϊδρις ἀνήρ.
Εἶδος γὰρ ὑπεροχωτάτᾳ
Πρέπεν ἀρανιᾶν,
Θυγατέρι Κρόνᾳ· ἄν γε δόλον
Αὐτῷ θέσαν Ζηνὸς παλάμαι, καλὸν
Πῆμα. τὸν δὲ τετράκνα-
μον ἔπραξε δεσμόν,

Ε. β'.

αυτῆ δύναμιν τὸ μέτρον σκοπεῖν, καὶ τύπτων ἐπιθυμεῖν, καὶ μὴ τῶν ὑπὲρ δύναμιν ὀρέγεσθαι. ὅμοιον δὲ τοῦτο τῷ ὑπὸ Χίλωνος εἰς Δελφὰς ἐγγεγραμμένῳ, ὅπερ τινὲς φασι Σωδάμᾳ εἶναι.

65. Εὐναὶ δὲ παράτροποι] παρατρόπους εὐνὰς φησι τὰς μοιχιδίας καὶ τῇ δέοντος παρατετραμμένας, αἳ καὶ εἰς κακότητα ἐνέβαλον τὸν Ἰξίονα. ἔνιοι δὲ γράφουσιν, εἰς κακότητα ὀρθὴν, καὶ ἄχλι ἀθρόαν, ἵν' ᾖ εὐθεῖαν, ἀπὸ μεταφορᾶς τῶν ὁδῶν.

69. Εἶδος γὰρ] τὸ γὰρ εἶδος ἡ νεφέλη ὁμοία ἦν τῇ ὑπερεχούσῃ τῶν ὡρανίων Κρόνῳ θυγατρί.

71. Ἄν τε δόλον] ἥντινα νεφέλην Ἰξίονι κατεσκεύασαν αἱ τοῦ Διὸς τέχναι.

72. Καλὸν πῆμα] ἦγον ἀξίαν βλάβην, ὡς καὶ Ἡσίοδος· καλὸν κακὸν. πῆμα δὲ καλὸν φησι τὴν νεφέλην, καλὸν μὲν διὰ τὸ ὡμοιῶσθαι τῇ Ἥρᾳ, πῆμα δὲ, ὡς πρὸς τὸ ἀποτέλεσμα.

73. Τὸν δὲ τετράκναμον] κνήμη ἐστὶν ἡ τοῦ τροχοῦ ῥάβδος, ἣ διήκουσα ἀπὸ τῆς χοινικίδος ἐπὶ τὸν κύκλον. οἱ δὲ ἀριμάτειοι τροχοὶ τῶν ἀνθρώπων ἑξάκνημοί εἰσιν· οἱ δὲ τῶν θεῶν δι' ὑπερβολὴν κόσμου παρὰ τῷ Ὁμήρῳ (Il. V, 723.) ὀκτάκνημοι εἶναι λέγονται. οἰκείως δὲ ὁ Πίνδαρος τὸν τοῦ Ἰξίονος τροχὸν τετράκνημόν φησιν, ἵνα τοῖς μὲν δυσὶ ποσὶ τὰς δύο, ταῖς δὲ δυσὶ χερσὶ τὰς δύο, προσάψῃ κνήμας, ἴσον ταῖς χερσὶ καὶ τοῖς ποσὶν, ὡς εἰς τὴν δέσιν ἀμφοτέρων ἐξαρκεῖν, ποδῶν δηλονότι καὶ χειρῶν. ὁ δὲ νῦς· τὸν δὲ τετράραβδον δεσμὸν ἤνυσε καὶ κατειργάσατο ὁ Ἰξίων ἐὰν ὄντα δεσμὸν ὀλέθριον.

75. Ἓν

Ε. β'. Κ. ιδ'.

Ἐὸν ὄλεθρον, ὅ γ· ἐν δ' ἀφύκτοι-
σι γυιοπέδαις πεσὼν,
Τὰν πολύκοινον ἀνεδέ-
ξατ' ἀγγελίαν. ἄνευ δ' οἱ Χαρίτων τέκε
Γόνον ὑπερφίαλον,
Μόνα, καὶ μόνον, ὅτ' ἐν ἀν-

δράσι

75. Ἐν δ' ἀφύκτοισι γυιοπέδαις] ἐν δεσμοῖς τοῖς τὰ γυῖα πεδῶσι πεσών, τὴν πᾶσιν ἐγνωσμένην (κοινὰ γὰρ τὰ τῆ Ἰξίονος), ἣ τὴν ὠφέλιμον, ἀνεδέξατο ἀγγελίαν καὶ φήμην, ἣν ὀεδεμένος ἐν τῷ τροχῷ ἔλεγε. φημὶ δὲ τὸ, ὅτι χρὴ τὰς εὐεργέτας καλῶς ἀμείβεσθαι. τὸ δὲ, ἄνευ δ' οἱ Χαρίτων, ἀντὶ τῆ ἔξω συνεσίας. χαρίζεσθαι γὰρ κυρίως τὸ συνεσιάζειν λέγεται, ὥσπερ Θεόπομπος ἐν Μήδῳ εἰσάγει τὸν Λυκαβηττὸν λέγοντα· Παρ' ἐμοὶ τὰ λίαν μειράκια χαρίζεται τοῖς ἡλικιώταις. καὶ Ἀριστοφάνης ἐν Ἱππεῦσιν (514. f 517. Brunk.) ἐκ μεταφορᾶς· Πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν, ὀλίγοις χαρίσασθαι. Καὶ Σαπφώ (Wolf. Carm. Sapph. p. 64. f.)· σμικρά μοι, πάϊς, ἔμμεναι φαίνεαι κἄχαρις· ἡ μήπω δυναμένη διὰ τὴν ἡλικίαν χαρίσασθαι. Ἀρίσταρχος δὲ ἀφ' ἑτέρας ἀρχῆς νῦν ἐπὶ τῆς νεφέλης ὑφίησι τὸν λόγον τῆς τῷ Ἰξίονι συνευνασθείσης.

78. Ἄνευ δ' οἱ Χαρίτων] οἷον τὸν ἄχαριν γόνον. ἄχαρις γὰρ ἦν τις καὶ ἄγριος ὁ Νεφέλης καὶ Ἰξίονος Κένταυρος. ἰτέον δὲ ὅτι ἐκ Νεφέλης καὶ Ἰξίονος συνίησιν ὁ Πίνδαρος τὰς δισώμους κενταύρους. ἐκείνας μὲν γάρ φησι τεκεῖν ταῦτον γόνον, ὅς ὅτε ἐν ἀνθρώποις ὅτε ἐν θεοῖς τιμὴν εἶχεν. ὄνομα δὲ αὐτῷ φησιν εἶναι Κένταυρον. τοῦτον δὲ ἐν Μαγνησίᾳ τῇ Θρᾳκικῇ ἵπποις μιγνύμενον (ἔστι δὲ καὶ ἐν τῇ Ἀσίᾳ ἑτέρα Μαγνησία) τὰς διφυεῖς γεννῆσαι Κενταύρους, ὥστε καὶ ἐκείνας κατὰ τὸ γενικὸν ὄνομα ὀνομασθῆναι Κενταύρας, ἀπὸ τῆς τῶ πατρὸς ὀνομασίας. εἰσί γε μὴν οἳ τὸν ὅλον μῦθον παρεγκεχειρήκασιν, ὡς ὑ διφυῶν γεγονότων. Λέλεγάς γάρ φασι πρότερον αὐτὰς προσαγορευομένας, διὰ τὸ ἀποκεντῆσαι τὰς ἵππας προσαγορευθῆναι Ἱπποκενταύρας. οἱ δὲ, ὅτι ἵπποις κέλησιν ἐποχηθέντες πρῶτοι πάντων τῶτο διεπράξαντο.

80. Μόνα καὶ μόνον] ἀντὶ τῆ, μονόμετρον καὶ ξένον τὴν φύσιν. οἱ δὲ ἀντὶ τῆ μόνον καὶ ὐκέτι ἕτερον. ὐδεὶς γὰρ ἄλλος υἱὸς νεφέλης ἐγένετο, καὶ παρὰ τὰς ἄλλας νεφέλας μόνη ἔτεκε Κένταυρον. ἐγέννησεν ὖν, φησὶ, παῖδα ἡ νεφέλη τῷ Ἰξίονι, ὅτ' ἐν ἀνθρώποις γέρας ἀποφερόμενον,

δράσι γερασφόρον ὅτ' ἐν Θεῶν νομοῖς·
Τὸν ὀνύμαξε τραφοισα Κένταυρον. ὃς
Ἵπποισι Μαγνη-
τίδεσσιν ἐμίγνυτ' ἐν Πα-
85 λίῃ σφυροῖς. ἐκ δ' ἐγένοντο στρατὸς
Θαυματός, ἀμφοτέροις
Ὁμοῖοι τοκεῦσι, τὰ ματρόθεν μὲν
Κάτω, τὰ δ' ὕπερθε πατρός. —

Σ. γ' Κ. ιέ.

Θεὸς ἅπαν ἐπὶ ἐλπίδεσ-

σι

ὅ ἐστι, τῆς τῶν ἀνθρώπων φύσεως ξένον ὄντα, ὅτ' ἐν τοῖς τῶν θεῶν νόμοις τιμώμενον, ἢ τὸν ὅτε τῆς τῶν ἀνθρώπων μετέχοντα φύσεως, ὅτε τῆς τῶν θεῶν.

82. Κένταυρον ὃς Ἵπποισιν] ὅτος Κένταυρον ἄνδρα φησὶ γεννηθῆναι ἐκ τῆς νεφέλης καὶ τῆ Ἰξίονος, ὃν μιγνύμενον ταῖς ἵπποις ταῖς Θεσσαλαῖς κατὰ τὰς ὑπωρείας τῆ Πηλίῳ γεννῆσαι τὰς διφυεῖς Κενταύρους, τὰ μὲν κάτω ἐμφερεῖς τῆ μητρὶ, τὰ δ' ἄνω τῷ πατρί.

85. Ἐκ δ' ἐγένοντο στρατὸς Θαυματός] ἡ φράσις κατὰ σχῆμα. ἀπὸ πληθυντικῆ γὰρ ἑνικὸν ἐπήγαγεν εἰπών· ἐκ δ' ἐγένοντο στρατός. καί ἐστι τοῦτο ἐναντίον τῷ παρ' Ὁμήρῳ (Il. XV, 305.)·

Ἡ πληθὺς ἐπὶ νῆας ἀπὸ στρατὸν ἀπενέοντο.

καὶ πάλιν (Iliad. XVIII, 496.)·

αἱ δὲ γυναῖκες
Ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη.

Ζητεῖται δὲ, (διατί) εἰ ἐν Μαγνησίᾳ τῆς Θετταλίας οἱ Κένταυροι ἐτράφησαν, πῶς ἐν Φολόῃ τῇ Ἀρκαδικῇ Ἡρακλεῖ ἀντιτάσσονται; καὶ ῥητέον, ὅτι Πειρίθους, ὁ Ἰξίονος παῖς, καὶ Δίας τῆς Δηϊονέως, ὡς ἂν οἰκειότατα ἔχων πρὸς τοὺς Κενταύρους, τὴν τῶν γάμων ἑστίασιν ἐπιτελῶν, κέκληκεν αὐτούς· ἐπιλαθόμενος δὲ τῷ Ἄρει θῦσαι ἔσχε μηνιῶντα τὸν θεόν. καὶ ὅτως οἱ Κένταυροι τῆς τῶν κρατήρων ἀποπνοίας ἐμφορηθέντες κατὰ τὴν εὐωχίαν, ἑαυτοὺς ἀδαμῶς ἠδυνήθησαν τῆς ἐμφύτου μανίας κατασχεῖν. ἀκράτῳ γὰρ οἴνῳ ἐμφορηθέντες ταῖς τῶν Λαπίθων γυναιξὶν ἀκολάστως ἐφώρμησαν. πολλῶν δὲ ἀναιρεθέντων ἐκ τῶν Κενταύρων οἱ περιλειφθέντες εἰς τὴν Φολόην ἀπέφυγον, τὴν ὅτω κληθεῖσαν ἀφ' ἑνὸς τῶν Κενταύρων.

89. Θεὸς ἅπαν ἐπὶ ἐλπίδεσσιν] ἐλπίδας νῦν τὰς φρένας φησὶ καὶ τὰς διανοίας. λέγει δὲ, ὅτι θεὸς, ὅ, τι ἂν διανοηθείη, τοῦτο καὶ ἀνύει.

σι τέκμαρ ἀνύεται·
Θεὸς, ὃ καὶ πτερόεντ' αἰ-
ετὸν κίχε, καὶ θαλασσαῖ-
ον παραμείβεται
Δελφῖνα, καὶ ὑψιφρόνων τίν' ἔκαμψε
Βροτῶν· ἑτέροισι δὲ
Κῦδος ἀγήραον παρέδωκ'. — Ἐμὲ δὲ χρεὼν
Φεύγειν δάκος ἀδινὸν, κακαγορίαν.
Εἶδον γὰρ, ἑκὰς ἐὼν, τὰ πόλ-
λ' ἐν ἀμαχανίᾳ
Ψογερὸν Ἀρχίλοχον βαρυλό-
γοις ἔχθεσιν πιαινόμενον. — τὸ πλυ-

τεῖν

ἀνύει. τοῦτο δὲ γνωμολογεῖ διὰ τὸν Ἰξίονα, ἐπεὶ ὁ Ζεὺς τὴν νεφέλην τῇ Ἥρᾳ ἴσχυσεν ἀπεικάσαι.

91. Θεὸς ὃ κὴ πτερόεντ'] ἐπεὶ τῶν ζώων τὰ μὲν ἐστι χερσαῖα, τὰ δὲ θαλάσσια, τὰ δὲ μετάρσια, ἀφ' ἑκάστε εἴδους τῶν τριῶν ἕν παρέλαβε τὸ κρατιστεῦον. τὸν ἀετὸν ἕν φησι τὸν βασιλέα τῶν πτηνῶν ὁ Θεὸς καταλαμβάνει κὴ παραλλάσσει. ὁ δελφὶς δὲ δοκεῖ τῶν ἐναλίων προέχειν καὶ ταχύτατος εἶναι· κὴ τοῦτον δὲ παραμείβεται. κὴ ὁ ἄνθρωπος προέχει τῶν ἐπιγείων· κὴ τοῦτον ὑψηλοφρονοῦντα κὴ καυχώμενον κατακάμπτει ὁ Θεὸς καὶ καταπαλαίει. τοῖς δὲ ἀγαθοῖς τῶν ἀνθρώπων ἀγήραον κὴ ἄφθαρτον εὐδοξίαν ἀπένειμεν.

97. Δάκος ἀδινὸν] ἰδίως τὸ δάκος ἀδινὸν εἶπεν, ἀντὶ τοῦ κακόν. βούλεται δὲ λέγειν· ἐμὲ δὲ φεύγειν δεῖ τὰς κακαγορίας, τυτέστι τὸ κατηγορεῖν τινων. αἰνίττεται δὲ εἰς Βακχυλίδην. ἀεὶ γὰρ αὐτὸν τῷ Ἱέρωνι διέσυρεν.

98. Εἶδον γὰρ ἑκὰς ἐὼν] εἶδον γάρ, φησιν, ἐν ἀπορίᾳ βίᾳ τὸν Ἀρχίλοχον καθεζῶτα διὰ τὴν λοιδορίαν, πάντων αὐτὸν ἀποτρεφομένων. τὸν γὰρ ὑπὸ τῶν ἀνθρώπων τοιούτοις ἔχθεσι πιαινόμενον, βαρὺν ἐπιφέρουσιν αὐτῷ λόγον. δύναται δὲ καὶ ἑτέρως διαιρεῖσθαι, ἵνα διὰ μὲν τοῦ, πόλλ' ἐν ἀμηχανίᾳ ψογερὸν Ἀρχίλοχον, νοήσωμεν παρὰ τοῖς ἀνθρώποις ψεγόμενον τὸν Ἀρχίλοχον, ἐπεὶ βαρυλόγοις ἔχθεσιν ἐπαίνετο κὴ ἔχαιρεν, εἰς λοιδορίαν ἀνθρώπων κακομηχάνων τῇ ποιήσει καταχρώμενος. ἢ ὕτως· εἶδον τὸν Ἀρχίλοχον πιαινόμενον λόγοις ψεγεροῖς ἐν ἀπορίᾳ, ψογερὸν γὰρ ἦν.

101. Τὸ πλυτεῖν δὲ] τὸ δὲ ἐπιτυγχάνειν πλούτε μετὰ σοφίας, ἄριστόν ἐστιν. ἢ ὕτω· τὸ εὐπορεῖν σοφίας σὺν εὐτυχίᾳ ἄριστον. τοῦτο δὲ

τεῖν δὲ σὺν τύχᾳ πότμῳ
Σοφίας, ἄριστον.

Α. γ'. Κ. ιε'.

Τὺ δὲ σάφα νιν ἔχεις ἐλευ-
θέρᾳ Φρενὶ πεπορεῖν,
Πρύτανι, κύριε πολλᾶν
Μὰν εὐστεφάνων ἀγυιᾶν
Καὶ στρατᾶ. εἰ δέ τις
Ἤδη κτεάτεσσί τε καὶ περὶ τιμᾷ
Λέγει ἕτερόν τιν' ἀ-
ν' Ἑλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρτερον,
Χαύνᾳ πραπίδι παλαιμονεῖ κενεᾷ. —

Εὐαν-

δὲ ἐπὶ Ἱέρωνος ἀκουτέον. ἀπέτρεψε γὰρ εἰς τοῦτον τὸν λόγον, καί φησιν· ὃ σὺ ἔχεις σὺν εὐτυχεῖ πότμῳ σοφίας, ἄριστόν ἐστι. Ζητεῖται δὲ, πῶς τὸ πλουτεῖν σοφίας λέγεται ἄριστον· σοφία γὰρ πλοῦτε κρείττων. μήποτε ἂν ὡς εἴρηται συγκριτικῶς τὸ πλοῦτε τῇ πρὸς τὴν σοφίαν συγκρινομένῃ. ἐχρήσατο γὰρ ἂν ὡς ὑπερθετικῇ τῇ λέξει τῇ ἄριστον, ἀλλὰ συγκριτικῇ τῇ ἀρεῖον. ἀρεῖον μὲν τόδε τοῦδε, ἄριστον δὲ ἐπὶ πολλῶν. δῆλον δ', ὅτι τὸ πλουτεῖν τέταχεν ὡ κυρίως ἐπὶ τῶ νομένῳ κατὰ τὸν βίον πλοῦτε, οἷον περισσάζειν, χρήμασιν, ἀλλὰ μεταφορικῶς, τὸ πλουτύνειν ἐν πότμῳ σοφίας ἄριστόν ἐστιν, οἷον, τὸ τῇ σοφίᾳ πλουτεῖν ἄριστον. Ἀρίσταρχος δὲ ὅτως· οἷον, εἴ τις λέγει, εὐποτμότατός ἐστιν ὁ πλουτῶν καὶ σοφίας ἅμα τυγχάνων.

104. [2]ᾗ δὲ] τοῦτο πρὸς τὸν Ἱέρωνα εἶπε· σὺ δὲ ἐλεύθερος ὤν, ὦ Ἱέρων, ἐν ἐλευθέρᾳ τῇ φρενὶ τὴν ἀρετὴν ἔχων καὶ τὴν σοφίαν, ἣν προεῖπε, καὶ πλουτῶν, δύνασαι κῃ ἑτέροις πεπαρεῖν (sic), ἤγουν παρίζειν κῃ παρασκευάζειν, ἢ παρασχεῖν κῃ πλουσίως ἀποδεῖξαι.

105. Πρύτανι, κύριε] κυριωτικὲ κῃ τελεσικὲ, τυτέσι, πάντων ἔχων τὴν κυριότητα, ἢ ὅτι κυριεύεις πάντων. Εὐστεφάνων δὲ, ἤγουν ὑψηλῶν, ἢ εὖ τετειχισμένων. τέφανος γὰρ πόλεώς ἐστι τὸ τεῖχος.

108. Εἰ δέ τις ἤδη] εἰ δέ τις πλούτῳ κῃ τιμῇ, φησιν, ἕτερόν τινα τῶν κατὰ τὴν Ἑλλάδα τῶν πρὸ τύτε μείζονα κῃ ἀξιολογώτερον λέγει γεγενῆσθαι, κωφῇ κῃ ματαίᾳ φρενὶ διαπλέκει κῃ μάχεται, ἤτοι ἀνόητός ἐστι κῃ ἀνκίσθητος.

Εὐαν-

Εὐανθέα δ' ἀναβάσομαι
Στόλον, ἀμφ' ἀρετᾷ
Κελαδέων· νεότατι μὲν ἀ-
ρήγει Θράσος δεινῶν πολέμων· ὅθεν
Φαμὶ καὶ σὲ τὰν ἀπείρονα δόξαν εὑρεῖν,

Ε. γ'. Κ. ιδ'.

Τὰ μὲν ἐν ἱπποσόαισιν ἀνδρά-
σι μαρναμένον, τὰ δ' ἐν
πεζομάχαισι. βυλαὶ
Δὲ πρεσβύτεραι ἀκίνδυνον ἐμοὶ ἔπος

Ποτὶ

113. Εὐανθέα δ' ἀναβάσομαι] ἤδη δὲ ὁρμήσω ἀνθηρῶς ἀνυμνήσων τὴν ἀρετὴν τῦ Ἱέρωνος. ἢ ὕτως· ἐπὶ τὸν ἀνθηρὸν τόλον, λέγων τὴν ἀρετὴν τῦ Ἱέρωνος διὰ τὰς τεφάνας, ἢ διὰ τὸ περὶ Ἰξίονος προειπεῖν, μεταβὰς νῦν φησιν ἐπὶ τὴν εὐανθῆ ὁδὸν ὁρμήσω. ἐπειδὴ γὰρ περὶ λοιδοριῶν διεξῆλθε καὶ τῆς ἐξ ἀρχῆς δυσφημίας, φησὶν, ὅτι ἐπ' εὐανθεστέραν ὁδὸν λόγων ἀναβήσομαι, καὶ ὑμνήσω σε, Ἱέρων, περὶ τῆς ἀρετῆς λέγων τῆς σῆς. ἡ δὲ μεταφορὰ τῦ, εὐανθῆ τόλον, ἀπὸ τῶν πλεόντων ἡδέως.

115. Νεότατι μὲν] τῇ νεότητι μὲν βοηθεῖ ἡ περὶ τὸ πολεμεῖν θρασύτης. τῦτο δὲ ἐν τῷ καθόλυ γνωμικῶς ἀναπεφώνηκεν. ὅθεν φημὶ καὶ σὲ δοξασθῆναι, ἐκ τῶν πολέμων δηλαδὴ τῶν σοὶ κατωρθωμένων διὰ τὴν νεότητα. τῦτο δέ φησι, παρ' ὅσον νέος ὢν ὁ Ἱέρων, σὺν Γέλωνι τῷ ἀδελφῷ, τὰς ἐπὶ Σικελίας πολέμους διήνεγκε. τὸ δὲ ὅθεν ἀντὶ τῦ, ἀπὸ τῆς θρασύτητος τῆς περὶ τὰς πολέμους.

121. Βυλαὶ δὲ πρεσβύτεραι ἀκίνδυνον ἐμοὶ ἔπος] οἷον, ὑπὲρ τὴν νεότητα βυλεύη. καὶ Σοφοκλῆς ἐπὶ τῦ Τρωΐλυ (Fragm. T. III. p. 498. ed. Brunk. mai. in 8.)·

Τὸν ἀνδρόπαιδα δεσπότης
ἀπώλεσα,

παῖδα μὲν τῇ ἡλικίᾳ, ἄνδρα δὲ τῷ φρονήματι. τῦτο δὲ εἶπεν ὁ Πίνδαρος, ὅτι ἐν τῇ νεότητι μὲν πολεμικὸς ἦν ὁ Ἱέρων, ἐν ἡλικίᾳ δὲ εὔβυλος. ὁ δὲ νῦς· αἱ δὲ σαὶ γνῶμαι, καίτοι ἀκμαίᾳ ὄντος, συνεταί εἰσι. διὸ ἀκίνδυνόν μοι παρέχυσιν αἱ σαὶ γνῶμαι τὸ ἐγκωμιάζειν σε. ἢ ὕτως· ἀκίνδυνον ἐμοὶ τῷ τὰς ἐπαίνης παρέχοντι, πρὸς πάντα λόγον σὲ ἐπαινεῖν, οἷον ὐκ ἐλεγχθήσομαι ὑπό τινος, ὡς ψευδῶς σε ἐπαινῶ. ἃ γὰρ ἔχεις, ταῦτα καὶ λέγω.

125. Τόδε

Ποτὶ ἅπαντα λόγον
Ἐπαινεῖν παρέχοντι. — χαῖ-
ρε. τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολὰν
Μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται.
Τὸ Καστόρειον
Δ' ἐν Αἰολίδεσσι χορδαῖς

Θέλων

125. Τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολὰν] οἷον ἐπὶ κέρδει καὶ πράσει. οἱ γὰρ Φοίνικες παλιγκάπηλοι. καὶ Σοφοκλῆς (Fragm. T. III. p. 486.)·

Ὠνὴν ἔθυ καὶ πρᾶσιν, ὡς Φοίνιξ ἀνὴρ,
Σιδώνιος κάπηλος.

καὶ ὁ Κωμικός (Ariſtoph.)·

Εὐθὺς Φοίνιξ γένωμαι, τῇ μὲν δίδωμι χεῖρι, τῇ δὲ λαμβάνω.

τοῦτο δὲ εἶπεν ὁ Πίνδαρος, παρ' ὅσον διὰ μισθὸν συντέταχε τὸν ὕμνον τῷ Ἱερωνι. ἔστι δὲ, ὅ λέγει, τοιοῦτον· τοῦτο μὲν τὸ μέλος, καὶ ὅτος ὁ ἐπίνικος κατὰ τὴν τῶν Φοινίκων ἐμπορίαν ᾄδεται· ἤτοι, λαβὼν παρὰ σὲ μισθὸν, τοῦτο τὸ μέλος διὰ τῆς λευκῆς θαλάσσης παραπέμπομαί σοι.

127. Τὸ Καστόρειον δ' ἐν Αἰολίδεσσι χορδαῖς] τὸ δὲ ὑπορχηματικὸν μέλος, τὸ Αἰολικῷ ῥυθμῷ συντεταγμένον, ὅπερ ὡς χάριν καὶ προῖκά σοι διεπεμψάμην, ἀπαντήσας, τῷ μέλει δηλονότι τῷ Καστορείῳ, καὶ ὑποδεξάμενος αὐτὸ τὸ μέλος διὰ τῆς ἑπταχόρδου λύρας, ἑκὼν ἐπιθεώρησον, ἀντὶ τῆ, κρῆσσον καὶ δοκίμασον τὸ μέλος, εἰ μὴ εὐρύθμως ᾄδεται, ἢ γέγραπταί σοι. ἐν Αἰολίδεσσι δὲ χορδαῖς, ἤγουν Βοιωτίαις. ἐκεῖθεν γὰρ ὁ Πίνδαρος, ἐπεὶ οἱ Αἰολεῖς κιθαρῳδοί. τὸ δὲ μέλος Αἰολικῷ ῥυθμῷ συνέταξε. τοιοῦτόν ἐστι καὶ τὸ (Fragm. Pind. p. 103.)·

Αἰολεὺς ἔβαινε Δωρίαν κέλευθον ὑμνῶν.

ἰστέον δὲ, ὅτι τὸν ἐπίνικον ἐπὶ μισθῷ συντάξας ὁ Πίνδαρος ἐκ περιττοῦ συνέγραψεν αὐτῷ προῖκα ὑπόρχημα, ὃ ἡ ἀρχὴ (Fragm. p. 7. f.)·

Σύνες ὅ τι λέγω ζαθέων ἱερῶν ἐπώνυμε.

ὃ δὴ Καστόρειον εἶπε, διὰ τὸ τὴν ἔνοπλον ὄρχησιν κατ' ἐνίας τὰς Διοσκούρας εὑρεῖν. ὀρχησικοὶ γάρ τινες οἱ Διόσκουροι. ὁ δὲ Ἐπίχαρμος τὴν Ἀθηνᾶν φησι τοῖς Διοσκούροις τὸν ἔνοπλον νόμον ἐπανελθεῖν, ἐξ ἐκείνου δὲ τοὺς Λάκωνας μετ' αὐλοῦ τοῖς πολεμίοις προσιέναι. τινὲς δὲ ῥυθμόν τινα φασὶ τὸ Καστόρειον, χρῆσθαι δὲ αὐτῷ τοὺς Λάκωνας ἐν ταῖς πρὸς τοὺς πολεμίους συμβολαῖς. διέλκεται δὲ ἡ τῆς πυρρίχης ὄρχησις, πρὸς ἣν τὰ ὑπορχήματα ἐγράφησαν. ἔνιοι μὲν οὖν φασὶ, πρῶτον Κύρητας τὴν ἔνοπλον ὀρχήσασθαι ὄρχησιν, αὖθις δὲ Πυρρίχον Κρῆτα συντάξασθαι, Θάλητα δὲ πρῶτον τὰ εἰς αὐτὴν ὑπορχήματα. Σω-

Θέλων ἄθρησον χάριν ἑπτακτύπου
Φόρμιγγος ἀντόμενος.
Γένοι' οἷος ἐσσὶ μαθών. καλός τοι
Πίθων παρὰ παισὶν, αἰεὶ

Σ. δ'.

σίβιος δὲ τὰ ὑπορχηματικὰ πάντα μέλη Κρητικὰ ἀξιοῖ λέγεσθαι. ἔνιοι δὲ ἐκ τοῦ Πυῤῥίχου τὸ Κρητὸς τὴν πυῤῥίχην ὠνομάσθαι, ἀλλ' ἀπὸ Πυῤῥοῦ τοῦ Ἀχιλλέως παιδὸς, ἐν τοῖς ὅπλοις χρησαμένου, ἐν τῇ κατὰ Εὐρυτύλου τοῦ Τηλέφου νίκῃ. Ἀριστοτέλης δὲ, πρῶτον Ἀχιλλέα ἐπὶ τῇ τοῦ Πατρόκλου πυρᾷ τὴν πυῤῥίχην φησὶ κεχορεῦσθαι, ἣν παρὰ Κυπρίοις φησὶ πρύλιν λέγεσθαι, ὥστε παρὰ τὴν πυρὰν τῆς πυῤῥίχης τὸ ὄνομα θέσθαι. ὁ δὲ νῦς· τὸ δὲ Κατόρειον μέλος, τὸ ὑπορχηματικὸν, τὸ Αἰολικῷ ῥυθμῷ συντεταγμένον, ὑποδεξάμενος διὰ τῆς ἑπταμίτου κιθάρας ἑκὼν ἐπιθεώρησον, ἀντὶ τοῦ, κρεῖσσον καὶ δοκίμασον, εἰ εὐρύθμως γέγραφα.

131. Γένοιο δ' οἷος ἐσσὶ μαθών] μαθὼν δὲ ἐξ ὧν ἔγραψά σοι, οἷος εἶ, ἢ ἐπισκεψάμενος δὲ τὸν ἀποσταλέντα σοι ὕμνον, διάμεινον τῷ ἐξ ἀρχῆς τρόπῳ ἴσος, καὶ μὴ μεταβληθεὶς τὴν προαίρεσιν ὑπὸ τῶν κολακευόντων σε. ἢ μαθὼν τὸ γεγραμμένον γενοῦ, οἷος εἶ, σοφὸς, καὶ σύνες, ὅπερ οἱ παῖδες εἰώθασι λέγειν, πίθων καλὸς πρὸς τὸν πίθηκον ὄντα καλὸν, ἀλλ' εἰδεχθῆ. μαθὼν γοῦν τοῦτο, φησὶ, γενήθητι, οἷος εἶ. ἀνοίκειον γάρ ἐστι, τὸν μὲν πίθηκον, παρὰ τοῖς παισὶν ἀεὶ εἶναι καλὸν, τὸν δὲ συνετὸν ἄνδρα ἐξ ἀρετῆς εἰς κακίαν μεταπίπτειν. ἢ ὅτως· μὴ πείθου ταῖς τῶν κολάκων ἀπάταις, μηδὲ λέγεσθαι μὲν σοφὸς βούλου, τῷ δὲ πράγματι εἶναι ἄσοφος, ὥσπερ ὁ πίθων. ὡς γὰρ παρὰ τοῖς παισὶ καλός ἐστιν ὁ πίθηκος, ὅτως παρὰ τοῖς ἄφροσι καὶ κολαξὶν οἱ ὑπερέχοντες λέγονται σοφοὶ, καὶ πάντα ἔχειν τὰ ἀγαθά. δεῖ δὲ αὐτοῖς μὴ πιστεύειν, ἀλλὰ τοῖς βελτίοσι καὶ σοφοῖς. ταῦτα δὲ αἰνίττεται εἰς Βακχυλίδην. Εὐδοκιμῆσαι γὰρ αὐτὸν φασι παρὰ Ἱέρωνι. ἢ ὅτως· οἷον παρὰ τοῖς παισὶ μὲν δοκεῖ καλὸς εἶναι ὁ πίθηκος, παρὰ δὲ τοῖς ἀνδράσιν οὐκέτι. γινώσκεται γὰρ ἀκριβῶς τὸ ζῶον. ὥσπερ ὁ πίθηκος δοκεῖ καλὸς εἶναι τοῖς παισὶ, φαῦλος ὤν, ὅτω καὶ ὁ Βακχυλίδης παρὰ παισὶν ἄφροσιν εὐδοκιμείτω, παρὰ δὲ σοὶ, σοφῷ ὄντι, πίθηκος ἔσω. ἢ ὅτως· ὡς ὁ πίθηκος ἀκύων παρὰ τῶν παίδων, ὅτι καλὸς ἐστιν, ἐπαίρεται, ὅτω καὶ οἱ μάταιοι τῶν ἀνθρώπων ἐπαίρονται καὶ καυχῶνται, ὅπερ τοῖς φρονοῦσιν οὐχ ἁρμόζει, εἰδόσιν ὡς κατὰ ἀλήθειαν οὐκ ἐπαινοῦνται. μηποτε οὖν χαριέστερον ὅτως ἀκούειν. Θρασυδαίου τις ἑταῖρος ἦν Πινδάρου. Ἱέρων δὲ ἐπεπολεμήκει Θήρωνι τῷ Θρασυδαίου πατρί. εἰκὸς οὖν διαβεβλῆσθαι τὸν Πίνδαρον

Σ. δ'. Κ. ιέ.

Καλός. ὁ δὲ Ῥαδάμανθυς εὖ
Πέπραγεν, ὅτι φρενῶν
Ἔλαχε καρπὸν ἀμωμή-
των, ἀδ' ἀπάταισι θυμὸν
Τέρπεται ἔνδοθεν·
Οἷα ψιθύρων παλάμαις ἔπετ' αἰεὶ
Βροτῶν. ἄμαχον κακὸν
Ἀμφοτέροις διαβολιᾶν ὑποφάτιες,
Ὀργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι,
Κέρδει τε. — τί μάλα τᾶτο κερ-
δαλέον τελέθει;
Ἄτε γὰρ ἐναλίων πόνον ὀ-

χοί-

ρον τῷ Ἱέρωνι, ὅθεν ἀπολογούμενος εἰς τᾶτο πᾶσαν ἀναφέρει παραίνεσιν.

133. Ὁ δὲ Ῥαδάμανθύς, φησι, διὰ τὸ μὴ εὐεξαπάτητος εἶναι σοφὸς ὑπείληπται. καὶ σὺ ἄν, ὦ Ἱέρων, διαβολῇ μὴ πείθῃ, σοφὸς ὤν, μήτε μὴν πιθηκισμοῖς, ὅ ἐστιν ἀπάταις. ὁ δὲ λόγος παραινετικός ἐστιν Ἱέρωνι, ὅτι ὐ προσήκει σε κολακεύοντι ἥδεσθαι. οἱ γὰρ τοιᾶτοι φιλήδεῖς εἰσι παισὶ, τελείοις γε μὴν ὐκέτι. ὁ γάρ τοι Ῥαδάμανθυς ἐπίδοξος γέγονεν ὅτι ἄψεκτον εἶχε τὸν λογισμὸν, καὶ ὐδαιμῶς ταῖς ἀπάταις ἐτέρπετο τὴν ψυχὴν, οἷα μάλιστα ταῖς τῶν κολάκων καὶ ἀπατεώνων ψυχαῖς εἰωθε παρακολουθεῖν.

138. Οἷα ψιθύρων] ψιθύρους τὺς κόλακας λέγει καὶ ἀπατεῶνας, παρὰ τὸ ἠρέμα ὑποψιθυρίζειν. ὁ δὲ λόγος γνωμικός. ἄκαταμάχητον κακὸν τὸ τῶν κολάκων φῦλον. τὸ δὲ ἄμαχον κακὸν δύνασθαι συνάπτεσθαι τῷ ἀμφοτέρους, ἵν' ᾖ· οἱ ψίθυροι ἄμαχον κακόν εἰσι τοῖς ἀμφοτέροις καὶ τῷ διαβαλλομένῳ καὶ τῷ πρὸς ὃν διαβάλλουσιν. ὑποφάτιες δὲ, ἀντὶ τᾶ ἑρμηνευταὶ καὶ διάβολοι, παρὰ τὸ φατίζειν καὶ λέγειν.

141. Ὀργαῖς ἀτενὲς] τὸ ὀργαῖς ἀντὶ τᾶ τρόπως. διὰ δὲ τᾶτο τὸ ὁμοιότατον δηλοῖ. καθόλα γὰρ τοῖς τῶν ἀλωπέκων τρόποις εἰσὶν ὅμοιοι.

142. Κέρδει δὲ τί μάλα τᾶτο;] ἐρωτηματικὸς ὁ λόγος. τί γὰρ, φησιν, αὐτοῖς τᾶτο τὸ κατηγορεῖν ἐπικερδὲς τυγχάνει; ὁ αὐτὸς καὶ ἐν ἄλλοις (Ol. I, 84.)· ἀκέρδεια λέλογχε θαμινὰ κακηγόρους. τὸ δὲ διαβάλλειν ὐδὲν ἐπικερδὲς ἔχει. Ἄλλως. τί αὐτοῖς κέρδος ἐστὶ τὸ διαβάλλειν ἐμέ;

144. Ἄτε γὰρ ἐναλίων] ἐγὼ γὰρ ὡς φελλὸς ἁλιευτικᾶ δικτύῳ, αὐτᾶ

χοίσας βαθὺ σκευᾶς ἑτέρας, ἀβάπτιστός εἰμι, Φελλὸς ὡς,
Ὑπὲρ ἕρκος ἅλμας.

Α. δ'. Κ. ιε'.

Ἀδύνατα δ', ἔπος ἐκβαλεῖν
Κραταιὸν ἐν ἀγαθοῖς
Δόλιον ἀστόν. ὅμως μὰν
Σαίνων ποτὶ πάντας, ἅταν
Πάγχυ διαπλέκει.
Οὐ οἱ μετέχω θράσεος. Φίλον εἴη
Φιλεῖν· ποτὶ δ' ἐχθρὸν ἀ-
τ' ἐχθρὸς ἐὼν, λύκοιο δίκαν ὑποθεύσομαι,
Ἀλλ'

αὐτᾷ ὄντος ἐν βάθει, ἐπιπλέω καὶ οὐ βαπτίζομαι. ὡς ὑπὸ ἄλλης σκεύους βαρύνεται ὁ Φελλὸς καὶ οὐ δύνει, ὕτω κἀγὼ ἀβάπτιστός εἰμι ὡς ὁ Φελλός. ἐκεῖνοι μὲν οὖν, φησι, κατηγορεῖσί μου, ἐγὼ δὲ, ὥσπερ σαγήνης πονήσας καὶ βάθος λοιπὸν ἐχούσης κατὰ τὸ πελάγος, ἀβάπτιστός ἐστιν ὁ Φελλὸς καὶ ἐπινήχεται ὑπὲρ τὴν τῆς θαλάσσης ἐπιφάνειαν, ἀβαπτίστου φύσεως ὤν, ὕτω κἀγὼ ταῖς τῶν ἄλλων κατηγορίαις ἀβάπτιστός εἰμι, ἑτέρας σκευῆς ὤν, ὡς πρὸς τὴν σαγήνην τὸν φελλόν. ὁ Φελλὸς δὲ καὶ ἀρσενικῶς καὶ θηλυκῶς κλίνεται.

147. Ὑπὲρ ἕρκεος (sic) ἅλμας] τῆς θαλασσίας ἐπιφανείας, ὅτι τῇ ἑαυτῆς ἐπιφανείᾳ περιτειχίζεται.

148. Ἀδύνατον (sic) δ' ἔπος] ἀδύνατον δέ ἐστι, τὸν διαβάλλοντα ἐν ἀγαθοῖς ὄντα ἀνθρώποις εἰπεῖν τι ἰσχυρόν· ἀσθενὲς γὰρ λέγει· μᾶλλον δὲ ἀδύνατόν ἐστι, τὸν δόλιον ἄνδρα πεῖσαί τινα συνετόν.

150. Ὅμως μὰν] ὅμως πάντας κολακεύων ὁ δόλιος ἀνὴρ, ἐπιπολὺ καλῶς διανύει τὸν βίον, πλοκήν τινα ποιῶν.

153. Φίλον εἴη φιλεῖν] εἴη μοι τοὺς μὲν φίλους τῶν ἀνθρώπων φιλεῖν.

154. Ποτὶ δ' ἐχθρὸν] πρὸς δὲ τὸν ἐχθρὸν λύκου τρόπον ὑποθραμβῶμαι, καὶ τὰ ἴχνη αὐτοῦ, ὡς λύκος, φυλάξω, ἐπ' ἄλλο καὶ ἄλλο βαίνων, οἱονεὶ, ἐπιπατῶν αὐτοῦ τοῖς ἴχνεσι, καὶ βλάπτων αὐτὸν ἐκ τοῦ φανεροῦ, ἀλλὰ λεληθότως. Ἄλλως. μὴ πρὸς πάντας εἴη μοι σαίνειν, φησὶ, καὶ φίλους καὶ ἐχθροὺς, ἀλλὰ τὸν μὲν φίλον σανῶ, τὸν δὲ ἐχθρὸν ἐπιτηρήσω, ἵνα μετέλθω, καθάπερ λύκος ἐνεδρεύων, οὐκ εὐθείαις, ἀλλὰ σκολιαῖς ὁδοῖς, τετέτιν οὐχ ἑνὶ τρόπῳ, ἀλλὰ παντοίως ἔσομαι.

157. Ἐν

Ἀλλ' ἄλλοτε πατέων ὁδοῖς σκολιαῖς. —
Ἂν πάντα δὲ νομὸν εὐθύγλωσσος ἀνὴρ προφέρει·
Παρὰ τυραννίδι, χὤπόταν ὁ
Λάβρος στρατὸς, χὥταν πόλιν οἱ σοφοὶ
Τηρέωντι. — χρὴ δὲ πρὸς
Θεὸν οὐκ ἐρίζειν,

Ε. δ'. Κ. ιδ'.

Ὃς ἀνέχει τοτὲ μὲν τὰ κείνων,
Τοτὲ δ' αὖθ' ἑτέροις ἔδωκεν μέγα κῦδος. Ἀλλ' ὁ-
δὲ ταῦτα νόον ἰαίνει φθονερῶν. στάθμας
Δέ τινος ἑλκόμενος

157. Ἐν (sic) πάντα δὲ νομὸν] ἐπεὶδὴ τρεῖς φησι πολιτείας εἶναι, δημοκρατίαν, ἀριστοκρατίαν, καὶ βασιλείαν, κατὰ πᾶσαν ἀρχὴν ὁ ἀθυρόμων καὶ παῤῥησιαστικὸς, ὁ μὴ ἕτερα μὲν λέγων, ἕτερα δὲ νοῶν, κρείττων ἐστὶν, ἔν τε βασιλείᾳ, ἔν τε ἀριστοκρατίᾳ, καὶ ἐν δημοκρατίᾳ, ὅταν τὴν πόλιν οἱ σοφοὶ καὶ ἄριστοι διοικῶσι. προφέρει γὰρ οὐχ ὑποκρινόμενος.

161. Χρὴ δὲ πρὸς Θεὸν] προσήκει μὴ φιλονεικεῖν πρὸς τὸ δαιμόνιον, ἀλλ' οἷα ἂν διδῷ, ταῦτα καὶ φρονεῖν. πολλάκις γὰρ τὰ τῶν ὑψοῦ, ἄλλοτε δὲ τὰ τῶν ἑτέρων ἄλλοις ἔδωκεν. Ἄλλως. οἱ διαβάλλοντές, φησι, τοῖς θεοῖς ἐρίζουσιν. οὐ δεῖ γὰρ θεοῖς ἀντιβαίνειν. κἀγὼ δέ, φησι, τὰ νῦν ἔζω τῷ Βακχυλίδῃ παρὰ θεῶν εὖ πράττοντι, καὶ οὐκ ἀντιβήσομαι τῇ προαιρέσει ἐπὶ πλεῖον.

165. Ἀλλ' οὐδὲ ταῦτα] ἐπεὶ προείρηκεν, ὅτι τὸν μὲν ὁ θεὸς ὑψοῖ, τὸν δὲ κατακύπτει, καὶ οὐκ ἐν τῇ αὐτῇ τάξει τὰ πράγματα μένει, φησὶν, ὅτι οὐδὲ ταῦτα τὰς φθονερὰς καὶ διαβόλους κινεῖ εἰς τὸ ἀπέχεσθαι τῶ πρὸς τὰς πέλας φθόνου, καὶ λογίζεσθαι, ὡς ὁ παραμένει αὐτοῖς ἡ νῦν δοκοῦσα παρεῖναι εὐτυχία. Ἄλλως. οὐκ ἰαίνει ὧν, φησι, ταῦτα καὶ ὁ προσπαθῆ ποιεῖ τὸν νῦν αὐτῶν, ἵνα παύσωνται διαβάλλοντες.

167. Στάθμας δέ τινος] οἱ φαθημώμενοι δὲ πολλὰ καὶ περιγράφοντες μεγάλα τινὰ μέλλοντα αὐτοῖς ἔσεσθαι, προωδυνήθησαν πρὶν τυχεῖν, ὧν ἐπιζητοῦσι καὶ ἐλπίζουσιν. ἡ δὲ ἀναφορὰ πάλιν εἰς Βακχυλίδην. εἴληπται δὲ ὕτως ἡ

Περισσᾶς ἐνέπαξεν ἕλ-
κος ὀδυναρὸν ἐᾷ πρόσθε καρδίᾳ,
Πρὶν ὅσα Φροντίδι μητίονται τυχεῖν.
Φέρειν δ' ἐλαφρῶς
Ἐπαυχένιον λαβόντα
Ζυγόν γ' ἀρήγει. ποτὶ κέντρον δέ τοι
Λακτιζέμεν, τελέθει
Ὀλισθηρὸς οἶμος. ἄδοντα δ' εἴη
Με τοῖς ἀγαθοῖς ὁμιλεῖν.

ἡ διάνοια, διὰ τὸ παρὰ Ἱέρωνι τὰ Βακχυλίδου ποιήματα προκρίνεσθαι, καί φησιν· φέρειν δεῖ τὰ τῆς τύχης συμπτώματα.

170. Πρὶν ὅσα] πρὶν κακῶσαί τινα καὶ κατορθῶσαι, ἃ κατ' ἀλλήλων μηχανῶνται, ὅ ἐστιν, οἱ ἄδικα φρονοῦντες πρότερον ἑαυτοὺς ὀδυνῶσι, πρὶν ἄλλον κακῶσαι.

171. Φέρειν δ' ἐλαφρῶς] φέρειν δὲ ἐλαφρῶς καὶ ἄνευ φιλονεικίας τὸν παρὰ τῆς τύχης ζυγὸν συμβάλλεται, ὥσπερ βοῦν ὑποδύντα τὸν ζυγὸν, τουτέστι τὰ πρὸς τῆς τύχης ἐπισυμβαίνοντα. πάλιν δὲ αὐτῷ πρὸς τὸ τοῦ Βακχυλίδου μέρος ἀναφέρεται ὁ λογος. ἔλξω γάρ, φησι, τὸν ζυγὸν, ὡς ἡ τύχη ἐβουλήθη, διὰ τὸ τιμᾶσθαι παρά σοι, ὦ Ἱέρων, μᾶλλον ἐμοῦ τὸν Βακχυλίδην.

173. Ποτὶ κέντρον] μάχεσθαι δὲ τῇ τύχῃ ἄνθρωπον ὄντα οὐ συμφέρει. ἡ δὲ τροπὴ ἀπὸ τῶν βοῶν. τῶν γὰρ βοῶν οἱ ἄτακτοι κατὰ τὴν γεωργίαν κεντριζόμενοι ὑπὸ τοῦ ἀρῶντος, λακτίζουσι τὸ κέντρον καὶ μᾶλλον πλήττονται.

Περὶ

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τῆ τρίτη τῶν Πυθίων εἴδος.

Τῆς τρίτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων ιγ'. Τὸ α' ὅμοιον τῷ (Pyth. I, 7.)· ἀμβολὰς τεύχης ἐλελιζομένα. Τὸ β' τὸ αὐτὸ τῷ πρώτῳ. Τὸ γ' δίμετρον ἰαμβικὸν ἀκατάληκτον, ὅμοιον τῷ· τίς σὰς παρήειρε Φρένας. Τὸ δ' προσοδικόν. Τὸ ε' δακτυλικὸν πενθημιμερές. Τὸ ς' ἀναπαιστικὸν μονόμετρον. Τὸ ζ' δίμετρον ἰαμβικὸν ἀκατάληκτον. Τὸ η' Ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον ὑπερκατάληκτον, ἢ ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον. Τὸ θ' προσοδικόν. Τὸ ι' δίμετρον Ἰωνικὸν ἀπ' ἐλάσσονος καταληκτικόν. Τὸ ια' πενθημιμερὲς δακτυλικόν. Τὸ ιβ' χοριαμβικὸν (vel potius τροχαϊκὸν) τρίμετρον καταληκτικόν. Τὸ ιγ' ἐγκωμιολογικόν.

Περὶ τῆς ἐπῳδῆς αὐτῆ. Ἡ δὲ ἐπῳδὸς κώλων ιε'. Τὸ α' ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ β' τροχαϊκὸν τρίμετρον καταληκτικὸν (Πινδαρικόν). Τὸ γ' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' δίμετρον Ἰωνικὸν ἀπ' ἐλάσσονος (καταληκτικόν). Τὸ ε' ὅμοιον τῷ (Pyth. I, 34)· ταί θ' ὑπὲρ Κύμας ἀλιερκεες ὄχθαι. Τὸ ς' πενθημιμερὲς δακτυλικόν. Τὸ ζ' ὅμοιον τῷ· τίς σὰς παρήειρε Φρένας. Τὸ η' ὅμοιον τῷ ς'. Τὸ θ' ὅμοιον τῷ ζ'. Τὸ ι' ὅμοιον τῷ ς' ἢ τῷ η'. Τὸ ια' προσοδικόν. Τὸ ιβ' δίμετρον τροχαϊκὸν (ἢ) ἐπιχοριαμβικόν. Τὸ ιγ' Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον. Τὸ ιδ' μονόμετρον ἀναπαιστικὸν, ὅμοιον τῷ ἕκτῳ τῆς στροφῆς. Τὸ ιε' ὅμοιον τῷ· τίς σὰς παρήειρε Φρένας.

ARGVMENTVM CARMINIS TERTII.

(Vt Hieroni reſtituatur valetudo) velim Chironem, Philyrae et Croni filium adhuc viuere, ſi fas eſt communia vota eloqui, Centaurum humanitate inſignem (1 — 9); qui Aſclepium omnium morborum medicum educauit, in cuius partu mater, Coronis, mortem obierat, Apolline volente (— 20). Nam Iouis liberorum (Apollinis et Dianae) ira non eſt irrita. Coronis enim, etſi antea ex Apolline grauida facta erat, tamen, deo temere repudiato, alium adamauit clam patre (— 28). Vitauit illa, amore ſaucia, omnes epulas nuptiales et hymenaeos virginum, deſiderans abſentem iuuenem, ſimili aliarum fato (— 35). Vaniſſimi vero inter homines ſunt, qui ſpretis domeſticis peregrina appetunt inani ſpe decepti. In eam temeritatem Coronis quoque incidit. Ruit enim in amplexus aduenae Arcadis (Iſchyis — 45). Non latuit ſpeculatorem, verum Apollo cognouit in Pythiis adytis mente omnia cognoſcente; non eum vel deus vel homo factis conſiliisue fallere poteſt (— 54). Tum quoque intellecto Iſchyis crimine ſororem iracundam (Dianam) miſit Laceriam ad lacum Boebeidem, vbi Coronis habitabat (— 61). Perdidit eam aduerſum fatum; multique vicinorum vna perierunt; ignis ex vna ſcintilla exortus ſiluam montanam conſumſit (— 67). Virgine iam rogo impoſita Apollo dixit:

Non

Non patiar ſemen meum vna cum matre triſtiſſimo fato perire; et primo acceſſu, flamma diffiſſa, eripuit infantem, eumque ad Magneſium Centaurum (Chironem) deportauit, a quo medendi artem diſceret (— 82). Quotquot igitur vel ſponte nato vel inflicto cominus eminusue vulnere laborabant, vel vitium corporis aut ex aeſtu aut ex frigore contraxerant, hos ille nunc carminibus, nunc potionibus, nunc vnguentis, nunc ſectione ſanauit (— 95). At ſapientia quoque lucri ſtudio irretitur. Illum etiam aurum impulit, vt mortuum in vitam reuocaret. Iupiter vero fulmine vtrumque percuſſit. Mortales a diis petere decet, quae conueniunt, naturae ſuae memores. Noli immortalem vitam ſperare, anima; ea ſunt aggredienda quae fieri poſſunt (— 110). Vtinam vero (redit poeta ad v. 9 —) Chiron adhuc antrum incoleret, meumque carmen eum moueret! perſuaderem ei, vt bonis viris iam mitteret morborum acutorum medicos; ego vero per Ionium mare ad Hieronem nauigarem, regem in ciues benignum, bonis non inuidentem, hoſpitibus dilectum patrem (— 126). Afferrem ei duplex donum, ſanitatem et hymnum in victoriam, quam equus eius Delphis reportauit. Superato mari ſtella ſplendidior ei apparerem (— 136). At vota faciam matri (Rheae) quam ſaepe virgines noctu in atrio domus meae, vna cum Pane, celebrant (— 140). Tu, Hiero, pro doctrina tua, e poetis antiquioribus didiciſti, pro vno bono duo mala deos hominibus immittere, quae recte ferre imprudentes homines non valent, boni autem pulcriora extrinſecus vertunt (— 149). Te fauſta ſequitur fortuna. Fatum, ſi quem homi-

num, regem respicit. Secura vita nec Peleus, nec diuinus Cadmus, vsi sunt, qui tamen summam attigisse fortunam feruntur, et Musarum cantum in monte (Pelio) atque Thebis audiuerunt, cum hic Harmoniam, ille Thetin, vxores ducerent, et dii epulis eorum adessent (— 168). Iouis gratia liberati a prioribus malis animum erexerunt. Postea vero trium filiarum sors eum parte felicitatis priuavit, quamquam cum (una illarum) Semele rem habuerat Iupiter (— 177). Sed Pelei et Thetidis filius (Achilles) morte violenta Graecis luctum excitauit (— 182). Quicunque sapit, iis quae diuinitus contingunt, felix esse debet. Venti mutantur (atque adeo fortunae aura); non in longum procedit hominum felicitas, quando iam magna obtigit (— 189). Itaque cuiuis fortunae me accommodabo, et pro mea facultate colam fortunam quae adest (— 194). Si vero deus multas largitus fuerit opes, spero etiam gloriam insignem porro habiturum esse. Nestorem atque Lycium Sarpedonem ex carminibus peritorum vatum cognoscimus. Virtus enim claris carminibus aeterna redditur. At paucis facile est hoc consequi (— 205).

Hoc quoque carmen non recte est relatum in numerum epiniciorum propterea, quod obiter victoriae Pythicae poeta meminit.

ΕΙΔΟΣ γ'.

ΤΩΙ ΑΥΤΩΙ ΙΕΡΩΝΙ

ΚΕΛΗΤΙ.

Σ. ά. Κ. ιγ'.

Ἤθελον Χείρωνά κε Φιλλυρίδαν,
Εἰ χρεὼν τᾦθ' ἁμετέρας ἀπὸ γλώσσας κοινὸν εὔξασθαι ἔπος,

Ζώειν

Τῷ αὐτῷ Ἱέρωνι κέλητι] γράφει τὸν ἐπινίκιον Ἱέρωνι νικήσαντι κέλητι τὴν εἰκοστὴν ἕκτην, καὶ τὴν εἰκοστὴν ἑβδόμην Πυθιάδα. καὶ φανερὸν, ὅτι εἰς ἀμφοτέρας τὰς νίκας τὸν ἐπίνικον συντάττει, δι' ὧν ὀνομάζει, τεφάνης δὲ θαλῶν καὶ κώμας ἀέθλων (v. 130. f.). τὸ δὲ προοίμιον πρὸς τὴν τῦ Ἱέρωνος νόσον ἐσίν. Ἄλλως. Ἱέρωνι νικήσαντι τὴν κ' Πυθιάδα ἐγέραπται. μέμνηται δὲ καὶ τῆς πρὸ ταύτης Πυθιάδος, ὥστε ἐπὶ ταῖς δύο νίκαις τὴν ᾠδὴν συντετάχθαι. συνᾴδει δὲ καὶ τὰ ἀπὸ τῶν χρόνων. ὡς γὰρ ἤδη βασιλεύοντός φησιν· ὃς Συρακόσαισι νέμει βασιλεὺς, πραὺς ἀστοῖς (124. f.). καθίσατο δὲ ὁ Ἱέρων βασιλεὺς κατὰ τὴν ἑβδομηκοστὴν ἕκτην Ὀλυμπιάδα, τῆς εἰκοστῆς ὀγδόης Πυθιάδος, τῇ προκειμένῃ Ὀλυμπιάδι συγχρόνω ὔσης, ὥστε πάντη τε καὶ πάντως μετὰ τὴν ὕστερον Πυθιάδα, ἥτις γέγονε περὶ τὴν ἑβδομηκοστὴν ἕκτην Ὀλυμπιάδα συντετάχθαι τόνδε τὸν ἐπίνικον. πρὸς δὲ τὴν παρῦσαν τύχην τῦ Ἱέρωνος ἁρμοσάμενος εὔχεται ἀναβιῶναι τὸν Χείρωνα, καὶ ὑγιάσαι τῆς νόσε τῆς λιθιάσεως. εὔχεται δὲ ἐν ταῖς πτυχαῖς τῦ Πηλίε διάγειν τὸν Χείρωνα, ὑπὲρ τῦ δύνασθαι τὸν Ἱέρωνα θεραπείας τυγχεῖν ὑπ' αὐτῦ. λιθιάσει γὰρ νόσῳ κατείχετο ὁ Ἱέρων. τὸν δὲ Χείρωνα Φιλλύρας, μιᾶς τῶν Ὠκεανίδων, καὶ Κρόνε γενεαλογῦσιν. ὁ δὲ νῦς ὅτος· βελομένην τὸν Χείρωνα, εἰ προσῆκον τῦτο εὔξασθαι, ἀναβιῶναι τὸν ἤδη τεθνηκότα. τὸ δὲ ἑξῆς· ἤθελον τὸν ἀποιχόμενον Οὐρανίδε Κρόνε γόνον Εὐρυμέδοντος (sic) Φιλλυρίδην Χείρωνα, εἰ χρεὼν τᾦθ' ἁμετέρας ἀπὸ γλώσσης κοινὸν εὔξασθαι ἔπος. κοινὸν δὲ εὔξασθαι ἔπος, ἤγεν κοινῶς λεγόμενον ἐν τῷ βίῳ· οἷον, εἰ ἔζη ὁ θεῖνα, ἐποίει ἄν τάδε. ἢ κοινὸν, τὸ

Ζώειν τὸν ἀποιχόμενον,
Οὐρανίδα γόνον εὐ-
ρυμέδοντα Κρόνᾳ,
Βάσσαισί τ' ἄρχειν Παλίᾳ
Φῆρ' ἀγρότερον,
Νόον ἔχοντ' ἀνδρῶν φίλον· οἷ-
ος ἐὼν θρέψεν ποτὲ
Τέκτον' ἀνωδυνίας
Ἄμερον γυιαρκέος Ἀσκλαπιὸν
Ἄρωα, παντοδαπᾶν ἀλκτῆρα νόσων. —

Α. ά. Κ. ιγ'.

Τὸν μὲν εὐΐππᾳ Φλεγύα θυγάτηρ

Πρὶν

τὸ ἐσόμενον κοινὸν ἀγαθόν. εἰ γὰρ ἀνέζωσε, πολλὰς ἂν ὑγίασεν. ἢ κοινὸν ἀγαθὸν, ἐμοί τε καὶ τῷ Ἱέρωνι. εἰ γὰρ ὑγίανεν ὁ Ἱέρων, ἐμὸν ἦν ἀγαθὸν, καὶ τῦ Ἱέρωνος. ἢ κοινὸν, τὸ ἐσόμενον κοινὸν διὰ τὴν ἐμὴν δύναμιν· τὸ γὰρ ποίημα κοινὸν εἴωθε λέγειν, διὰ τὸ πανταχόσε διῆκνεῖσθαι. ἢ ὡς κοινῆς ἴσης πᾶσι τῆς εὐτυχίας, τὸν Ἱέρωνα ἀπαλλαγῆναι τῆς νόσυ.

7. Βάσσαισί (sic) τ' ἄρχειν] καὶ ἐν τοῖς βασίμοις τόποις καθηγεῖσθαι τῦ Πηλίυ φησὶ τὸν Χείρωνα, τὸν ὄντα μὲν θῆρα ἄγριον κατὰ τὸ σῶμα· Κένταυρος γάρ· τὸν δὲ νᾶν ἔχοντα προσφιλέστατον τοῖς ἀνθρώποις.

9. Οἷος ἐὼν] ὁ νᾶς· ὁποῖος ὢν τὴν φύσιν καὶ τὸν νᾶν ὁ Χείρων ἐνέθρεψε τὸν τῆς ἀνωδυνίας καὶ ὑγείας πρώτατον κατασκευατὴν Ἀσκληπιὸν, τὸν ὄντα παντοίας νόσυ βοηθόν. γυιαρκῆ δὲ τὴν ἀνωδυνίαν φησί· τότε γὰρ τοῖς μέλεσιν ἐπαρκῦμεν τῦ σώματος, ὅταν ὦμεν ἀνώδυνοι.

14. Τὸν μὲν εὐΐππᾳ] τὸν Ἀσκληπιόν. οἱ μὲν Ἀρσινόης, οἱ δὲ Κορωνίδος φασὶν αὐτὸν εἶναι. Ἀσκληπιάδης δέ φησι τὴν Ἀρσινόην Λευκίππᾳ εἶναι τῦ Περιήρες, ἧς καὶ Ἀπόλλωνος Ἀσκληπιὸς, καὶ Θυγάτηρ Ἐριῶπις.

Ἣ ὁ' ἔτεκ' ἐν μεγάροις Ἀσκληπιὸν, ὄρχαμον ἀνδρῶν,
Φοίβῳ ὑποδμηθεῖσα, εὐπλόκαμόν τ' Ἐριῶπιν.

καὶ Ἀρσινόης ὁμοίως·

Ἀρσινόη δὲ μιγεῖσα Διὸς καὶ Λητῦς υἱῷ
Τίκτ' Ἀσκληπιὸν υἱὸν ἀμύμονά τε κρατερόν τε.

Σωκράτης δὲ γόνον Ἀρσινόης τὸν Ἀσκληπιὸν ἀποφαίνει, παῖδα δὲ Κορωνίδος εἰσποιητόν. ἐν δὲ τοῖς εἰς Ἡσίοδον ἀναφερομένοις ἔπεσί φέρεται ταῦτα περὶ τῆς Κορωνίδος

Πρὶν τελέσσαι μητροπόλῳ σὺν Ἐλει-
θυίᾳ, δαμεῖσα χρυσέοις
Τόξοισιν ὑπ' Ἀρτέμιδος,
Εἰς Ἀΐδα δόμον ἐν
Θαλάμῳ κατέβα,
Τέχναις Ἀπόλλωνος. χόλος
Δ' ἂκ ἀλίθιος
Γίνεται παίδων Διός. ἃ
Δ' ἀποφλαυρίξαισά μιν

Ἀμπλα-

νίδος (Hes. Fragm. p. 443. ed. Lipf.)·

Τῇ μὲν ἄρ' ἦλθε κόραξ, φράσσεν δ' ἄρα ἔργ' ἀίδηλα
Φοίβῳ ἀκερσεκόμῃ, ὅτ' ἄρ' Ἴσχυς ἔγημε Κορωνὶν
Εἰλατίδης Φλεγύαο Διογνήτοιο θύγατρα.

ἐν δὲ τοῖς Ὁμηρικοῖς ὕμνοις (p. 91. T. V. Ern.)·

Ἰητῆρα νόσων, Ἀσκληπιὸν ἄρχομ' ἀείδειν,
Τίὸν Ἀπόλλωνος, τὸν ἐγείνατο δῖα Κορωνὶς
Δωτίῳ ἐν πεδίῳ κύρη Φλεγύα βασιλῆος.

Ἀριστείδης δὲ ἐν τῷ περὶ Κνίδου συγγράμματι φησὶν ὕτως· Ἀσκληπιὸς, Ἀπόλλωνος παῖς καὶ Ἀρσινόης. αὕτη δὲ παρθένος ὖσα, ὠνομάζετο Κορωνίς. Λευκίππου δὲ θυγάτηρ ἦν τὸ Ἀμύκλα τῦ Λακεδαίμονος· καὶ Ἀσκληπιῦ δὲ καὶ Ἠπιώνης Ποδαλειρίου καὶ Μαχάωνος.

15. Πρὶν τελέσαι] ἤτοι πρὶν ἐκτελέσαι τὰ κατὰ τὰς ὠδῖνας, πρὶν τεκεῖν. μητρόπολον δὲ τὴν Εἰλείθυιαν, διὰ τὸ περὶ τὰς μητέρας εἰλεῖσθαι ἢ πολεῖσθαι τῶν γεννωμένων.

18. Εἰς ἀίδαο (sic) δόμον] σημειῦνται δὲ οἱ ὑπομνηματισάμενοι τὰ δύο κῶλα, τόδε τὸ σημεῖον ⁘ παρεντιθέντες, ὅτι ἀσυνάρτητά εἰσι. πῶς γαρ, φησιν, εἰς ἀίδαο δόμον, καὶ πάλιν, ἐν θαλάμῳ κατέβα; καὶ ἐξηγλμενοι περιττεῦον λαμβάνουσι τὸ ἐν θαλάμῳ. ἔστι δὲ τὸ ἑξῆς ὕτως· ὑπὸ χρυσέοις τόξοις ἐν θαλάμῳ δαμεῖσα εἰς ἀίδαο δόμον κατέβα τέχναις Ἀπόλλωνος. ὅτι δὲ τὸ ἐν θαλάμῳ πλεονάζει, δῆλον. ἱκανὸν γὰρ ἦν εἰπεῖν, εἰς ἀίδαο δόμον κατέβη. καὶ πρόσθες τὸν καὶ σύνδεσμον, ἵν' ᾖ· εἰς δόμον καὶ εἰς θάλαμον κατέβη. Ἄλλως. πρὶν γεννήσῃ ἐν τῷ θαλάμῳ. ἐχαριεντίσατο δὲ εἰπὼν τὸν ᾅδην θάλαμον.

20. Χόλος δ' ἂκ ἀλίθιος] ἡ δὲ ὀργὴ, φησι, τῶν τῦ Διὸς παίδων ἂκ ἔστι ματαία, ἀλλὰ δυνατὴ τελειῶσαι

22. Ἃ δ' ἀποφλαυρίξασα] αἰτίαν ὑποτίθησι, δι' ἣν ἀνῃρέθη ὑπὸ

Ἀμπλακίαισι φρενῶν,
Ἄλλον αἴνησε γάμον, κρύβδαν πατρὸς,
Πρόσθεν ἀκερσεκόμα μιχθεῖσα Φοίβῳ,

Ε. ά. Κ. ιέ.

Καὶ φέροισα σπέρμα θεῦ καθαρόν.
Οὐδ' ἔμειν' ἐλθεῖν τράπεζαν νυμφιδίαν,
Οὐδὲ

ὑπὸ τῆς Ἀρτέμιδος, κατὰ τὰς Ἀπόλλωνος τέχνας, ὥστε τὸν δὲ αἰτιατικὸν παρειλῆφθαι ἀντὶ τῦ γάρ. ἀποσκυβαλίσασα γὰρ αὐτὸν ταῖς ἁμαρτίαις τῶν φρενῶν ἄλλον γάμον ἐπήνεσεν· Ἴσχυϊ γὰρ συνεμίγη· διὸ καὶ χαλεπήνας ὁ θεὸς Ἀρτέμιδι συνέταξεν αὐτὴν ἀνελεῖν.

25. Κρύβδαν πατρὸς] τῦτο πρὸς τὸ προκείμενον συναπτέον, ἢ πρὸς τὸ ἑξῆς· ἤτοι κρύβδην πατρὸς καὶ πρότερον μιγεῖσα τῷ Ἀπόλλωνι. ἢ γιατέον εἰς τὸ πατρὸς, ἵν' ᾖ τὸ κρύβδαν ἐπὶ τῦ δευτέρυ γάμυ. εἰ γὰρ ὁ πατὴρ αὐτὴν ἐβιάσατο συγγενέσθαι τῷ Ἴσχυϊ, συνέγνω ἂν αὐτῇ· ὁ Ἀπόλλων. διὰ τί δὲ πρωτείμησε τὸν Ἴσχυν τῦ Ἀπόλλωνος, Ἀγησίλαός φησιν, ὡς κατὰ θέος ὑπεροψίας θνητῷ βιληθεῖσα συνεῖναι. Ἄλλως. ἐπανάληψις τῦ δικγήματος. ἡ δὲ δὴ Κορωνίς, φησιν, ἐκφαυλίσασα τὸν Ἀπόλλωνος γάμον ταῖς τῶν φρενῶν ἁμαρτίαις, ξένον ἐπήνησε γάμον λάθρα τῦ πατρὸς, πρότερον τῷ τὰς κόμας ἀτιμήτῳ συνελθῦσα Ἀπόλλωνι.

27. Καὶ φέροισα σπέρμα θεῦ] ἐπειδὴ γὰρ ὑπ' Ἀπόλλωνος φθαρεῖσα ἐξ αὐτῦ εἶχε καθαρὸν τὸν Ἀσκληπιὸν, ἀνεπίμικτον θνητῦ σπορᾶς, ἐμοιχεύθη, φησὶ, τὸ τῦ θεῦ καθαρὸν σπέρμα· ἢ ἐπεὶ παρθένον ἦσαν ἔτι καὶ καθαρὰν διεπαρθένευσεν. ὰκ ἔμεινεν ὖν φέρυσα τὸ τῦ θεῦ σπέρμα καθαρὸν, οὐδὲ τὰς ὑμεναίυς τὰς ἐσομένας τῷ γάμῳ. ὐ γὰρ ὑπέμεινέ, φησιν, ἡ Κορωνὶς ἐλθεῖν τὴν νυμφιδίαν τράπεζαν, ἀντὶ τῦ, νόμῳ γαμηθῆναι, οὐδὲ τῶν ὑμεναίων τὴν ἠχὴν, ὁποῖα μάλιστα αἱ ὁμήλικες παρὰ ταῖς ἑαυτῶν φίλαις φιληθῦσι ταῖς ἑσπεριαῖς ᾠδαῖς νεωτερίζεσθαι τὴν ψυχὴν καὶ παίζειν. ἔνιοι δὲ τὸ ὑποκυρίζεσθαι ἀοιδαῖς, ἀντὶ τῦ ἀμφοτέρας τὰς κόρας ὑμνεῖν, τὸν νυμφίον καὶ τὴν νύμφην. ἢ τὸ ὑποκυρίζεσθαι ἀοιδαῖς εἶπεν διὰ τὸ τὰς ὑμνῦντας ἐπεσφημιζομένας λέγειν σὺν κόραις τε καὶ κόραις. Αἰσχύλος Δαναΐσι·

Κἄπειτ' ἄνεισι λαμπρὸν ἡλίυ φάος
Ἕως τ' ἐγείρει πρευμενὴς τὰς νυμφίας,
Νόμοισι θέντων σὺν κόραις τε καὶ κόραις.

κἀν τῷ βίῳ ἀκορεῖ, ἀντὶ τῦ, κόρως

Οὐδὲ παμφώνων ἰαχὰν
Ὑμεναίων· ἄλικες
Οἷα παρθένοι φιλέοισιν ἑταῖραι
Ἑσπερίαις ὑποκρίζεσθ' ἀοιδαῖς. ἀλλά τοι
Ἤρατο τῶν ἀπεόντων. οἷα καὶ πολλοὶ πάθον. —
Ἔστι δὲ φῦλον ἐν ἀνθρώποισι ματαιότατον,
Ὅστις, αἰσχύνων ἐπιχώρια, παπταίνει τὰ πόρσω,
Μεταμώνια θηρεύων ἀπράντοις ἐλπίσιν. —

Σ. β'. Κ. ιγ'.

Ἔσχε τοιαύταν μεγάλαν ἀάταν
Καλλιπέπλου λῆμα Κορωνίδος. ἐλθόντος γὰρ εὐνάσθη ξένᾳ
Λέκτροισιν ἀπ' Ἀρκαδίας.
Οὐ δ' ἔλαθε σκοπόν· ἐν
Δ' ἄρα μηλοδόκῳ
Πυθῶνι τόσσ' εἰσάϊεν

Ναῦ

ρας κορώνας. παροτρύνοντες δ' ἔνιοί φασιν, ἐκκορεῖ κύριος κορώνας αἰσχύνην ἐξευτελίζων.

38. Ὅστις] ἔδει εἰπεῖν ὅπερ, φῦλον. νῦν δὲ ὃς εἶπεν ἵνα ᾖ, ὃς ἀνθρώπων.

42. Ἔσχε τοιαύταν] τοιαύτην, φησὶν, ἔσχεν ἄταν καὶ βλάβην τὸ λῆμμα (sic) τῆς Κορωνίδος, περιφραστικῶς ἡ Κορωνίς. ὡς παρ' Ὁμήρῳ (Odyss. II, 409.)· ἱερὴ ἵς Τηλεμάχοιο. τὰ γὰρ ἐπιχώρια ἐάσασα ἐσπλάσε ξένῳ γαμηθῆναι, τῷ Ἰσχυϊ δηλονότι, ἐλθόντι ἐξ Ἀρκαδίας.

46. Οὐδ' (sic) ἔλαθε σκοπὸν] σκοπὸν τὸν νῦν λέγει τῷ Ἀπόλλωνος. Ἡσίοδος δὲ τὸν κόρακα, ὅπερ ἔστιν ἀπίθανον. μηλοδόκῳ δὲ, τῇ πολλὰ ὑποδεχομένῃ θύματα.

48. Πυθῶνι τόσσ' ἐσάϊεν] ἀντὶ τῷ τυχὼν ὁ Ἀπόλλων. τὸ δὲ ἄϊεν, ἀντὶ τῷ ᾔσθετο. Ὁμηρος (Il.

Ναῦ βασιλεὺς
Λοξίας κοινῶνι παρ' εὐ-
θυτάτῳ, γνώμαν πιθὼν
Πάντα ἴσαντι νόῳ. —
Ψευδέων δ' ἀχ ἅπτεται· κλέπτει τέ μιν
Οὐ Θεὸς, ἀ βροτὸς ἔργοις ὔτε βλαῖς. —

A. β'.

(Il. XI, 532.)· οἱ δὲ πλησιάζοντες. τὸ δὲ ναῦ πρὸς τὸ Πυθῶνι, ἵν' ᾖ, τῇ ἐν Πυθῶνι ναῷ. ὁ δὲ νῆς· ἐν δὲ Πυθῶνι ὧν ὁ Ἀπόλλων ἐπήσθετο τῷ ἱερῷ νόῳ τὸ ἀμάρτημα, ὄντινα, τὸν νῆν αὐτῷ δηλονότι, φησὶν εἶναι κοινῶνα ὁ Πίνδαρος διὰ τὴν μαντικήν. Ἄλλως. κοινωνὸν τῷ Ἀπόλλωνος ὁ νῆς ἔσιν. διατί; ὅτι ἀχ ὥσπερ ἡμεῖς παρ' ἑτέρᾳ πειθόμενοι παρακολουθοῦμεν τοῖς ὔσιν, ὕτω νῷ Ἀπόλλων, ἀλλὰ δι' ἑαυτῷ εἶδεν. ἡνίκα γῶν ἡ Κορωνὶς τῷ Ἴσχυϊ συνῆλθεν, ἐν Πυθῶνι τυχὼν ὁ Ἀπόλλων ἤσθετο. καλῶς δὲ ὁ Πίνδαρος τὴν περὶ τὸν κόρακα παρακρουσάμενος ἱσορίαν, δι' ἑαυτῷ φησὶ τὸν Ἀπόλλωνα κατειληφέναι τὴν Κορωνίδα. Ἄλλως. ἐπαινεῖ τὸν Πίνδαρον ὁ Ἀρτέμων, ὅτι παρακρουσάμενος τὴν περὶ τὸν κόρακα ἱσορίαν, αὐτὸν δι' ἑαυτῷ ἠγνωκέναι φησὶ τὸν Ἀπόλλωνα. ἱσορεῖται γῶρ, ὅτι τὴν Ἴσχυος μίξιν ἐδήλωσεν αὐτῷ ὁ κόραξ· παρὸ νῃ δυσχεράναντα ἐπὶ τῇ ἀγγελίᾳ τὸν Ἀπόλλωνα ἀντὶ λευκῷ μέλανα αὐτὸν ποιῆσαι. τοῦτον οὖν τὸν μῦθον διωσάμενόν φησι τὸν Πίνδαρον τῷ ἑαυτῷ νῷ καταλαβεῖν τὰ πεπραγμένα τῇ Κορωνίδι. παράλογον γῶρ, τὸν ἅλλοις μαντευόμενον αὐτὸν μὴ συμβαλεῖν τὰ κατ' αὐτῷ δρώμενα. χαίρειν οὖν φράσας τῷ τοιούτῳ μύθῳ τέλεον ὄντι ληρώδει, αὐτόν φησι τὸν Ἀπόλλωνα παρὰ τῷ νῷ πυθόμενον ἐπιπέμψαι τῇ Κορωνίδι τὴν Ἄρτεμιν. τὸν δὲ περὶ τὸν κόρακα μῦθον φασὶ καὶ Ἡσίοδον μνημονεύοντα λέγειν ὕτω (Fragm. p. 443. Lipſ.)·

Τῷ μὲν ἄρ' ἄγγελος ἦλθε κόραξ ἱερῆς ἀπὸ δαιτὸς
Πυθῶ ἐς ἠγαθέην, νῃ ῥ' ἔφρασεν ἔργ' ἀίδηλα
Φοίβῳ ἀκερσεκόμῃ, ὅττ' Ἴσχυς γῆμε Κορωνὶν
Εἰλατίδης, Φλεγύαο Διογνήταο θύγατρα.

51. Γνώμαν] τὴν πρόγνωσιν φησὶ, τὴν περὶ τὴν Κορωνίδα. τὸ δὲ πεπιθὼν ἀντὶ τῷ πεισθεὶς ὑπὸ τῷ κοινῷ αὐτῷ νῷ. τύτῳ γὰρ ἀνακοινῶται νῃ συνδιακρίνει τὰ ὄντα πάντα.

53. Ψευδέων δ' ἀχ ἅπτεται] ὁ τῷ Ἀπόλλωνός, φησι, νῷς οὐδέποτε ψευδῶν λόγων ἐφάπτεται.

Κλέπτει τε μιν] τὸν νῶν φησὶ τῷ Ἀπόλλωνος, ὃν ὐδεὶς παραλογίζεται, ὐδὲ θεὸς ὔτε ἄνθρωπος, ὔτε ἔργοις ὔτε βλαῖς. ὐκ ἄρα ὁ κόραξ εἶπεν, ἀλλ' ὁ νῷς, καθὸ μαντικὸς καὶ ἀπαραλόγιστος.

55. Καὶ

Α. β'. Κ. ιγ'.

Καὶ τότε γυὰς Ἴσχυος Εἰλατίδα
Ξεινίαν κοίταν ἄθεμίν τε δόλον,
Πέμψεν κασιγνήταν μένει
Θύοισαν ἀμαιμακέτῳ
Ἐς Λακέρειαν, ἐπεὶ
Παρὰ Βοιβιάδος
Κρημνοῖσιν ὤκει παρθένος.
Δαίμων δ' ἕτερος
Ἐς κακὸν τρέψαις ἐδαμά-
σατό νιν. καὶ γειτόνων
Πολλοὶ ἐπαῦρον, ἀμᾶ

Δ'

55. Καὶ τότε γυὰς Ἴσχυος] τότε, φησὶ, μαθὼν ὁ Ἀπόλλων τὴν Ἴσχυος τὴν Ἐλάτης παιδὸς τὴν ξένην κοίτην καὶ τὴν ἄδικον κακουργίαν, ἢ ξενίαν κοίτην, τὴν μετὰ φιλίας γενομένην, ἢ τὴν λαθραίαν ἀπὸ τοῦ ξένου, ἔπεμψε τὴν ἀδελφὴν Ἄρτεμιν, τὴν ἀκαταμαχήτῳ δυνάμει ὁρμῶσαν, εἰς τὴν Λακέρειαν. ἡ δὲ Λακέρεια πόλις Θεσσαλίας.

59. Ἐπεὶ παρὰ Βοιβιάδος] ἐπεὶ ἡ παρθένος Κορωνὶς ὤκει παρὰ ταῖς ὄχθαις τῆς Βοιβιάδος λίμνης. ἡ δὲ Βοιβιὰς λίμνη παρακειμένη τῇ Λακερείᾳ. ὅτι δὲ ἡ Κορωνὶς ἐν Λακερείᾳ ὤκει πρὸς ταῖς πηγαῖς τοῦ Ἀμύρου, Φερεκύδης ἐν πρώτῃ ἱστορεῖ, ἔνθα καὶ περὶ τοῦ κόρακος διηγεῖται, καὶ ὅτι Ἄρτεμιν ἔπεμψεν ὁ Ἀπόλλων, ἢ πολλὰς ἅμα γυναῖκας ἀπέκτεινε, καὶ ὡς τὸν Ἴσχυν ὁ Ἀπόλλων κτείνει, τὸν δὲ Ἀσκληπιὸν δίδωσι Χείρωνι. ἡ δὲ Βοιβιὰς καὶ Κορωνὶς, ἢ κατ' ἐνίους Νεσωνὶς ἐλέγετο, ὥσπερ Ἀρχῖνος ἐν Θεσσαλικοῖς φησιν. ἡ δὲ Βοιβιὰς ἐκλήθη ἀπὸ μιᾶς τῶν νυμφῶν Βοιβιάδος.

62. Δαίμων δ' ἕτερος] ὁ κακοποιὸς, ὡς πρὸς τὸν ἀγαθοποιόν. ὁ δὲ νῦς· ὁ δὲ κακοποιὸς δαίμων εἰς τὴν τῆς μοιχείας κακουργίαν τρέψας τὴν Κορωνίδα καὶ ἀναιρεθῆναι αὐτὴν κατεσκεύασε.

64. Καὶ γειτόνων πολλοὶ] καὶ τῶν γειτόνων, φησὶ, πολλοὶ ἀπήλαυσαν τοῦ κακοῦ τοῦ περὶ τὴν Κορωνίδα. λοιμὸς γὰρ ἐγένετο. αἴτιοι δὲ τῷ λοιμῷ Ἀπόλλων καὶ Ἄρτεμις. λοιμῷ ἂν γενομένῳ συναπήλαυσαν καὶ οἱ μηδὲν αἴτιοι. Ἡσίοδος (Op. et D. 238)·

Πόλλακι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα.

Καλλίμαχος δὲ φησιν, ὑ πάντες, ἀλλ' ὧς ἔσχεν ἕτερος δαίμων.

65. Ἁμᾶ δ' ἔφθαρε] τὸ ἅμα, ὡς Ἡρωδιανός φησιν ἐν τῇ ιθ', οἱ

Δωριεῖς

Δ' ἔφθαρεν, πολλὰν δ' ὄρει πῦρ ἐξ ἑνὸς
Σπέρματος ἐνθορὸν αἴστωσεν ὕλαν.

Ε. Β'. Κ. ιε'.

Ἀλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ
Σύγγονοι κέραν, σέλας δ' ἀμφέδραμε
Λάβρον Ἀφαίσᾳ, τότ' ἔειπεν Ἀπόλλων· ἀκ ἔτι
Τλάσομαι ψυχᾷ γένος ἀμὸν ὀλέσσαι
Οἰκτροτάτῳ θανάτῳ,
Ματρὸς βαρεία σὺν πάθᾳ.
Ὣς φάτο. βάματι δ' ἐν

Πρώτῳ,

Δωρειῆς περισπῶσι, καὶ τὸ παντᾶ, ὥσπερ τὸ κρυφᾶ παρὰ Πινδάρῳ. τοιοῦτον δέ ἐστι καὶ τὸ ἀμῆ περισπώμενον, ἀπὸ τοῦ ἀμὴ γινόμενον. ζητεῖται δὲ ἐν τῷ περισπωμένῳ ἀμᾶ, εἰ προστεθήσεται τὸ ι'.

66. Πολλάν τ' (sic) ὄρει] λείπει τὸ ὡς, καὶ περιττεύει ὁ τε. ἔστι γάρ· ὥσπερ δὲ πῦρ ἐμπεσὸν ὄρει πολλὴν ὕλην φθείρει, οὕτω τὸ ἁμάρτημα τῆς Κορωνίδος πολλὰς ἄφθειρεν. Ἄλλως. ὥσπερ γάρ, εἴτις εἰς ὕλην πολλὴν σπινθῆρα βάλοι, ἃ μόνον ἐκεῖνο τὸ μέρος, εἰς ὃ βέβληται, κατακαίεται, ἀλλὰ καὶ πᾶσα ἡ ὕλη συγκατακαίεται, οὕτω θανάτῳ βληθέντος εἰς τὴν Κορωνίδα ὑπὸ Ἀρτέμιδος, καὶ λοιμικὰ πάθη ἐνσκήψαντος, πολλοὶ τῶν γειτόνων ἀπώλοντο. καὶ Εὐριπίδης (Inus fr. VI, 2)·

Μικρὰ γὰρ ἐκ λαμπτῆρος Ἰδαίων λέπας
Πρήσειεν ἂν τις.

68. Ἀλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ] τῷ πυρκαϊᾷ δηλονότι, ἐφ' ἧς ἐτέθη τὸ σῶμα τῆς Κορωνίδος εἰς ἀφανισμόν.

69. Σέλας δ' ἀμφέδραμεν] ἦγεν, καὶ ἐπεὶ ἐξήφθη ἡ πυρά, εἶπεν ὁ Ἀπόλλων· ἀκέτι ὑπομενῶ τὸ ἐμὸν σπέρμα ἰδεῖν συναπολυμαινόμενον τῇ Κορωνίδι.

75. Βάματι δ' ἐν πρώτῳ] ἐὰν μὲν γράφηται, ἐν πρώτῳ, ὡς νῦν γέγραπται, ἔσται, ἐν ἑνὶ βήματι ὁ Ἀπόλλων ἀπὸ τῆς Πυθῶνος ἐληλυθὼς εἰς τὴν Θεσσαλίαν. ἐὰν δὲ, ὡς ἔν τισι, βάματι δ' ἐν τριτάτῳ, ἔσται περιφράζων τὸ, τρὶς μὲν ὀρέστ' ἰὼν (Hom. Il. XIII, 20.) ὁ Ἀπόλλων. ἔστι δὲ σεμνότερον, καὶ μᾶλλον πρέπον τῷ θεῷ τὸ ἅμα τῷ πρώτῳ βήματι φύσασθαι τὸν παῖδα. ἔστι δὲ καὶ πρὸς τὴν ἀντίστροφον συμφωνον. ὁ μέντοι Ἀρίσταρχος γράφει, τριτάτῳ.

78. Διέ-

Πρώτῳ, κιχὼν παῖδ' ἐκ νεκρῶ
Ἅρπασε. καιομένα
Δ' αὐτῷ διέφαινε πυρά.
Καὶ ῥά μιν Μάγνητι Φέρων
Πόρε Κενταύρῳ, διδάξαι
Πολυπήμονας ἀν-
θρώποισιν ἰᾶσθαι νόσους.

Σ. γ'. Κ. ιγ'.

Τὰς μὲν ὧν, ὅσσοι μόλον αὐτοφύτων
Ἑλκέων ξυνάονες, ἢ πολιῷ
Χαλκῷ μέλη τετρωμένοι,
Ἢ χερμάδι τηλεβόλῳ,
Ἢ θερινῷ πυρὶ περ-
θόμενοι δέμας, ἢ
Χειμῶνι, λύσαις ἄλλον ἀλ-
λοίων ἀχέων
Ἔξαγεν· τὰς μὲν μαλακαῖς

78. Διέφαινε πυρά] ὃ λέγει, ὅτι διαφανὴς ἐγένετο καὶ λαμπρὰ, ἀλλ' ὅτι ἡ φύσις τὸ πυρὸς οἷον διεσχίσθη καὶ διάστημα τῷ πυρὸς ἐγενήθη, ἕως ἂν ἐπιβὰς ὁ Ἀπόλλων ἀνείλετο τὸν παῖδα.

79. Καί ῥα μιν] καὶ δὴ τὸν ἑαυτῷ παῖδα ἐνεχείρισεν ὁ Ἀπόλλων τῷ Κενταύρῳ τῷ Θεσσαλῷ, ἀναδιδάσκειν τὰς πολλῶν ἡμάτων αἰτίας, καὶ τοῖς ἀνθρώποις νόσους θεραπεύειν.

83. Τὰς μὲν ὧν] τὰς μὲν ὕν, ὅσοι παρεγένοντο αὐτοφύτων ἑλκῶν κοινωνοί· ταῦτα γὰρ αὐτόφυτα ἕλκη, ὡς ἂν ὐχ ὑπ' ἄλλων ἐπακτὰ ὄντα, ἀλλ' αὐτόματα γινόμενα· ἢ τῷ πολιῷ καὶ λαμπρῷ σιδήρῳ τὰ μέλη τετρωμένοι, ἢ χειροπληθεῖ λίθῳ μακρόθεν βεβλημένοι· ἀπὸ κοινῆ δὲ τὸ, τὰ μέλη τετρωμένοι· ἢ τῷ θερμαντικῷ πυρὶ πορθούμενοι καὶ κατακαιόμενοι τὸ σῶμα, ἢ φρίκῃ, ἢ ῥίγει, ἤτοι ῥιγοπυρέτῳ, ἀπολύσας ἄλλον ἀλλοίων λυπῶν καὶ θλίψεων ἐξήγαγεν, ὅ ἐστι τῶν νόσων.

91. Τὰς μὲν μαλακαῖς ἐπαοιδαῖς] καὶ τὰς μὲν προσηνέσιν ᾠδαῖς θεραπεύων, τὰς δὲ προσηνῆ φάρμακα πίνοντας, ἢ τοῖς μέλεσιν αὐτῶν περιάπτων τινὰ εἰς θεραπείαν, τὰς δὲ τομαῖς καὶ χειρουργίαις ταῖς διὰ σιδήρου ἀνέτησεν ἐρθὰς,

Ἐπαοιδαῖς ἀμφέπων,
Τὰς δὲ προσανέα πί-
νοντας, ἢ γυίοις περιάπτων πάντοθεν
Φάρμακα, τὰς δὲ τομαῖς ἔστασεν ὀρθάς.

Α. γ. Κ. ιγ.

Ἀλλὰ κέρδει καὶ σοφία δέδεται.
Ἑτραπεν κἀκεῖνον ἀγάνορι μι-
σθῷ χρυσὸς ἐν χερσὶν φανείς,
Ἀνδρ' ἐκ θανάτου κομίσαι,
Ἤδη ἁλωκότα. Χερ-
σὶ δ' ἄρα Κρονίων
Ῥίψαις δι' ἀμφοῖν ἀμπνοὰν
Στέρνων καθέλεν
Ὠκέως· αἴθων δὲ κεραυ-
νὸς ἐνέσκιμψεν μόρον. —

Χρὴ

ὀρθὰς, καὶ ὑγιεῖς ἀπέδειξεν. ὅτι δὲ ἀρχαία ἦν καὶ ἡ δι' ἐπῳδῆς ἰατρική, καὶ ὁ μόνον ἡ διὰ φαρμάκων καὶ διαίτης, φησὶ καὶ Ὅμηρος (Od XIX, 457. f.)· ἐπαοιδῇ δ' αἷμα κελαινὸν ἔσχεθον.

96. Ἀλλὰ κέρδει] ἀλλὰ καὶ ἡ σοφία, φησὶ, κέρδει δέδεται καὶ ἥττηται. μετέστρεψε γάρ, φησι, καὶ τὸν θεὸν τὸν Ἀσκληπιὸν τῷ πλείονι μισθῷ ὁ χρυσὸς ἐν ταῖς χερσὶ φανείς, ὥστε ἄνδρα ἐκ τοῦ θανάτου ἀναγαγεῖν, ἤδη τῇ μοιριδίῳ ληφθέντα. λέγεται δὲ ὁ Ἀσκληπιὸς χρυσῷ δελεασθεὶς ἀναστῆσαι Ἱππόλυτον τεθνηκότα· οἱ δὲ Τυνδάρεων· ἕτεροι, Καπανέα· οἱ δὲ, Γλαῦκον· οἱ δὲ Ὀρφικοὶ, Ἰμέναιον· Στησίχορος δὲ ἐπὶ Καπανεῖ καὶ Λυκούργῳ. οἱ δὲ, διὰ τὸ τὰς Πρωτίδας ἰάσασθαι· οἱ δὲ διὰ τὸν Ὠρίωνα· Φύλαρχος, ὅτι τὰς Φινείδας ἰάσατο· Φερεκύδης δὲ, ὅτι τὰς ἐν Δελφοῖς θνήσκοντας ἀναβιῶν ἐποίει.

100. Χερσὶ δ' ἄρα Κρονίων] προσυπακουέον δὲ τὸ ῥίψαις, τὸν κεραυνόν. τοῦτον, φησὶ, ῥίψας δι' ἀμφοτέρων, τοῦ τε Ἀσκληπιοῦ, καὶ τοῦ ἀνιαμένου ἀπὸ τοῦ θανάτου ἀνεῖλεν αὐτούς.

102. Ῥίψας δι' ἀμφοῖν] οἷον οὕτω περίθυμος ἐγένετο ὁ Ζεὺς, ὥστε ἐνσκῆψαι βέλος διαπάξ δι' ἀμφοτέρων τῶν μαστῶν ἢ τῶν πλευρῶν, δι' αὐτοῦ τε τοῦ Ἀσκληπιοῦ καὶ τοῦ ἰατρευθέντος, ὥστε καὶ τὸν Ἀσκληπιὸν ἀναιρεῖσθαι καὶ τὸν ἀναβεβιωκότα. ὁ δὲ Κράτης τὸν Ἀσκληπιὸν φησι, καὶ τὸν διδάξαντα αὐτὸν Χείρωνα. ᾠδεῖς δὲ τούτῳ μαρτυρεῖ.

106. Χρὴ

Χρὴ τὰ ἐοικότα πὰρ
Δαιμόνων μαστευέμεν θναταῖς φρεσὶ,
Γνόντα τὸ πὰρ ποδὸς, οἵας εἰμὲν αἴσας.

Ε. γ'. Κ. ιέ.

Μὴ, φίλα ψυχὰ, βίον ἀθάνατον
Σπεῦδε· τὰν δ' ἔμπρακτον ἄντλει μαχανάν.
Εἰ δὲ σώφρων ἄντρον ἔναι'
Ἔτι Χείρων, καί τί οἱ
Φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι

106. Χρὴ τὰ ἐοικότα] πρέπει τὰ ἀρέσκοντα τοῖς θεοῖς, καὶ τὰ πρέποντα, ἢ τὰ ἁρμόζοντα τοῖς ἀνθρώποις, ἐκεῖνα παρὰ θεῶν αἰτεῖν, γινώσκοντας τὰς παρὰ ποδὰς ὁποίας ἔχομεν μοίρας, οἷον, τὸ ἐνεχῶς, τὰ καθεχῶτα, οἵαν μοῖραν εἰλήχαμεν. ὅμοιον τῷ Χίλωνος ἀποφθέγματι, τῷ, γνῶθι σαυτόν. τὸ δὲ ὅλον, ὅτι θνητοὶ πεφύκαμεν.

109. Μὴ φίλα ψυχὰ] ὁ λόγος πρὸς ἑαυτόν· μηδαμῶς δὲ, ὦ προσφιλεστάτη ψυχὴ, θνητὴ τυγχάνουσα ἐπ' ἀθάνατον σπεῦδε βίον, ἀλλὰ μᾶλλον ἐπιζήτει μηχανὴν, ἣν καὶ καταπράξασθαι δύνασαι, οἷον, τοιούτοις ἐπιχείρει ἃ δύνατα πραχθῆναι. τοῦτο γὰρ σημαίνει τὸ ἔμπρακτον. ἢν δέον ἐστὶ πρᾶξιν ἀνύειν, ταύτην διαπράττου. πρὸς δὲ τὸ ἄντλει καὶ τὴν μηχανὴν ἐπήγαγεν.

111. Εἰ δὲ σώφρων ἄντρον] ἀνέδραμε πάλιν ἐπὶ τὴν ἀρχὴν τὸ ἐπινίκιον. τοῦτο γὰρ ἐκείνῳ προσαπτέον· ἤθελον Χείρωνά κε φιλυρίδαν· καὶ μετὰ τὴν διάνοιαν ἐκείνην τὴν εὐκτικὴν εἰκότως προσάψομεν. Ἄλλως. ἐπανέλαβε τὰ ἐν ἀρχῇ ῥηθέντα, ἤθελον Χείρωνά κε φιλυρίδαν, ἐπεὶ πολλὰ ἐστὶ τὰ διὰ μέσου ῥηθέντα. εἰ ἦν ὁ σώφρων Χείρων ἐκεῖνος ἄντρον ἔναιεν ἔτι, καί τι αὐτῷ φίλτρον καὶ ἡδονὴν ἐν τῇ ψυχῇ ἐποίουν οἱ ἐμοὶ ὕμνοι, ἐκήλησα ἄν αὐτὸν ἰατρὸν ὄντα παρασχεῖν τῷ Ἱέρωνι τῶν καυσικῶν νόσων ἀπόλυσίν τινα. διάπυροι γὰρ αἱ νόσοι. τοῦτο δέ φησιν, ἢ ὅτι ἐπύρεττεν ὁ Ἱέρων, ὡς ἔνιοι τῶν ἱστορικῶν ἠβουλήθησαν, ἢ ὅτι ἐποδαλγία· τὸ δὲ νόσημα τοῦτο τῶν διαπύρων φασίν· οἱ δὲ τὴν λιθυρίαν ἀποδεδώκασιν. ὁ νῦς οὕτως· εἰ δὲ ὁ σώφρων καὶ ὁ συνετώτατος κατὰ τὸ Πήλιον ἔτι ᾤκει ἄντρον Χείρων, καί τι αὐτῷ φίλτρον καὶ ἡδονὴν οἱ ἐμοὶ ἡδύφωνοι ὕμνοι ἐτίθεσαν, ἰατρὸν ἄν αὐτὸν καὶ ἐπὶ τῷ παρόντος τοῖς ἀγαθοῖς ἀνδράσιν ἔπεισα παρασχεῖν.

Ἀμέτεροι τίθεν· ἰ-
ατῆρά τοί κέν μιν πίθον
Καί νυν ἐσλοῖσι παρα-
σχεῖν ἀνδράσιν θερμᾶν νόσων
Ἢ τινα Λατοΐδα
Κεκλημένον ἢ πατέρος.
Καί κεν ἐν ναυσὶν μόλον, Ἰ-
ονίαν τέμνων θάλασσαν,
Ἀρέθυσαν ἐπὶ
Κράναν, παρ' Αἰτναῖον ξένον,

Σ. δ'. Κ. ιγ'.

Ὃς Συρακόσσαισι νέμει, βασιλεὺς
Πρᾶὺς ἀστοῖς, ἀ φθονέων ἀγαθοῖς,
Ξείνοις δὲ θαυμαστὸς πατήρ.

Τῷ

118. Ἢ τινα Λατοΐδα] μητρωνυμικὸν τοῦ Ἀπόλλωνος. φησὶ δὲ τὸν Ἀσκληπιόν. Ἄλλως. ἢ τινα τῶν τῆς Λητοῦς παιδὸς, Ἀπόλλωνος, ἀπόγονον κεκλημένον, ἢ καὶ υἱὸν αὐτοῦ, ἀπὸ κοινοῦ δὲ τὸ κεκλημένον, ἢ πατέρος, ἤγουν τοῦ Διός· παρὰ τὸ Ὁμηρικόν· πατήρ ἀνδρῶν τε θεῶν τε· ἢ πατέρος υἱὸν, τὸν Ἀπόλλωνα.

120. Ἰονίαν τέμνων] Ἰόνιον πέλαγος, τὸ περὶ Σικελίαν, τὸ περὶ τὸ Ἀδριατικὸν πέλαγος, ὡς καὶ Θουκυδίδης (Hist. I, 24.)· Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ εἰσπλέοντι τὸν Ἰόνιον πόντον. παράκειται δὲ καὶ ἡ Σικελία. ἀπὸ τῶν γειτνιώντων ἔθνῶν τὴν νῆσον ἐθνίλωσεν. Ἄλλως. τὸ Ἰόνιον πέλαγος τὸ περὶ Σικελίαν τὸ ὄνομα ἔλαβεν, ὡς μὲν ἔνιοι, ἀπὸ Ἰοῦς· Θεόπομπος δὲ ἀπὸ Ἰονίου, ἀνδρὸς Ἰλλυριοῦ· Ἀρχίδαμος δὲ ἀπὸ τῶν ἀπολλυμένων ἐν αὐτῷ Ἰόνων. ἡ δὲ Ἀρέθυσα κρήνη ἐν Ὀρτυγίᾳ τῇ Σικελικῇ, ἣν διὰ πολλῶν ὕδων ἱερὰν Ἀπόλλων ἀπέδωκεν. ὁ δὲ νῦν· καὶ δὴ διαπλεύσας τὸ Ἰόνιον πέλαγος παρεγενόμην ἐπὶ τὴν Ἀρέθυσαν, τὴν ἐν τῇ Ὀρτυγίᾳ, τὴν Σικελιωτικὴν κρήνην, παρὰ τὸν Αἰτναῖον φίλον Ἱέρωνα, ὃς τῶν Συρακυσσῶν βασιλεύει, τοῖς πολίταις πρᾳότατος ὢν καὶ ἀνεπαχθὴς, καὶ τοῖς ἀγαθοῖς ἃ διαφθονῶν, τοῖς τε ξένοις ἀξιάγαστος ὑπάρχων πατὴρ, διὰ τὴν φιλοξενίαν καὶ φιλοφροσύνην.

127. Τῷ

Τῷ μὲν διδύμας χάριτας,
Εἰ κατέβαν, ὑγίει-
αν ἄγων χρυσέαν
Κῶμόν τ', ἀέθλων Πυθίων
Ἄγλααν στεφάνοις,
Τὸς ἀριστεύων Φερένι-
κος ἔλεν Κίρρα ποτέ·
Ἀστέρος ἁρπαξ,
Φαμὶ, τηλαυγέστερον κείνῳ φάος
Ἐξικόμαν κε, βαθὺν πόντον περάσαις.

Α. δ'. Κ. ιγ'.

Ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω
Ε 4 Ματρὶ,

127. Τῷ μὲν διδύμας χάριτας] τήν τε τῦ ἰατρεύοντος Χείρωνος, εἰ ἀνεβίωσε, καὶ τὴν τῶν ὕμνων, ὧν εἰς αὐτὸν γράφει. τὸ δὲ κατέβαν ἀντὶ τῦ ἦλθον. Ὅμηρος (Iliad. XIV, 19.)·

Πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς ὅρκον,

ἀντὶ τῦ ἐλθεῖν. ὁ δὲ νῦς· τῷ δὲ Ἱέρωνι δικλασίας χάριτας ἔξωθεν παρέσχον ἄν, εἰ παρεγενόμην ὑγίειαν ἅμα κομίζων τιμίαν καὶ ὕμνον τῶν Πυθικῶν ἄθλων, αἴγλην ὄντα καὶ λαμπηδόνα, ἃς τινας στεφάνης ἀριστεύων τῷ τάχει ἔλαβεν ὁ Φερένικος ποτὲ ἐν τῇ Κίρρᾳ. εἶτα ἡ ἀνταπόδοσις πρὸς τὸ πρῶτον. εἰ κατῆλθον εἰς Σικελίαν, παρεγενόμην ἄν βαθὺ πέλαγος διαπεράσας, ἀστέρος λαμπρότερον καὶ ἐπιφανέστερον ἄγων ἐκείνῳ φάος, τήν τε θεραπείαν καὶ τὸν ὕμνον.

134. Ἀστέρος ἁρπαξ] τὸν ἡλίου φησιν. εἰ ἂν εὐξάμενος παρεγενόμην, φησὶ, τὸν Χείρωνα ἀπαλλάξειν αὐτὸν τῆς νόσυ, καὶ τὸ ἐπὶ τῇ νίκῃ ποίημα κατεσκευασάμην, τότε ἂν ἐφάνην αὐτῷ τὸ ἡλίυ λαμπρότερος, διαβὰς τὸ πέλαγος καὶ ἐλθὼν εἰς τὴν Σικελίαν.

137. Ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω ματρὶ] Ἀριστόδημός φησιν, Ὀλυμπιχον αὐλητὴν διδασκόμενον ὑπὸ Πινδάρυ, γενέσθαι κατὰ τὸ ὄρος, ὅπυ τὴν μελέτην συνετίθει, καὶ ψόφον ἱκανὸν καὶ φλόγα ἰδεῖν καταφερομένην· τὸν δὲ Πίνδαρον ἐπαισθόμενον συνιδεῖν μητρὸς θεῶν ἄγαλμα λίθινον τοῖς ποσὶν ἐπερχόμενον, ὅθεν αὐτὸν συνιδρύσασθαι πρὸς τῇ οἰκίᾳ μητρὸς θεῶν καὶ Πανὸς ἄγαλμα. τὺς δὲ πολίτας πέμψας ἐς θεὺς πυνθάνεται περὶ τῶν ἐπβη-

Ματρὶ, τὰν κῆραι παρ' ἐμὸν πρόθυρον
Σὺν Πανὶ μέλπονται θαμὰ
Σεμνὰν Θεὸν ἐννύχιαι. —
Εἰ δὲ λόγων συνέμεν

Κορυ-

ἐκβησομένων· τὸν δὲ ἀνειπεῖν, μητρὸς θεῶν ἱερὸν ἱδρύσασθαι. τοὺς δὲ ἐκπλαγέντας τὸν Πίνδαρον, διὰ τὸ προσειληφέναι τὸν χρησμὸν ὁμοίως τῷ Πινδάρῳ, ἐκεῖσε τιμᾶν τὴν Θεὸν τελεταῖς. ὁ δὲ νῦς· ἀλλ' ἐπεύξασθαι μὲν καὶ καθικετεῦσαι ἐγὼ βούλομαι τὴν Ῥέαν, ἥντινα αἱ κόραι πλησίον τῶν ἐμῶν οἴκων σὺν τῷ Πανὶ ἀνυμνοῦσι κατὰ τὴν νύκτα, τὴν σεμνὴν Θεόν. λέγεται δὲ Ῥέας ἱερὸν πλησίον τῶν Πινδάρου οἴκων εἶναι. φησὶν ἄν, ὅτι κατεύξομαι τὴν Ῥέαν εὐμενῆ εἶναι Ἱέρωνι· παρ' ὅσον δοκεῖ τῶν νόσων αὐξητικὴ καὶ μειωτικὴ εἶναι.

138. Παρ' ἐμὸν πρόθυρον] ὅτι ἐγειτνία τῇ Πινδάρου οἰκίᾳ μητρὸς θεῶν ἱερὸν καὶ Πανός, ὅπερ αὐτὸς ἱδρύσατο.

139. Σὺν Πανὶ] ἐχ ὅτι αἱ κόραι σὺν τῷ Πανὶ χορεύουσι καὶ ἀνυμνοῦσι τὴν Ῥέαν, ἀλλὰ τὴν Ῥέαν καὶ τὸν Πᾶνα ἀνυμνοῦσι. πάρεδρος γὰρ ὁ Πὰν τῇ Ῥέᾳ, ὡς αὐτὸς ὁ Πίνδαρος ἐν τοῖς κεχωρισμένοις τῶν παρθενίων φησὶν (Fragm. p. 18. f.)· ὦ Πὰν, Ἀρκαδίας μεδέων, ἔως τᾶ, ματρὸς μεγάλας ὀπαδὲ, σεμνῶν Χαρίτων μέλημα τερπνόν. Ἄλλως. πρὸς τῇ οἰκίᾳ τοῦ Πινδάρου μητρὸς θεῶν ἵδρυτο ἱερὸν καὶ Πανός, ὅπερ αὐτὸς ἱδρύσατο. οἱ δὲ, ὅτι καθαρτικὰ ἔστι τῆς μανίας ἡ θεός· καὶ τὸν Διόνυσον δὲ καθαρτικὸν μανίας φασί· τὸν δὲ Πᾶνα παρείληφεν, ὡς μὲν ἔνιοί φασιν, ὅτι καὶ ὁ Πὰν πλησίον καθίδρυτο Πινδάρου, ἢ ὅτι σύνεστι τῇ Θεῷ, ὡς ὄρειος ὤν. καὶ ἡ Ῥέα δὲ ὄρειος λέγεται, διὰ τὸ ἐν Ἴδῃ οἰκεῖν. ἐννύχιαι δὲ, ἐπεὶ νυκτὸς αὐτῇ τὰ μυστήρια τελεῖται. Κῆραι δὲ, αἱ τοῦ Πινδάρου θυγατέρες, Πρωτομάχη καὶ Εὐίμητις, ἢ αἱ νύμφαι.

141. Εἰ δὲ λόγων συνέμεν] εἰ δὲ δύνασαι συνιέναι τὴν τῶν λόγων ὀρθὴν κορυφὴν, γινώσκεις ἀσφαλῶς μανθάνων τὰ τῶν παλαιῶν. λέγει δὲ τὰ παρὰ τῇ ποιητῇ, ὅτι περὶ ἕν ἀγαθὸν δύο πήματα ἀπονέμουσιν οἱ θεοί. φησὶ γάρ που (Il. XXIV, 527.)·

Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει,
Δώρων οἷα διδοῦσι κακῶν, ἕτερος δὲ ἑάων.
Ὧι μὲν κεμμίξας δώῃ Ζεὺς τερπικέραυνος,
Ἄλλοτε μέν τε κακῷ ἐπιμίσγεται, ἄλλοτε δ' ἐσθλῷ.

δοκοῦσι γὰρ οἱ εὐδαίμονες συγκεκραμένον ἔχειν τοῖς ἀγαθοῖς καὶ φαῦλον· οἱ δὲ δυσυχεῖς ἄκρατον τὴν δυσυχίαν· διὸ καὶ περὶ τοῦ Δημοδόκου τοῦ κιθαρῳδοῦ φησίν (Odyss. VIII, 63.)·

Τὸν πέρι Μοῦσ' ἐφίλησε, δίδου δ' ἀγαθόν τε κακόν τε,
Ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν.

διὸ,

Κορυφὰν, Ἱέρων,
Ὀρθὰν ἐπίστα, μανθάνων
Οἷσθα προτέρων·
Ἓν παρ' ἑσλὸν, πήματα σὺν
Δύο δαίονται βροτοῖς
Ἀθάνατοι. τὰ μὲν ὦν

E 5 Οὐ

διὸ, εἴτις λέγει, διατί Θεοφιλὴς ὧν πήρωσιν ἐδυσύχησεν; ἔχομεν λέγειν, ὅτι ἀδύνατόν ἐστιν, ἄνθρωπον ὄντα τελέως ἐν πᾶσιν εὐτυχεῖν καὶ ἀπαθῆ εἶναι. ὁ μέντοι Πίνδαρος ὕτως ἐδέξατο, δύο πίθους εἶναι φαύλων, καὶ ἕνα ἀγαθῶν. διὸ καὶ αὐτός φησιν· ἓν παρ' ἑσλὸν πήματα σύνεγγυς. ὃκ ἔστι δὲ τοῦτο. δύο γὰρ πίθοι εἰσὶ, καὶ ὁ μὲν εἷς ἀγαθῶν, ὁ δὲ ἕτερος φαύλων. τὸ μὲν γὰρ ἕτερος ἐλέγχει παρακείμενον, ὅπερ ἐπὶ δυϊκῶν μόνῳ ἀριθμῷ λέγεται, οἷον τῶν δύο τὸ ἕτερον. ὁ λόγος ὦν πρὸς τὴν Ἱέρωνος νόσον καὶ πρὸς τὸ τῆς βασιλείας ἀξίωμα. μηδαμῶς, φησὶν, ὦ Ἱέρων, ἀλγύνῃ. ἀδύνατόν γὰρ ἐστιν, ἄνθρωπόν σε ὄντα καὶ εὐδαιμονοῦντα μὴ ἔχειν τι καὶ βλάβης. ἀνασηκῶσι γὰρ ὥσπερ τὰ ἀγαθὰ τῇ τῶν φαύλων μερίδι. Ἄλλως. ἔνιοι ἀπεκδοχὴν φασιν εἶναι ταῦτα τῶν Ὁμηρείων, ὡς εἰπόντος αὐτῷ, ὅτι τριῶν ὄντων πίθων, ἑνὸς μὲν τῶν ἀγαθῶν, δυοῖν δὲ τῶν κακῶν, ὁ Ζεὺς δίδωσιν ἐξ ἑκάστου μοῖραν. ἐλέγχεται δὲ, ὅτι τὸ ἕτερος ἐπὶ δύο μόνων λέγεται. εἰ γὰρ ἤδει τρεῖς ὄντας τοὺς πίθους, ἄλλος ἂν εἶπε καὶ οὐχ ἕτερος. ἔστι δὲ ὑποστίξαντα εἰς τὸ, δῴρων οἷα διδῶσι, διαστεῖλαι εἰς τὸ, κακῶν, ἵν' ᾖ· κακῶν, ἕτερος δὲ ἐάων. δύο ὦν λέγει πίθους Ὅμηρος, κακῶν τε καὶ ἀγαθῶν, καὶ ᾧ μὲν ἀνθρώπων ἕν παρ' ἓν ἀγαθὸν καὶ κακὸν δῷ, εὐδαίμων ἐστὶν, ᾧ δ' ἂν ἐκ θατέρου δῷ δύο μοίρας τῶν κακῶν, τοῦτον ὦν εἶναι κακοδαίμονα. ταῦτα δὲ λέγει παραμυθούμενος τὸν Ἱέρωνα, ὑπὲρ τῆ πρᾳότ φέρειν τὴν λύπην.

145. Ἓν παρ' ἑσλὸν] ὡς δὲ λεγόμενον προφέρεται τὸ τοιοῦτον, ὅτι τοῖς ἀνθρώποις οἱ θεοὶ τὴν τρίτην τῶν ἀγαθῶν μοῖραν, τῶν δὲ κακῶν τὰ δύο ἀπομερίζουσι.

147. Τὰ μὲν ὦν] ταῦτα μέν ὦν τὰ φαῦλα ἀδυνάτως ἔχουσιν οἱ ἄφρονες κοσμίως καὶ ἀνθρωπίνως φέρειν, ἀλλ' οἱ συνετοὶ φέρουσι, τὰ καλὰ περιβάλλοντες ἔξω, καὶ λογιζόμενοι, ῥᾷον φέρουσι τὰ φαῦλα. τὴν μεταφορὰν δὲ εἴληφεν, οἷον ἄν τις νοήσειεν, ἐπὶ τῶν ἱματίων. ὅταν γὰρ ἔχῃ κηλίδας, ὁ δυνάμενός τις εὐκόσμως χρῆσθαι, τὸ μὲν κηλιδωθὲν ἔνδον ἔστρεψε, τὸ δὲ καλὸν ἔξω· τἀναντίον δὲ, ἐὰν ἄφρων ᾖ, τὰς κηλίδας ἔξω ἐᾷ. καὶ τὸν βίον ὦν τῶν ἀνθρώπων φησὶ κοινῇ μὲν πάντων ἔχειν πήματα, ταῦτα δὲ τὰς μὲν ἄφρονας ἐν φανερῷ παρέχειν, τὰς

δὲ

Οὐ δύνανται νήπιοι κόσμῳ φέρειν,
Ἀλλ' ἀγαθοὶ, τὰ καλὰ τρεψαντες ἔξω.

Ε. δ'. Κ. ιε'.

Τὶν δὲ μοῖρ' εὐδαιμονίας ἔπεται.
Λαγέταν γάρ τοι τύραννον δέρκεται,
Εἴ τιν' ἀνθρώπων, ὁ μέγας
Πότμος. αἰὼν δ' ἀσφαλὴς
Οὐκ ἔγεντ' ἔτ' Αἰακίδᾳ παρὰ Πηλεῖ,
Οὔτε παρ' ἀντιθέῳ
Κάδμῳ· λέγονται μὰν βροτῶν
Ὄλβου

δὲ σώφρονας μετὰ κόσμου φέρειν ἀποκρυπτομένης, καὶ τὰ καλὰ τοῦ βίου ἔξω τρέποντας.

150. Τὶν δὲ μοῖρ'] τοῦτο ἔχεις, φησὶν, ἀγαθὸν. μοῖρα γάρ σοι τῆς εὐδαιμονίας σύνεστιν. ἢ ὅτω· σοὶ δὲ ἡ τῆς εὐδαιμονίας μοῖρα ἀκολουθεῖ. ἀποκεκλήρωσαι γὰρ τὰ ἀγαθά. ὁ δὲ νῦς· σοὶ δὲ, ὦ Ἱέρων, μερὶς ἀγαθῶν ἀκολουθεῖ. τὸν γὰρ δὴ τῶν λαῶν ἡγούμενον πλοῦτον καὶ τύραννον ἡ ἐξ ἀρχῆς ἐδωρήσατό σοι καταβολὴ, καὶ ὁρᾷς, εἴπερ τινα ἄλλον, εὐδαίμονα.

151. Λαγέταν γὰρ τύραννον] τὸν γὰρ λαγέτην τύραννον ἔχεις πλοῦτον. λαγέτας δὲ ὁ πλοῦτος, ἐπεὶ πάντας ἄγει τοὺς λαούς. ὑποτάσσονται γὰρ αὐτῷ πάντες. ἀλλὰ μὴν καὶ τύραννός ἐστι. τοῦτο πρὸς, ἓν παρ' ἐσλὸν πήματα σύνδυο· καὶ τῷ Ἱέρωνι μὲν γὰρ ἡ τῆς τυραννίδος εὐδαιμονία ὥσπερ τι μέγιστον ἕπεται, παρεπλάκη γε μέντοι αὐτῇ, ὥσπερ τι κακὸν, ἡ νόσος.

153. Αἰὼν δ' ἀσφαλὴς] βίος δὲ ἀσφαλὴς καὶ ἄπταιστος εὐδαιμὼ ἐγένετο, ὅτε παρὰ τῷ Αἰακίδῃ Πηλεῖ, ὅτε παρὰ τῷ ἰσοθέῳ Κάδμῳ, καίτοι λέγονται τῶν ἀνθρώπων εὐδαιμονίαν μεγίστην ἐσχηκέναι. Ἄλλως. βίος δὲ ἄνευ σφάλματος οὐκ ἐγένετο καὶ βλάβης, ὅτε τῷ Πηλεῖ, ὅτε τῷ Κάδμῳ. ταῦτα δὲ διὰ τὴν νόσον αὐτῷ παραινεῖ. τὸν δὲ Κάδμον παρέλαβε, διὰ τὸ καὶ τοῦτον εὐδαιμονήσαντα ἐκπεσεῖν εἰς Ἰλλυριούς. ὅλως δὲ αὐτὸν ἀποσεμνύνουσιν, διαπεφυκότα τὸ γένος εἰς θεούς. πρόπαππος γὰρ ὁ Ζεὺς, καὶ πάππος ὁ Ποσειδῶν, ὁ δὲ Ἄρης κηδεστὴς, ἡ δὲ Ἀφροδίτη πενθερὰ, ἡ δὲ Θυώνη καὶ ἡ Λευκοθέα θυγατέρες, ὁ δὲ Διόνυσος καὶ ὁ Παλαίμων θυγατριδοῦ· τὸ δὲ ὅλον, καὶ ὑπὸ θεῶν καὶ ὑπ' ἀνθρώπων αὐτὸν μάλιστα πάντων κατὰ τὴν Ἑλλάδα τετιμῆσθαι. διόπερ καὶ αὐτὸς ἀπεθεώθη μετὰ τῆς γυναικὸς αὐτοῦ Ἁρμονίας, καὶ ἀπελθὼν ἐπὶ ὀρακόντων ἅρματος κατ'

Ὄλβον ὑπέρτατον οἳ
Σχεῖν, οἵτε καὶ χρυσαμπύκων
Μελπομενᾶν ἐν ὄρει
Μοισᾶν καὶ ἐν ἑπταπύλοις
Αἴον Θήβαις, ὁπόθ' Ἁρ-
μονίαν γᾶμεν βοῶπιν,
Ὁ δὲ Νηρέος εὐ-
βέλα Θέτιν παῖδα κλυτάν,

Σ. ε'. Κ. ιγ'.

Καὶ Θεοὶ δαίσαντο παρ' ἀμφοτέροις,
Καὶ Κρόνου παῖδας βασιλῆας ἴδον
Χρυσείαις ἐν ἕδραις, ἕδνα τε

Δέξαν-

κατῴκησεν ἐν Ἠλυσίῳ πεδίῳ, ὡς οἱ ποιηταὶ καὶ οἱ μυθογράφοι παραδεδώκασιν ἡμῖν.

158. Οἵ τε καὶ χρυσαμπύκων] οἵ, ὅτοι· συλληπτικὸς ὁ τρόπος. οἵτινες καὶ τῶν μουσῶν ἀοιδῶν καὶ ἐν τῷ Πηλίῳ ὄρει καὶ ἐν ταῖς ἑπταπύλοις Θήβαις κατῴκησαν. καὶ ταῦτα διὰ τὴν νόσον αὐτῷ παραινεῖ. καὶ γὰρ ὁ Πηλεὺς καὶ ὁ Κάδμος, φησὶν, εὐδαιμονέστατοι γενόμενοι τῶν ἀνθρώπων, εἴς τινα καὶ ἐδυσύχησαν. διὸ, ὦ Ἱέρων, μὴ καταπονῇ διὰ τὸ πάθος τῆς λιθιάσεως· τὰ γὰρ ἄλλα πάντα εὐτυχεῖς.

160. Καὶ ἐν ἑπταπύλοις] καὶ ἐν τούτῳ τῷ χωρίῳ τὸ ἑκάτερον συμβεβηκὸς συλληπτικῶς ἐπ' ἀμφοτέρων τίθησι, καὶ λίαν πυκνός ἐστιν ἐν τοῖς τοιούτοις· ὁ μὲν γὰρ Πηλεὺς ἐν Πηλίῳ τῷ ὄρει παρὰ Χείρωνι τὴν Θέτιν ἔγημεν, ὁ δὲ Κάδμος ἐν Θήβαις τὴν Ἁρμονίαν. λέγει δὲ, ὅτι τῶν Μουσῶν ᾀδουσῶν καὶ ἐν τῷ ὄρει καὶ ἐν ταῖς ἑπταπύλοις Θήβαις κατῴκησαν· ὁ δὲ τρόπος συλληπτικὸς, πρὸς ὃν καὶ τὸ σημεῖον.

165. Καὶ Θεοὶ δαίσαντο] καὶ οἱ Θεοὶ παρ' ἀμφοτέροις εὐωχήθησαν, τυτέστιν, ἐν τοῖς ἀμφοτέρων γάμοις. καὶ Ὅμηρος (Il XXIV, 62. vbi tamen paullo aliter), πάντες δ' ἀντιόωντο γάμῳ Θεοί, ἐπὶ τῷ Πηλέως φησί.

166. Καὶ Κρόνου παῖδας] καὶ τοὺς Κρόνου παῖδας βασιλεῖς ἐθεάσαντο ἐν ταῖς χρυσαῖς καθέδραις.

167. Ἕδνα τ' ἐδέξαντο] ἀκύρως δὲ τὰ δῶρα εἶπεν ἕδνα. τῷ μὲν γὰρ Πηλεῖ γαμοῦντι τὴν Θέτιν ὁ Ποσειδῶν διὰ τὴν σωφροσύνην ἐδωρήσατο ἵππους, Ἡφαιστος δὲ μάχαιραν· τῷ δὲ Κάδμῳ γαμοῦντι τὴν Ἁρμονίαν ἡ Ἀφροδίτη χρυσῶν ὅρμων ἐδωρήσατο, ὃν κτησάμενος Πολυνείκης κατὰ διαδο-

χὴν

Δέξαντο. Διὸς δὲ χάριν
Ἐκ προτέρων μεταμει-
ψάμενοι καμάτων
Ἔστασαν ὀρθὰν καρδίαν.
Ἐν δ' αὖτε χρόνῳ,
Τὸν μὲν ὀξείαισι θύγα-
τρες ἐρήμωσαν πάθαις
Εὐφροσύνας μέρος αἱ
Τρεῖς· ἀτὰρ λευκωλένῳ γε Ζεὺς πατὴρ
Ἦλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ,

Α. έ.

χὴν τῇ γένει παρέσχεν Ἐριφύλη, ἵνα πείσῃ Ἀμφιάραον εἰς τὸν πόλεμον ἐξελθεῖν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· καὶ ὥρα παρ' αὐτῶν ἔλαβον, ἀλλ' ὕμως, φησὶ, καὶ οὕτοι ἄπαιστον οὐκ ηὐτύχησαν βίον. ὁ μὲν γὰρ Κάδμος εἰς ὄφιν μεταβληθεὶς ἀπέθανεν, ὁ δὲ Πηλεὺς ἐν Κῷ τῇ νήσῳ ἀτυχήσας τὸν βίον οἰκτρῶς καὶ ἐπαδύνως ἀπέθανεν, ὡς καὶ Καλλίμαχος μαρτυρεῖ.

168. Διὸς δὲ χάριν] κατὰ δὲ τὴν Διὸς γνώμην μεταβαλόντες ἐκ τῶν προτέρων ἀγαθῶν, διὰ τῶν δευτέρων καμάτων ἔτησαν ὀρθὴν τὴν καρδίαν, τουτέστι, διὰ τὰς ὑπερβαλούσας ἀτυχίας ἔμπληκτοι ὥσπερ καὶ καρδίαν πληγέντες γεγόνασιν. Οἱ δὲ ὕστερον ἐκ τῶν προτέρων ἀγαθῶν μεταβαλλόμενοι τὴν ὀρθὴν καρδίαν καὶ εὐδαιμονίαν διὰ καμάτων καὶ συμφορῶν ἰσχυρῶν ἦλθον. Οἱ δὲ ἄλλως· ἐκεῖ ἐξέφυγον ἐκ τῶν πατρίδων, ἦγαν ἐκ τῶν προτέρων κακῶν μεταβαλόντες, μὴ φρένθησαν· θεῶν γὰρ ἔτυχον γάμων.

173 Τὸν μὲν ὀξείαισι] τὸν μὲν Κάδμον αἱ τρεῖς θυγατέρες ἀπολλύμεναι ταῖς ὀξείαις συμφοραῖς τὸ τῆς εὐφροσύνης μέρος ἠρήμωσαν καὶ ἀφείλοντο· ἐν σχήματι δὲ εἶπεν, ἀντὶ τοῦ, εὐφροσύνης ἔρημον ἐποίησαν. εἰς δὲ τὸ τῆς ἑπεράστου Σεμέλης λέχος ὁ Ζεὺς παρεγένετο. ὅτι δὲ αἱ θυγατέρες τοῦ Κάδμου εὐδυτύχησαν, δῆλος ὁ λόγος. ἡ μὲν γὰρ Σεμέλη ἐκεραυνώθη πρὸς Διός· ἡ δὲ Ἀγαυὴ καὶ Ἰνὼ εἰς μανίαν τραπεῖσαι τοὺς παῖδας διέσπασαν· καὶ ἡ μὲν Ἀγαυὴ τὸν Πενθέα, ἡ δὲ Ἰνὼ κατά τινας τὸν Μελικέρτην εἰς λέβητα κατέθηκε. πολλοὶ γὰρ τὸν Ἀθάμαντα παραδιδόασιν ἐμβεβληκέναι τῷ λέβητι.

177. Ἱμερτὸν Θυώνᾳ] Θυώνην τὴν Σεμέλην λέγει. οὕτω δὲ ὀνομάζεται ἀπὸ τοῦ περὶ τὸν Διόνυσον πάθους, ὅτι θύει καὶ ἐνθουσιᾷ κατὰ τὰς χορείας. οὕτω καὶ Θυάδες αἱ Βάκχαι, καὶ θύσθλα, οἱ θύρσοι. Ἄλλως. Θυώνῃ, τῇ Σεμέλῃ φησί. διονυμία γὰρ ἐκέχρητο. εἰσὶ δὲ εἴ καὶ τὴν αὐτὴν

Διώνην,

Α. έ. Κ. ιγ΄.

Τᾷ δὲ παῖς, ὃν περ μόνον ἀθανάτα
Τίκτεν ἐν Φθίᾳ Θέτις, ἐν πολέμῳ
Τόξοις ἀπὸ ψυχὰν λιπὼν
Ὧρσεν πυρὶ καιόμενος
Ἐκ Δαναῶν γόον. Εἰ
Δὲ νόῳ τις ἔχει

Θνα-

Διώνην λέγουσιν, ὥσπερ Εὐριπίδης ἐν Ἀντιγόνῃ (Fr. 17)·

Ὦ παῖ Διώνης, ὡς ἔφυς μέγας θεός,
Διόνυσε, θνητοῖς τ' ὐδαμῶς ὑπόσατος.

ἔνιοι δὲ τὴν Θυώνην ἑτέραν τῆς Σεμέλης φασὶν εἶναι, τροφὸν τῷ Διονύσῳ, ὥσπερ Πανύασις ἐν τρίτῳ Ἡρακλείας·

Καὶ β' ὁ μὲν ἐν κόλποιο τροφῷ
Θόρε ποσσὶ Θυώνης.

ἐτυμολογοῦσι δὲ τὴν Θυώνην ἀπὸ τῆς θυιάδος. Σεμέλη δὲ κατὰ τὸ μυθικὸν, ἡ τὰ μέλη τῷ σώματος ὑπὸ τῶν βρεντῶν διασαλευσασα, κατὰ δὲ τὸ φυσικὸν, ὅτι σείει τὰ μέλη τῶν οἰνεργούντων αὐτὸν ὁ Διόνυσος, ἐν ᾧ τὰς βότρυς ἀλλόμενοι πατοῦσιν. ἡ δὲ Θυώνη κατὰ τὸ μυθικὸν, διὰ τὸ κεραυνοῖς τεθάφθαι, κατὰ δὲ τὸ φυσικὸν, ὅτι πυρώδης ἡ οὐσία τῷ οἴνῳ.

178. Τᾷ δὲ παῖς ὅπερ μόνον ἀθανάτα τίκτε] τῷ δὲ Πηλέως παῖς, ὅπερ μόνον ἡ ἄφθαρτος Θέτις ἐγέννησεν, ἐν τῷ Ἰλιακῷ πολέμῳ τοῖς Ἀπόλλωνος τόξοις ἀπολιπὼν τὴν ψυχὴν, τῷ πυρὶ καιόμενος, ἐκίνησεν ἐπ' αὐτῷ γόον ἐκ τῶν Ἑλλήνων. μετὰ γὰρ τὸ τελευτῆσαι ἐκάη. Ἄλλως. ὃ μόνον αὐτὸν ἐγέννησεν, ἀλλὰ καὶ ἄλλας, ἃς βουλόμενη ἀπαθανατίζειν ἔκτεινε. φασὶ δὲ ὅτι καὶ τὸν Ἀχιλλέα μέλλουσα καίειν καὶ συλληφθεῖσα ὑπὸ τῷ Πηλέως, εἰς θάλασσαν ἔφυγεν. τὸ δὲ ἑξῆς· ὃς ἐκ Δαναῶν πυρὶ καιόμενος ὦρσε γόον, ἤγουν διορμῆσαι ἐποίησεν.

182. Εἰ δὲ νόῳ τις ἔχει] εἰ δέ τις τὴν ἀληθειαν τῶν πραγμάτων προιδεῖν δύναται, δεῖ πρὸς τῶν θεῶν εὖ πάσχοντα ἑαυτὸν μὴ λυπεῖν, ἀλλὰ συνεπιδιδόναι τὴν ψυχὴν ταῖς ἀπὸ τῶν θεῶν εὐπραγίαις. τὸ δὲ εὖ κοινὸν πρός τε τὸ πασχέμεν, καὶ πρὸς τὸ μακάρων τυγχάνοντα. Ἄλλως. εἴ δέ τις τῶν ἀνθρώπων οἶδε τῆς ἀληθείας τὴν ὁδὸν, τυτέσιν, ὀρθῶς λογίζεται καὶ φρόνιμός ἐστι, προσήκει αὐτὸν παρὰ θεῶν εὐεργετεῖσθαι καὶ τῆς εὐπραγίας ἀπολαύειν. Ὅμηρος (Il. III, 65. f)·

Οὗτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐριαυχένα δῶρα,
Ὅσσα κεν αὐτοὶ δῶσιν· ἑκὼν δ' ὑπ' ἄν τις ἕλοιτο.

187. Ἄλ-

Θνατῶν ἀλαθείας ὁδὸν,
Χρὴ πρὸς μακάρων
Τυγχάνοντ' εὖ πασχέμεν. ἄλ-
λοτε δ' ἀλλοῖαι πνοαὶ
Ὑψιπετᾶν ἀνέμων.
Ὄλβος ἐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται
Τῷ, πολὺς εὖτ' ἂν ἐπιβρίσας ἔπηται.

Ε. ε. Κ. ιε.

Σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις
Ἔσσομαι· τὸν δ' ἀμφέποντ' αἰεὶ φρεσὶ
Δαίμον' ἀσκήσω κατ' ἐμὰν
Θεραπεύων μαχανάν.

Εἰ

187. Ἄλλοτε δ' ἀλλοῖαι πνοαὶ] ὥσπερ οὐχ οἱ αὐτοὶ ἄνεμοι, φησὶ, διαπαντὸς πνέουσιν, ἀλλ' ἄλλοτε ἄλλοι, ὕτω καὶ αἱ τύχαι τῶν ἀνθρώπων, οὐχ αἱ αὐταὶ παραμένουσιν, ἀλλ' ἄλλοτε μὲν εἰς κακὸν μεταβάλλουσιν, ἄλλοτε δὲ εἰς ἀγαθόν. Εὐριπίδης (Herc.Fur.101. ſ.)·

Κάμνουσι γάρ τοι καὶ βροτοῖς
αἱ συμφοραὶ,
Καὶ πνεύματ' ἀνέμων οὐκ ἀεὶ
βώμην ἔχει.

189. Ὄλβος δ' οὐκ ἐς μακρὸν] ἡ δὲ τῶν ἀνθρώπων εὐδαιμονία, οὐκ ἐς μακρὰν, φησὶ, παραγίνεται, ἀντὶ τοῦ, οὐκ ἐπὶ πολὺ παραμένει· ἐπειδὰν μάλιστα ἐπακολουθήσας, πολὺς ἐπιβαρήσῃ καὶ παραγένηται. καὶ Εὐριπίδης (Oreſt. 340.)·

Ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν
βροτοῖς.

191. Σμικρὸς ἐν σμικροῖς] τοιὸς ὕτως· ἐὰν σμικρὰ ἢ τὰ περὶ ἐμὲ, καὶ αὐτὸς ἐκ τῆς ἀνάγκης ἔσομαι σμικρὸς, ἐὰν δὲ μεγάλα, εἰκότως ἐπαρθήσομαι, καὶ μεγάλα φρονήσω. ἄτοπον δὲ καὶ ὕτω κατὰ Πίνδαρον τὴν ἀλαζονείαν δοκεῖν ταῖς τύχαις συσχηματίζεσθαι. ἔσιν ὃν ὃ λέγει τοιοῦτον· σμικροῖς συνὼν καὶ καταδεεστέροις ἐμοῦ σμικρὸν ἑαυτὸν ποιήσω συμμετρήσας ἐκείνοις, ἐν δὲ τοῖς μείζοσι πάλιν ὁ αὐτὸς τυγχάνων ἐξισωθήσομαι ἐκείνοις.

192. Τὸν δ' ἀμφέποντ' ἀεὶ δαίμον'] τὸν δὲ περιέχοντά με δαίμονα καὶ τὴν τύχην, οἵσω τῇ διανοίᾳ, καὶ θεραπεύσω αὐτὸν κατὰ τὴν ἐμαυτοῦ γνώμην. ἢ ὕτως· ἀεὶ τὸν περιέχοντά με δαίμονα ἀσκήσω καὶ θεραπεύσω ἐν ταῖς φρεσὶ, μικρὰ μὲν πράσσων ἐν μικροῖς· ἐν δὲ μεγάλοις μεγάλας ἐπιβολὰς λαμβάνων.

195. Εἰ

Εἰ δέ μοι πλῆτον Θεὸς ἄβρὸν ὀρέξαι,
Ἐλπίδ' ἔχω κλέος εὑ-
ρέσθαι κεν ὑψηλὸν πρόσω. —
Νέστορα καὶ Λύκιον
Σαρπηδόν', ἀνθρώπων φάτις,
Ἐξ ἐπέων κελαδεν-
νῶν, τέκτονες οἷα σοφοὶ
Ἄρμοσαν, γινώσκομεν. ἀ
Δ' ἀρετὰ κλεινα῀ις ἀοιδα῀ις
Χρονία τελέθει.
Παύροις δὲ πράξασθ' εὐμαρές.

195. Εἰ δέ μοι πλῆτον] αἰνίττεται εἰς τὸν Ἱέρωνα, προτρεπόμενος αὐτὸν ἀφειδῶς τοῖς ποιηταῖς χορηγεῖσθαι τὸν μισθὸν, ὥστε ἀνυμνεῖσθαι αὐτόν. ὁ δὲ νῦς· ἐὰν δέ μοι ὁ θεὸς πλῆτον ἀνθηρὸν καὶ εὐδαίμονα παράσχῃ, ἐλπίζω δόξαν εὑρεῖν ὑψηλοτάτην καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον.

198. Νέσορα καὶ Λύκιον Σαρπηδόν'] καὶ τὸν Νέσορά, φησι, καὶ τὸν Σαρπηδόνα διὰ τὰς ὕμνους τῶν ποιητῶν γινώσκομεν. τὸ δὲ ἑξῆς· Νέσορα καὶ Λύκιον Σαρπηδόνα ἀνθρώπων φάτις ἔχει ἐξ ἐπέων κελαδεινῶν, οἷα σοφοί τε καθήρμοσαν ἀνθρωπων. Ἀνθρώπων δὲ φάτις, περιφραστικῶς, ἡμεῖς δὲ οἱ ἄνθρωποι· ἢ προστίθεμεν τὸ ἴσασι, καὶ ἔξει τὴν ἀκολουθίαν· οὐκέτι δὲ ὑπερβάτῳ, ἀλλ' ἀκολούθως· ἢ λείπει τῷ λόγῳ τὸ ἔχει, ἵν' ᾖ, Νέσορα καὶ Λύκιον Σαρπηδόνα ἀνθρώπων φάτις ἔχει, καὶ ἐξ ἐπέων κελαδεινῶν αὐτὺς γινώσκομεν, οἷα σοφοὶ τέκτονες ἥρμοσαν ποιηταί.

202. Γινωσκομένα δ' (sic) ἀρετὰ] ἡ δὲ ἀρετὴ, ταῖς ἐπιδόξοις ἀρεταῖς γινωσκομένη, χρονία καὶ διηνεκὴς παραμένει. ἢ ὕτως· ἡ δὲ ἀρετὴ τῶν ἀνθρώπων ἐπὶ χρόνον παραμένει, ὕμνων τυχοῦσα. τὸ δὲ τοιοῦτον διαπράξασθαι, ὀλίγοις ῥᾴδιόν ἐτι καὶ εὐκατόρθωτον, τὸ πλουτεῖν δηλονότι καὶ ἐπαινεῖσθαι. προτρέπεται δὲ αὐτὸν δωρεῖσθαι τοῖς ποιηταῖς, ἵνα ὑμνηθῇ.

Περὶ

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τῆ τετάρτη τῶν Πυθίων εἴδης.

Τῆς τετάρτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων δεκατεσσάρων. Τὸ πρῶτον ὅμοιον τῷ (III, 1.)· ἤθελον Χείρωνα κε Φιλλυρίδαν. Τὸ δεύτερον ὅμοιον τῷ πρώτῳ. Τὸ τρίτον ἰαμβέλεγος. Τὸ τέταρτον ὅμοιον τῷ πρώτῳ καὶ δευτέρῳ. Τὸ πέμπτον δίμετρον ἰαμβικὸν ὑπερκατάληκτον. Τὸ ἕκτον δακτυλικὸν πενθημιμερές. Τὸ ἕβδομον δίμετρον Ἰωνικὸν ἀπ' ἐλάσσονος ἀνακλώμενον. Τὸ ὄγδοον δακτυλικὸν πενθημιμερές. Τὸ ἔννατον ὅμοιον τῷ· τίς σὰς παρῆειρε Φρένας. Τὸ δέκατον δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ἑνδέκατον δακτυλικὸν ἑφθημιμερές. Τὸ δωδέκατον Εὐριπίδειον. Τὸ τρισκαιδέκατον χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ τεσσαρεσκαιδέκατον δίμετρον τροχαϊκὸν ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδῆ αὐτῆ. Ἡ δὲ ἐπῳδὸς κώλων δεκατριῶν. Τὸ πρῶτον ὅμοιον τῷ· ἤθελον Χείρωνά κε Φιλλυρίδαν. Τὸ δεύτερον ὅμοιον τῷ· τίς σὰς παρῆειρε Φρένας. Τὸ τρίτον δακτυλικὸν πενθημιμερές. Τὸ τέταρτον ἰαμβέλεγος. Τὸ πέμπτον δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ἕκτον προσοδικὸν τρίμετρον καταληκτικόν. Τὸ ἕβδομον ὅμοιον τῷ· τίς σὰς παρῆειρε Φρένας. Τὸ ὄγδοον προσοδικόν. Τὸ ἔνατον ἰαμβέλεγος, τῆ πρώτῃ πενθημιμερεῖς λείποντος μιᾶ συλλαβῆ. Τὸ δέκατον ὅμοιον τῷ· τίς σὰς παρῆειρε Φρένας. Τὸ ἑνδέκατον τὸ αὐτό. Τὸ δωδέκατον ὅμοιον τῷ πρώτῳ. Τὸ τρισκαιδέκατον δίμετρον τροχαϊκὸν ἀκατάληκτον.

ARGV-

ARGVMENTVM QVARTI CARMINIS

Hodie te, Musa, pompae victoris Arcesilae regis Cyrenes cum hymno adesse oportet Pythone (1 — 5), vbi sacerdos iuxta vtramque aquilam sedens, Apolline non absente, vaticinata est, Battum relicta insula (Thera) conditurum vrbem in colle quodam in Africa, et decima septima generatione (inde ab Argonautarum aetate) impleturum esse oraculum Medeae, quae (iuxta insulam Theram, gleba in mari dilapsa) ad Argonautas ita est locuta (— 24): „audite, heroes; aio ex hac insula olim Epaphi filiam (Libyam) esse coloniam accepturam, quae vitae genere mutato continentem terram colet (— 32). Eueniet omen, Theram magnarum vrbium matrem fore, quod ad lacum Tritonidem (in Africa) Euphemus (auctor generis Batti) a deo humana facie induto (Tritone, qui Argonautis sub specie Eurypyli apparuit) accepit, qui (Triton) nobis glebam porrexit, fulmine addicente, naui in mare immissa. Duodecim dies eam meo consilio per deserta Africae (vsque ad paludem Tritonidem) portaueramus; tum deus veneranda specie apparuit, et amica dixit verba, velut qui hospites ad coenam inuitat; nos vero reditus cogitatio non patiebatur morari (— 57). Sum Eurypylus, inquit, Neptuni filius. Sensit vero nos properare. Itaque statim hospitalis doni loco terram porrexit. Non recusauit Euphemus, sed portendentem futura glebam

 accepit

accepit (— 67). Eam audio, quanquam ſeruos cuſtodire eam ſaepe iuſſeram, iuxta hanc inſulam in mare eſſe delapſam, Libyae ſemen (qua portenditur, Libyam hinc colonos habituram eſſe), ante tempus (iuſto maturius). Si enim Euphemus, Neptuni et Europae filius, eam glebam domum, ad Taenarum, detuliſſet, ipſius poſteritas cum Danais quarta generatione, vbi his ex Peloponneſo abeundum fuerit (tempore reditus Heraclidarum), Africam occupaſſet (— 87). Nunc vero Euphemus ex peregrina muliere procreabit genus, quod in hanc inſulam deuectum, gignet Battum, quem Phoebus iubebit coloniam nauibus deducere in Aegyptum (Libyam)." Obſtupuerunt Argonautae ad hoc oraculum (— 103). Beate Polymneſti fili (Batte), te ter ſalutatum Pythia vates regem Cyrenes edixit, cum de lingua impedita eam conſuleres. Octauus ab eo floret Arceſilas, Pythicus victor. Ego ipſum et aureum vellus canam (— 121), (ſequitur epiſodion de Argonautarum expeditione vſque ad v. 450), quod cum peterent Minyae, gloriam ſibi compararunt. Quod igitur expeditionis initium, quae cauſa fuit (— 127)? Fatale erat, Peliam per Aeolidas perire, et Delphicum oraculum eum iuſſerat ſibi cauere ab homine, qui Iolcum veniſſet, vno calceo indutus. Diu poſt venit vir duabus haſtis, duplici veſte, et crinibus per tergum fuſis inſignis, atque in foro conſtitit; tum homines: „eſtne hic Apollo, vel Mars? nam Otus et Ephialtes, atque Tityus (gigantes) iam mortui ſunt (— 166)." Superuenit Pelias, obſtupefactus cum in ſolo dextro hominis pede calceum conſpiceret. Sed timore

diſſi-

dissimulato interrogauit peregrinum de patria et genere (— 178). Ille confidenter respondit: „Chironis alumnus sum, et ex eius antro, viginti annos natus, domum redeo, patrium regnum, quod Pelias parentibus eripuit, repetiturus, qui tyranni metu me periisse simularunt, sed Chironi educandum miserunt. Itaque, ciues, monstrate aedes paternas. Aesonis enim filius, Iason appellatus, non veni in peregrinam terram (— 212)." Aeson agnouit filium, et lacrimae ei obortae sunt. Fratres quoque (Aesonis) venerunt, Pheres, Amythaon, Admetus, Melampus, quos epulis, sermonibus et donis exhilarauit Iason per quinque noctes atque dies. Sexta iis consilium exposuit suum, et statim ab epulis in Peliae palatium abierunt, qui ipsis occurrit. Tum placide et prudenter ita dicere Iason coepit (— 245): „homines quidem propensi sunt ad lucrum iustitiae praeferendum, quamquam hoc periculosum est; at me atque te decet legitime agere. Sumus consanguinei, quos non conuenit bello partiri patrimonium. Tibi greges atque agros concedam. Redde mihi regnum, quod Aeson olim habuit, ne mali quid eueniat (— 276)." Tum Pelias: „Faciam; at ego senex sum, tu flores iuuentute potesque inferorum iram placare. Nam Phrixus animam suam placari, et vellus arietis, quo seruatus est, e Colchis repeti vult. Hoc somnium mihi indicauit, et Delphicum oraculum me quam primum expeditionem iussit suscipere. Tu eam perfice, et per gentilitium Iouem iuro, me regnum tibi esse redditurum." Pactis initis discesserunt (— 300). Iason per praecones vbique nunciari expeditionem

iussit. Statim adfuerunt Hercules, Dioscuri, Euphemus et Periclymenus, Orpheus, Echion atque Erytus, heroes circa Pangaeum habitantes, Zetes et Calais, Boreae filii. Iuno omnibus cupiditatem huius expeditionis inspirauit (— 333). Iolci congregatos iuuenes Iason recensuit, Mopsus, vates, nauem conscendere iussit. Solutis ancoris, Iason libauit in puppi, et vota fecit. Tonitrua et fulmina fausta animos iis indiderunt et spem. Correptis remis et continuo labore ad ostium maris Axini pervenerunt, vbi Neptuno templum exstruxerunt (aderant taurorum Thraciorum greges), et aram. Marinum vero deum supplices rogarunt, vt effugerent Symplegadas. Viuae enim illae rupes celerrime mouebantur, sed Argonautarum nauigatio mortem iis attulit (constiterunt rupes) (— 376). Tum Phasin ingressi ad Colchos venerunt. Venus autem tum primum philtra adhibere docuit ad Medeam Iasonis amore irretiendam. Medea igitur ostendit Iasoni rationem laborum subeundorum, deditque ei remedia, et ipsi inter se nuptias pacti sunt (— 397). Aeetes vero adamantino aratro in medio posito, bobusque ignem spirantibus iugo admotis, sulcum rectum longumque duxit, et, hoc, ait, opus perficiat dux Argonautarum, tum vellus aureum auferat. Iason, veste deposita, opus adortus est, nec flamma laesus boues egit, absoluit arationem, Aeeta ingemiscente, et admirante, sociis plaudentibus (— 428). Tum solis filius ostendit locum, vbi vellus suspensum erat, non ratus huic labori parem fore Iasonem. Nam in saltu illud custodiebatur ab ingente dracone (— 438). Possim

longior

longior esse, sed paucis euentum comprehendam. Iason draconem interfecit, abduxitque Medeam, quae Peliam necauit. Argonautae per Oceanum ad Lemnias mulieres venerunt, quae maritos occiderant, vbi luctandi specimen ediderunt, et cum mulieribus rem habuerunt. In peregrina terra vestrae felicitatis (o Battiadae) fundamenta iacta sunt. Tum enim Euphemi genus fatum est, quod postea Spartam, inde in insulam Calliſtam (Theram) transiit, hinc Apollo vos Libyae atque Cyrenae imperare iussit (— 466). Oedipodea sapientia iam vtere (in apologo intelligendo). Ilici, vel ramis et frondibus amputatis, sua manet natura, cuius, siue igni cremetur, siue in trabem doletur, specimen dat (— 479). Tu opportunus es medicus, Paeane fauente. Molli manu est vulnus tractandum. Imbecilliores etiam ciuitatem facile conturbant, verum eam iterum componere, difficile est, nisi deus adfuerit imperantibus. Tu et hac laude ornaberis (— 490). Omne studium felici Cyrenae impende. Reputa Homeri dictum: prudentem nuncium dixit cuiuis negotio ornamentum afferre. Musa (poeta) etiam recto nuncio (intercessione) ornatur. Cyrene et Batti domus nouit probitatem Damophili, qui robore iuuenili et prudentia senili eminuit (— 503). Ad silentium ille redigit calumniatores, insolentem odit, bonis nunquam aduersatur, in nulla re cunctatur. Breui enim elabitur occasio rerum agendarum, ipse eam prudenter sectatur. Molestissimum est nosse bona, sed iis carere cogi. Damophilus, vt Atlas cum coelo, exul luctatur cum aerumnis. Iupiter etiam Titanas soluit, et vela

ventis ceſſantibus mutantur (itaque tu etiam Damophili ſortem poteris mutare). Optat ille, exilio liberatus, patriam reuiſere, et ad Apollinis fontem (iuxta Cyrenen) feſta celebrare, et inter ſapientes ciues citharam pulſare, nec ipſe cuiquam nocens, nec ab aliis damna paſſus. Tum vero narrabit, qualem nouum fontem carminum in Arceſilam aperuerit Thebis (Pindaro — 533).

ΕΙΔΟΣ δ'.

ΑΡΚΕΣΙΛΑΪΩι ΚΥΡΗΝΑΙΩι

ΑΡΜΑΤΙ.

Σ. ά. Κ. ιδ'

Σάμερον μὲν χρὴ σε παρ' ἀνδρὶ φίλῳ
F 4 Σταμεν

Ἀρκεσιλάῳ Κυρηναίῳ ἅρματι] γέγραπται μὲν ἡ ᾠδὴ Ἀρκεσιλάῳ Πολυμνήστε παιδὶ, Κυρηναίῳ τὸ γένος τῆς Λιβύης, νικήσαντι τὴν τριακοστὴν πρώτην Πυθιάδα· ἔνιοι καὶ τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα· ἀλλ' οὐκ ἔγραψεν εἰς τὴν Ὀλυμπιακὴν αὐτῷ νίκην, καίτοι μετὰ τὴν Πυθικὴν γενομένην, ἀλλ' εἰς τὰ Πύθια μόνον. γράφει δὲ εἰς ταύτην καὶ ἑτέραν αὐτῷ νίκην ἐφεξῆς, ἥτις καὶ οἰκειοτέρα ἐστὶ κατὰ τὰ νοήματα καὶ κατὰ τὴν οἰκονομίαν ἐπίνικος. ἡ γὰρ δὴ προκειμένη ᾠδὴ ἱστορικὴν ἔχει παρέκβασιν. τὰ γὰρ ἐπὶ Κυρήνης κτίσεως καὶ τῶν ἐν αὐτῇ ταραχῶν περιέχει, καὶ ὡς Ἀρκεσίλαος τὰς μὲν ἀνεῖλε, τὰς δὲ ἐφυγάδευσεν, ἐν οἷς τις ἦν καὶ Δαμόφιλος, ὃς ἐκπεσὼν τῆς πατρίδος ἦλθεν εἰς Θήβας, ὑπὲρ ἣ φαίνεται ὁ Πίνδαρος παρακαλῶν καὶ βηλόμενος αὐτὸν διαλλάξαι, καὶ ἀξιῶν τὴν Μῶσαν παρασῆναι τῷ Ἀρκεσιλάῳ, καθ' ἣν ἡμέραν διακέκριται τὸν ἐπίνικον. ἡ γὰρ προσκαλεῖται αὐτῷ γράφων παρασῆναι τὴν μῶσαν· ἡ γὰρ ἂν διωρίσατο ἐν μιᾷ ἡμέρᾳ γράψαι τὸν ὕμνον. Ἄλλως. ταύτην ἔγραψεν Ἀρκεσιλάῳ, τῷ Κυρηναίων βασιλεῖ, νικήσαντι τὴν τριακοστὴν πρώτην Πυθιάδα, ὃς γέγονεν ἀπὸ τῆ πρώτη Βάττη. Κυρήνης γὰρ πρῶτος ἐβασίλευσε Βάττος ὁ Πολυμνήστε, ὁ καὶ τὴν ἀποικίαν ἐκ Θήρας εἰς Λιβύην ἀπαγαγὼν καὶ Κυρήνην οἰκίσας, ὃς διάδοχον τῆς ἀρχῆς κατέλιπεν υἱὸν Ἀρκεσίλαον. παρὰ δὲ τούτε παρέλαβε τὴν βασιλείαν Βάττος, ὁ ἐπικληθεὶς εὐδαίμων· τῷ δὲ Βάττε ἄλλος γίνεται Ἀρκεσίλαος, καὶ οὕτω παῖς παρὰ πατρὸς τὴν δυναστείαν παρέλαβε, καὶ τέσσαρες μὲν Βάττοι, τέσσαρες δὲ Ἀρκεσίλαοι ἐγένοντο. πέμπτος δέ ἐστιν Ἀρκεσίλαος, φερετίμης υἱὸς, ὡς Ἡρόδοτος μνημονεύει. ὁ δὲ τελευταῖος οὗτος Ἀρκεσίλαος δολοφονηθεὶς ὑπὸ Κυρηναίων ἀπέβαλε τῶν Βαττιαδῶν τὴν ἀρχὴν, ἔτη διακόσια διαμείνασαν. Ἡρόδοτος μὲν οὖν φησὶν

(Hist.

Στάμεν, εὐίππᾳ βασιλῆϊ Κυρά-
νας ὄφρα κωμάζοντι σὺν Ἀρκεσίλᾳ,
Μοῖσα, Λατοίδαισιν ὀφειλόμενον
Πυθῶνί τ' αὐξῆς οὖρον ὕμνων.

Ἔνθα

(Hist. IV, 155.), ὅτι ἡ Πυθία τὸν πρῶτον Βάττον ὧδε προσηγόρευσεν, Ἀριστοτέλην πρότερον λεγόμενον, τῇ Λιβύων φωνῇ. Λίβυες γὰρ Βάττης τὺς βασιλέας φασίν. οἱ δὲ, ὅτι ἰσχνόφωνος ἦν, καὶ περὶ τῆς φωνῆς πυθανόμενον ἡ Πυθία Βάττον προσηγόρευσεν, ἐπεὶ καὶ τὸ ἐπέχεσθαι τὴν γλῶτταν βατταρίζειν φαμέν. ἔνιοι δὲ Κόκκυγα αὐτὸν καλεῖσθαι, διὰ τὸ μὴ γεγωνῶς φθέγγεσθαι. ὁ δὲ Ἀκέσανδρος μὴ ἐκ γενετῆς αὐτόν φησιν ἰσχνόφωνον γεγενῆσθαι, ἀλλ' ἀπὸ ταυτομάτου δεθῆναι τὴν γλῶτταν. ἦν δὲ ὁ ἀνὴρ ῥητορικός, φασιν καὶ συμβουλεύσασθαι δυνάμενος. Ἄλλως. τάττεται ἡ ὠδὴ εἰς τὺς ἐπινίκους, μεῖζόν τι ἢ κατὰ ἐπίνικον ὕδασα διὰ τὸ μεμυκύσθαι καὶ πραγμάτων ἔχειν ἀφήγησιν ἐντοπίων, τὸ δὲ ἀνωτάτω, καταλλαγὴν φυγάδος Δαμοφίλου τινος.

1. Σάμεν μὲν χρή σε] διαλέγεται δὲ ὁ Πίνδαρος πρὸς τὴν Μοῦσαν, καὶ παραινεῖ αὐτῇ σήμερον παραστῆναι τῷ Ἀρκεσιλάῳ, εἰς ἐκείνην τὴν ἡμέραν ἀναφέρων τὸν λόγον, ἐν ᾗ ἔμελλε δέξασθαι τὸν ἐπίνικον ὁ Ἀρκεσίλαος. ἐὰ γὰρ, εἰ ἐννυμφίᾳ, λόγῳ χάριν, ἐγράφη, ἐκείνῃ ὑπετάσσετο τῇ ἡμέρᾳ καὶ παρὰ τῷ Ἀρκεσιλάῳ ἔσεσθαι, ἀλλ' ὃ ἔμελλεν ἔσεσθαι, τοῦτο ὡς ἐπὶ τῷ καιρῷ καὶ ἐνεστηκότος εἶπε. τὴν δὲ Κυρήνην εὔιππον εἶπεν, οὐκ ἐκ τοῦ παρατυχόντος, ἀλλ', ὅτι Ποσειδῶν τὺς Λίβυας διδάξειε τὴν τῶν ἁρμάτων κατάζευξιν. καὶ τὴν ἱππείαν δὲ Ἀθηνᾶν ἐν Λιβύῃ γενέσθαι φασί. τινὲς δὲ, ὡς ὅτι ἡ ἱππικὴ ἐν τῇ Λιβύῃ εὑρέθη. ἡ δὲ διάνοια· σήμερον μὲν προσήκει σε παραστῆναι καὶ τῷ προσηνεστάτῳ ἀνδρὶ καὶ βασιλεῖ τῆς εὐίππου Κυρήνης, ὅπως ἄν, ὦ μοῦσα, σὺν τῷ Ἀρκεσιλάῳ κώμους ἄγοντι καὶ χορεύοντι ἐπὶ τῇ νίκῃ, τοῖς τε Λητοῦς παισὶ καὶ τῇ Πυθῶνι τὸν ὀφειλόμενον ὕμνον αὐξήσῃς καὶ ἀποδῷς τὸν ὕμνων ὕρον.

4. Λατοίδαισιν ὀφειλόμενον] ἤτοι τοῖς Ἀπόλλωνός, φησιν, ἢ τῷ Ἀπόλλωνι μόνῳ, ὥστε τὸ πληθυντικὸν ἀπὸ τοῦ ἑνικοῦ ἐξενεχθῆναι, ὅπερ καὶ βέλτιον, τῷ αἰτίῳ τῆς νίκης ὀφείλεσθαι τὸν ὕμνον καὶ τῷ τόπῳ, ὅπερ ὁ ἀγὼν ἐπώνυμος. δύνατον δὲ καὶ τὺς Κυρηναίους νοεῖσθαι, διὰ τὸ Ἀπόλλωνος καὶ Κυρήνης τὸν Ἀρισταῖον γενέσθαι, ὃν παρὰ Κυρηναίοις ὡς οἰκιστὴν διὰ τιμῆς ἄγεσθαι. δύνατοι δὲ καὶ τὺς Δελφοὺς λέγειν. ἑτέρωθι γὰρ Ἀπολλωνίδας αὐτοὺς προσηγόρευσεν (Fragm. p. 103.)· Δελφοὶ θεμιστῶν ὕμνων μάντιες Ἀπολλωνίδαι.

6. Ἔνθα

Ἔνθα ποτὲ χρυσέων
Διὸς ὀρνίχων πάρεδρος,
Οὐκ ἀποδάμιος Ἀπόλ-
λωνος τυχόντος, ἱερεία
Χρῆσεν οἰκιστῆρα Βάττον

F 5 Καρπο-

6. Ἔνθα ποτὲ χρυσέων Διὸς αἰετῶν (sic) πάρεδρος] λόγος τὶς τοιῶτος περιηχεῖ, ὅτι ὁ Ζεὺς τὸ μεσαίτατον τῆς οἰκουμένης καταμετρήσασθαι βουληθεὶς, ἴσας κατὰ τὸ τάχος ἀετὸὺς ἐκ δύσεως καὶ ἀνατολῆς ἀφῆκεν· οἱ δὲ διϊπτάμενοι συνέπεσον ἀλλήλοις κατὰ τὴν Πυθῶνα, ὥστε τὴν σύμπτωσιν ὁρίζειν αὐτόθι τῆς ὅλης οἰκουμένης τὸ μεσαίτατον. ὕστερον δὲ σημεῖον τῦ γεγονότος καὶ χρυσοῦς ἀετοὺς κατασκευάσας ἀνέθηκε, τῷ τε θεῷ τεμένει, ὧν, φασιν, αἱ εἰκόνες ἠρθησαν ἐν τῷ φωκικῷ πολέμῳ, ὃν Εὔμηλος συνεγράψατο. ὁ δὲ νῦς· ὅτε ποτὲ ἡ τῶν χρυσῶν τῦ Διὸς ἀετῶν πάρεδρος καὶ ἱέρεια τῦ Ἀπόλλωνος Πυθία, ὑπ' ἀποδημοῦντος τῦ θεῦ, ἀλλὰ παρόντος, ἐχρησμῴδησε, συνοικισὴν γενέσθαι τῆς Λιβύης τὸν Βάττον, ὅπως ἂν τὴν ἱερὰν νῆσον Θήραν καταλιπὼν ὁ Βάττος κτίσῃ τὴν εὐάρματον καὶ ἱππικωτάτην πόλιν, ἐν τῷ τροφιμωτάτῳ καὶ ἄκρῳ μέρει τῆς Λιβύης, καὶ τὸ τῆς Μηδείας ἔπος ἀνασώσῃ τὸ περὶ τῆς Θήρας, ὅτι δὴ ἑπτακαιδεκάτῃ γενεᾷ ἀποικία ἔσῃ ἐκ Θήρας εἰς Λιβύην, ὅπερ δὴ ἔπος, ἡ τῦ Αἰήτῃ παῖς ὀργίλος Μήδεια, ἐκ τῦ ἀθανάτῳ ἀπεφθέγξατο σώματος ἡ τῶν Κόλχων βασιλίς.

8. Οὐκ ἀποδάμιος Ἀπόλλωνος] διὰ τῆτων ἐμφαίνει τῶν ῥηθέντων τὸ ἀσφαλές. τότε γὰρ ἡ Πυθία μάλιστα ἀκριβέστερον χρησμῳδεῖ, ὅτε πάρεστι τῷ μαντείῳ ὁ θεός.

9. Ἱέρεια] τὸ ἱέρεια προπαροξυτόνως τονιστέον. ἔστι γὰρ κατὰ ἀποβολὴν τῦ ι'. ἡ γὰρ κατὰ Ἀττικὴς ἱέρεια ἡ ἱέρεια λεγέτω. Ὅμηρος γῦν φησι (Iliad. VI, 300.)·

Τὴν γὰρ Τρῶες ἔθηκαν Ἀθηναίης ἱέρειαν,
συτείλας τὴν τελευταίαν.

10. Οἰκιστῆρα Βάττον] λείπει τὸ ἔσεσθαι. περὶ τῆς τῦ Βάττυ εἰς τὸ μαντεῖον ἀφίξεως ἐκ ὁμολογῦσιν ἀλλήλοις οἱ συγγραφεῖς. οἱ μὲν γὰρ ἕνεκεν τῆς φωνῆς φασὶν αὐτὸν ἐλθεῖν, καὶ τὸν χρησμὸν ἅπαξ τε καὶ κάτω ἐπιῤῥυλλῦσι (Herod. IV, 155.)·

Βάττ', ἐπὶ φωνὴν ἦλθες· ἄναξ
δέ σε Φοῖβος Ἀπόλλων
Ἐς Λιβύην πέμπει μηλοτρόφον
οἰκιστῆρα.

οἱ δὲ τάσεως προσπεσῦσης πολιτικῆς. ὁ δὲ Μενεκλῆς πιθανωτέραν δοκεῖν φησι τὴν τάσεως αἰτίαν, μυθικωτέραν δὲ τὴν περὶ τῆς φωνῆς. φησὶ δὲ, ὅτι οἱ πολῖται ἐν τῇ Θήρᾳ ἐτάσιασαν καὶ διέστησαν ἀλλήλων. ἡγεῖτο δὲ τῆς ἑτέρας τῶν τάσεων ὁ Βάττος. διαγωνισαμένων δὲ τῶν τάσεων, τὰς

Καρποφόρᾳ Λιβύας, ἱερὰν
Νᾶσον ὡς ἤδη λιπὼν
Κτίσσειεν εὐάρματον
Πόλιν ἐν ἀργινόεντι μαστῷ,

Α. α'. Κ. ιδ'.

Καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι-
Θ' ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ

Θήραιον

τὴς τῦ Βάττυ συνέβη ἐκπεσεῖν τῆς πόλεως καὶ φυγεῖν τὴν χώραν, ἀπογινώσκοντας δὲ τὴν εἰς πατρίδα κάθοδον περὶ ἀποικίας βυλεύεσθαι. ἀποδημήσας δὲ εἰς Δελφὺς Βάττος ἠρώτα περὶ τῆς πάσεως, πότερον διαγωνίσονται περὶ τῆς εἰς τὴν πατρίδα ἐπαναστροφῆς ἢ ἑτέρωσέ ποι ἀποικίαν στείλονται. τὸν δὲ Θεὸν χρῆσαι·

Βάττε πρόσθε κακὸν, τὸ δὲ δεύτερον ἐσθλὸν ἐρεύνα·
Ἔρχεο, λεῖφ' ἁλίαν χώραν· ἤπειρος ἀμείνων
Ἠῶος. πρότερον δόλον ἔκβαλε πείθεϊ πείθων.
Στερφὸν γῆν ὁσίως, ἣν μισεῖ πολλὴν ἀθεμίστως.
Οἷά τ' ἀνὴρ ἔρξει, τοῖον τέλος αὐτὸν ἱκάνει.

11. Ἱερὰν νᾶσον] ἱερὰν εἶπε τὴν Θήραν, ἤτοι διὰ τὸ περὶ τὴν γῆν ἰδίωμα· κισσηρώδης γὰρ ἅπασα πολύφορός ἐστι καὶ πολύκαρπος, ἢ ὅτι Κάδμος ἐπιβαλὼν, καὶ τὴν νῆσον οἰκίσας βωμὸν ἱδρύσατο Ποσειδῶνος καὶ Ἀθηνᾶς. Ἱερωκλῆς δέ φησι, τὰς ἐκ Λακεδαίμονος ἀποικίσαντας Ἀπόλλωνι αὐτὴν ἀνιερῶσαι. ἐγχωρεῖ δὲ καὶ κόσμῳ χάριν ἐγκεῖσθαι τὸ ἐπίθετον. ἢ ἱερὰν νῆσον αὐτὴν οὐχ ἁπλῶς ὀνομάζει, ἀλλ' ὅτι Κάδμος κατὰ ζήτησιν Εὐρώπης τῆς ἀδελφῆς στελλόμενος, προσορμισθεὶς τῇ νήσῳ, ἀνέκτισε Ποσειδῶνος καὶ Ἀθηνᾶς ἱερὸν αὐτόθι, ὡς ἱστορεῖ Θεόφραστος.

14. Ἀργινόεντι μαστῷ] Ἀρίσταρχος μὲν τὸ Ὁμηρικὸν (Il. IX, 141.) Οὔθαρ ἀρούρης, παράγειν αὐτόν φησι πιθανῶς, ὑπαλλαξάμενον τὸν μαστόν· Ἱερωκλῆς δέ φησι κεῖσθαι τὴν πόλιν ἐπὶ λόφῳ μαστοειδεῖ λευκογείῳ. μᾶλλον δὲ ἀπὸ τῆς εὐτροφίας, ὡς Ἀρίσταρχος· καὶ γὰρ ὁ ἀργινόεις συνάδει τούτῳ μᾶλλον, ἀπὸ τῦ γάλακτος.

15. Καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι] ἀντὶ τῦ ἀνακομίσειεν, ἐπιμελείας ἀξιώσειεν. ἔχει δὲ ἡ ἱστορία ὕτως· ἡνίκα εἰς τὴν Σύρτιν ἐμπεσόντες οἱ Ἀργοναῦται, ἔφερον διὰ Λιβύης ἐπ' ὤμων τὴν Ἀργώ, εἶτα καθῆκαν εἰς τὴν θάλασσαν, συντυχόντες Εὐρυπύλῳ τῷ τῦ Ποσειδῶνος παιδὶ, καὶ ἐπειγόμενοι πρὸς τὸν πλῦν, ἐδέξαντο ξένια τὰ παρατυχόντα. ἐκεῖνος γὰρ βῶλον ἀπὸ τῆς γῆς λαβὼν ἔδωκεν·

Θήραιον, Λίητα τό ποτε ζαμενὴς
Παῖς ἀπέπνευσ' ἀθανάτᾳ στόματος,
Δέσποινα Κόλχων. — εἶπε δ' ὅτως
'Ημιθέοισιν Ἰά-
σονος αἰχματᾶο ναύταις·
„Κέκλυτε, παῖδες ὑπερ-
θύμων τε φωτῶν καὶ Θεῶν·
Φαμὶ γὰρ τᾶςδ' ἐξ ἁλιπλά-
κτᾳ

ἔδωκεν· ὁ δὲ Εὔφημος ἐδέξατο· εἶτα πρὸς τῇ Θήρᾳ ὑπερκλύσαντος τὸ κύματος, καὶ διαλυθείσης τῆς βώλου, ἐμαντεύσατο ἡ Μήδεια, ἐν τῇ Θήρᾳ ὄντων αὐτῶν, τὰς ἀπ' Εὐφήμου ἑπτακαιδεκάτῃ γενεᾷ ἀποικίαν στέλλεσθαι ἐκ Θήρας εἰς Λιβύην. ὁ δὲ Εὔφημος παῖς Ποσειδῶνος ἦν καὶ Μηκιονίκης, τῆς Εὐρώτα θυγατρὸς, ὃς ἔγημε θυγατέρα Ἀλκμήνης Λαονόμην, ἀφ' ἧς ἑπτακαιδέκατος ὢν ὁ Βάττος ὁ καὶ Ἀριστοτέλης, ἀποικίαν ἐς Λιβύην ἐστέλλατο. κατὰ τὴν μαντείαν δὲ τῆς Μηδείας ἑπτακαιδέκατος ὢν ὁ Βάττος ἐδυσύχησε τὴν φωνὴν, καὶ ἐκ Θεοῦ, τίς λύσις εἴη, ἀνερωτῶντι αὐτῷ, ἀνείλετο ὅτω·

Βάττ', ἐπὶ φωνὴν ἦλθες· ἄναξ
δέ σε φοίβος Ἀπόλλων
Εἰς Λιβύην πέμπει μηλοτρόφον
οἰκιστῆρα.

τὸ δὲ σημεῖον, ὅτι ἑπτακαιδεκάτῃ γενεᾷ ἀπὸ τῶν Ἀργοναυτῶν φησὶ γενομένην ἐκ τῶν Λημνιαδῶν, οἰκίσαι τὴν πρότερον Καλλίστην, ὕστερον δὲ Θήραν. Θήραιον δὲ, τὸ περὶ τῆς Θήρας λεχθὲν, ἢ τὸ ἐν Θήρᾳ εἰρημένον. ἐκεῖ γὰρ ὁ λόγος τῆς Μηδείας καὶ τὸ μάντευμα ἐρρήθη.

17. Ζαμενὴς] ζαμενὴς, ἡ ἄγαν ὀργίλος. τὸ δὲ ἐπίθετον ἐκ τῆς ἱστορίας, ὅτι ὑπέμεινε τὰς ἑαυτῆς παῖδας ἀποσφάξαι καὶ τὸν ἀδελφὸν Ἄψυρτον.

18. Ἀθανάτᾳ τόματος] ἀθάνατον τόμα τὸ Μηδείας εἶπεν, ὡς μὲν Χαῖρις ἐκ μέρους, τὴν ἀθάνατον, ἐπεὶ καὶ Ἡσίοδος ἐν τῇ Θεογονίᾳ (960.) ἀθάνατον αὐτὴν φησιν· ὡς δὲ Ἀσκληπιάδης, ὅτι οὐδὲν τῶν ῥηθέντων ὑπ' αὐτῆς ἀτελὲς γέγονεν, οὐδὲ ἐφθάρη.

22. Κέκλυτε] ἐπακούσατε, ὦ μεγαλοψύχων τε ἀνδρῶν καὶ θεῶν παῖδες.

24. Φαμὶ γὰρ τᾶςδ' ἐξ ἁλιπλάγκτᾳ (sic) γᾶς] τῆς Θήρας φησὶν, ἤγουν ὅτι ἐνάλιος ὖσα πλήττεται ὑπὸ τῶν κυμάτων, ἡ τῆς βώλου τῆς διαλυθείσης ὑπερκλύσαντος τὸ κύματος τὴν ναῦν. ὁ δὲ νῆς· φημὶ γὰρ ἐκ ταύτης τῆς γῆς, τῆς Ἐπάφου, κόρην Λιβύην τῶν πολιτῶν τὴν ῥίζαν καὶ καταβολὴν φυτεῦσαι καὶ σπεῖραι, τὴν τοῖς ἀνθρώποις ἐν ἐπιμελείᾳ ὖσαν, ἐν τοῖς

κτε ποτὲ γᾶς Ἐπάφοιο κόραν
Ἀστέων ῥίζαν φυτεύ-
σεσθαι μελησίμβροτον
Διὸς ἐν Ἄμμωνος θεμέθλοις.

Ε. ά. Κ. ιγ΄.

Ἀντὶ δελφίνων δ' ἐλαχυπτερύγων
Ἵππες ἀμείψαντες θοὰς,
Ἀνία τ' ἀντ' ἐρετμῶν
Δίφρος τε νωμάσοισιν ἀελλόποδας.

Κεῖνος

τοῖς τῦ Ἄμμωνος θεμέθλοις, τυτέστιν ἐν τῇ Λιβύῃ.

25. Ἐπάφοιο κόραν] τὴν Λιβύην φησὶ τὴν ἡρωΐδα, ἀφ' ἧς καὶ ἡ χώρα ὁμώνυμος. Ἐπάφυ γὰρ τῦ Διὸς καὶ Ἰοῦς τῆς Ἰνάχυ (ὁμώνυμος) Λιβύη, ἧς καὶ Ποσειδῶνος, Βήλος. εἰώθασι δὲ ὅτοι συμπλέκειν τὰ τῶν χωρῶν, ἢ τῶν πόλεων, καὶ τὰ τῶν ἡρωΐδων ὀνόματα διακοινοποιῦντες, οἷον (Fragm. Pind. p. 103.) Εὐάρματε χρυσοχίτων, ἱερώτατον ἄγαλμα Θήβα. τὸ μὲν γὰρ εὐάρματε τῆς πόλεως, τὸ δὲ χρυσοχίτων, τῆς ἡρωΐδος.

26. Ἀστέων ῥίζαν] τὴν Κυρήνην φησίν. ἐξ αὐτῆς γὰρ καὶ Ἀπολλωνία καὶ Τεύχειρα ἐκτίσθησαν. Μελησίμβροτόν δέ φησι, τὴν διὰ φροντίδος ὖσαν πολλοῖς. βύλεται δὲ λέγειν, ὅτι ἐκ τῆς Θήρας ἡ Λιβύη μεταφυτευθήσεται, πόλεων ῥίζα.

28. Διὸς ἐν Ἄμμωνος] Ἄμμωνα Λίβυες τὸν Δία προσαγορεύουσι καὶ ὕτω τιμῶσι. καί ἐστιν αὐτῦ μαντεῖον ἐν Λιβύῃ· καὶ γὰρ καὶ Φαῖσος ἐν Λακεδαιμονικοῖς ἐπιβάλλων φησί·

Ζεὺς Λιβύης Ἄμμων κερατη-
φόρε κέκλυθι μάντι.

ἐνταῦθα δὲ πῶς τὴν Κυρήνην τῦ μαντείυ πλησίον εἶναί φησιν; ἀπέχει γὰρ ἱκανοῖς σταδίοις· ἀλλὰ ῥητέον, ὅτι πᾶσα ἡ χώρα ἀφιέρωται τῷ θεῷ.

29. Ἐλαχυπτερύγων] τὸ ἐλαχὺ πρὸς σύγκρισιν τῶν ὀρνέων· ἀντὶ δὲ νησιωτῶν καὶ θαλασσίων ἔργων ἠπειρωτικὰ καὶ ἱππικὰ μεταλήψονται. ὃ δὲ λόγος, ὅτι νησιῶται ὄντες οἱ Θηραῖοι ἠπειρῶται γενήσονται. ὁ δὲ νῦς· ἀντὶ δὲ τῶν μικροπτερύγων δελφίνων ἵππες μεταλήψονται, καὶ ἡνία ἀντὶ κωπῶν, καὶ δίφρος κινήσασι κατὰ τὸν δρόμον. πτέρυγας δὲ τῶν δελφίνων τὰς ἀκάνθας φησὶ, τὰς ἑκατέρωθεν τῶν βραγχίων, αἷς καὶ διανήχονται καὶ διίπτανται ὥσπερ οἱ ἰχθύες. ἀελλόποδας δὲ ἀπὸ τῶν ἑλκόντων τὰς δίφρυς εἴρηκεν.

33. Κεῖνος

Κεῖνος ὄρνις ἐκτελευτά-
σει, μεγάλαν πολίων ματρόπολιν
Θήραν γενέσθαι, τόν ποτε
Τριτωνίδος ἐν προχοαῖς
Λίμνας Θεῶ ἀνέρι εἰδομένω
Γαῖαν διδόντι ξείνια
Πρώραθεν Εὔφαμος καταβὰς
Δέξατ'· — αἴσιον δ' ἐπί οἱ Κρονίων
Ζεὺς πατὴρ ἔκλαγξε βροντάν· —

Σ. β'. Κ. ιδ'.

Ἀνίκ' ἄγκυραν ποτὶ χαλκόγενυν

Ναῖ

33. Κεῖνος ὄρνις] ἐκεῖνο τὸ σύμβολον, ἐκεῖνος ὁ οἰωνὸς, τετέχνη ἡ βῶλος (τὸ γὰρ ὄρνεον ἐπὶ τῆς βώλου λαμβάνουσι·) παρασκευάσει τῶν μεγίστων πόλεων μητρόπολιν γενέσθαι τὴν Θήραν. ἀπὸ γὰρ ταύτης ἡ Κυρήνη ἀνακτίζεται.

35. Τόν ποτε Τριτωνίδος] Τρίτων ποταμὸς Λιβύης, ἐν ᾧ ἡ Ἀθηνᾶ ἐγεννήθη, ἀφ' ὃ καὶ Τριτογένεια ὀνομάζεται. Ἄλλως. Τριτωνίδος λίμνης ὕτω καλουμένης περὶ τὴν Λιβύην, καθ' ἣν συντρέχοντες τῷ Εὐρυπύλῳ οἱ Ἀργοναῦται τὴν βῶλον ἐδέξαντο. ὁ δὲ νῦς· ὅνπερ ὄρνιν, λέγει δὲ τὴν βῶλον, ἐν ταῖς προχοαῖς τῆς Τριτωνίδος λίμνης, θεῷ ἀνδρὶ ὡμοιωθέντι καὶ ξένια παρεχομένῳ ἐκ τῆς πρώρας καταβὰς ὁ Εὔφημος ἐδέξατο. Ζητητέον δὲ δι' ἣν αἰτίαν ὑπεδέξατο τὴν βῶλον ὁ Εὔφημος. καὶ οἱ μὲν φασίν, ὅτι πρωρεὺς ἦν. φαίνεται γὰρ καὶ ὁ Εὐρύπυλος ἐπισὰς τῇ πρώρᾳ καὶ ἐπιδὰς τὸ ξένιον· οἱ δὲ διὰ τὴν συγγένειαν. ἀμφότεροι γὰρ Ποσειδῶνος, ὅ τε δὸς καὶ ὁ λαβών. ὁ δὲ Ἀσκληπιάδης τὰ ἐν ταῖς μεγάλαις Ἠοίαις παρατίθεται·

Ἠοίη Τρίη πυκινόφρων Μηκισώνη,
Ἣ τέκεν Εὔφημον γαιάοχῳ ἐννοσιγαίῳ
Μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης.

37. Θεῶ ἀνέρι εἰδομένω] τοῦτο καινοτέρως ὁ Πίνδαρος ἱστορεῖ, ὅτι θεὸς Εὐρυπύλῳ παρεικασθεὶς παρέσχε τοῖς Ἀργοναύταις.

40. Αἴσιον δ' ἐπί οἱ Κρονίων] αἴσιον δὲ ἐπὶ τῇ δόσει βροντήσας ἐπεκύρωσεν ὁ Ζεύς.

42. Ἀνίκ' ἄγκυραν] τὸν Τρίτωνά φησιν αὐτοῖς συντετυχηκέναι ἀναγομένοις ἤδη. ὅταν γὰρ τὰς ἀγκύρας βυθὸ ἀνασπάσαντες ἐκκρεμῶσι τῆς νεώς. Ἀργῶς δὲ χαλινὸν τὴν ἄγκυραν λέγει ἀπὸ μεταφορᾶς τῶν ἵππων, διὰ τὸ ἐπέχειν

Ναὶ κρημνάντων ἐπέτοσσε, θοᾶς
Ἀργῦς χαλινόν. δώδεκα δὲ πρότερον
Ἀμέρας ἐξ ὠκεανῦ φέρομεν
Νώτων ὕπερ γαίας ἐρήμων
Εἰνάλιον δόρυ, μή-
δεσιν ἀνσπάσαντες ἀμοῖς.
Τυτάκι δ' οἰοπόλος
Δαίμων ἐπῆλθεν, φαιδίμαν
Ἀνδρὸς αἰδοῖς πρόσοψιν
Θηκάμενος. φιλίων δ' ἐπέων

Ἄρχεται,

ἐπέχειν τὰς ναῦς δίκην χαλινῦ. πρὸς τῇ νηὶ γὰρ κρημνάντων ἐπεκύρησε, τυτέστιν ἀναγομένων. τίς δὲ ἐπεκύρησεν; ὁ ἀνδρὶ εἰκασμένος Τρίτων. ὁ νῦς· ὅτε τὴν ἄγκυραν τὴν χαλκᾶς ἔχουσαν γένυς πρὸς τῇ νηὶ ἀνελκυσάντων τῶν Ἀργοναυτῶν καὶ κρημνάντων ἐπέτυχεν ὁ Εὐρύπυλος. σημαίνει δὲ διὰ τύτων τὸν ἀπόπλων. ὅτε γὰρ πλεῖν μέλλησιν, ἀνάγυσι τὰς ἀγκύρας. ἐπέτοσσε δὲ ἀντὶ τῦ ἐπέτυχε.

44. Δώδεκα δὲ πρότερον ἀμέρας] τῦτο προσανειληφένως φησὶ Δίδυμος Πίνδαρον τερατείας χάριν τῆς πρὸς ἡμᾶς, ἐπεὶ οὐδὲ πρέπον τὸ πρὸς εἰδότας λέγειν. ὁ δὲ Ἀμμώνιος περὶ τύτων ὕτω γράφει· καὶ ἑαυτὴν συμπεριλαμβάνει, διὰ τὸ ταῖς αὐτῆς βυλαῖς, τὴν ἔξω φυγὴν ποιήσασθαι· ἐκβιβᾶσαι γὰρ συνεβύλευσε καὶ διὰ τῦ Ἀδρίᾳ ποιῆσαι τὸν πλῶν. τῦτο δὲ ἐναντίον τῷ ἐκ τῦ Ὠκεανῦ ὑπὲρ τὴν Λιβύην κομίσαι τὴν ναῦν εἰς τὴν Τριτωνίδα· ἀλλὰ μᾶλλον ὡς διὰ τῦ Φάσιδος εἰς τὸν Ὠκεανὸν ἐκπεπτωκότων. ὁ νῦς· οἱ λόγοι παρὰ τῆς Μηδείας· ἐν δώδεκα ἡμέραις τὸ πρότερον ἔξω τῦ ὠκεανῦ ἐφέρομεν κατὰ τῶν νώτων τῆς ἐρήμυ καὶ ὁμαλῆς γῆς τὸ θαλάττιον δόρυ, τυτέστι τὴν ναῦν, τοῖς ἡμετέροις βυλεύμασιν ἀνασπάσαντες.

48. Μήδεσσιν (sic) ἀνσπάσαντες ἀμοῖς] τὸ πρόσωπον τῆς Μηδείας μιμεῖται ὁ ποιητής· τοῖς ἡμετέροις, φησὶ, βυλεύμασιν ἀνασπάσαντες. παρὰ τὸν Λιβυκὸν Ὠκεανὸν ἐλθόντες, καὶ μὴ δυνάμενοι ἐξελθεῖν, διὰ τὸ εἶναι τεναγώδη, συμβυλαῖς τῆς Μηδείας τὴν ναῦν βαστάσαντες διεκόμισαν εἰς τὴν Τριτωνίδα λίμνην.

49. Τυτάκι δ' οἰοπόλος] τὸ τηνικαῦτα δὲ ὁ μόνος ἀνατρεφόμενος θεὸς παρεγένετο, ἀνδρὸς αἰδεσίμυ καὶ ἀξιοπρεπῦς φαιδρὰν καὶ εὐπρεπῆ ὄψιν ἑαυτῷ περιθεὶς, ὅ ἐστιν, ὁ Τρίτων Εὐρυπύλῳ ὁμοιώμενος Κυρήνης βασιλεῖ.

52. Φιλίων δ' ἐπέων] λόγων δὲ προσφιλῶν καὶ φιλοφρονητικῶν κατήρχετο, ὥσπερ τοῖς ξένοις παραγεγονόσιν οἱ ξενισταὶ τὰ δεῖπνα

Ἄρχεται, ξείνοις ἅτ' ἐλ-
θόντεσσιν εὐεργέτα
Δεῖπν' ἐπαγγέλλοντι πρῶτον· —

Α. β'. Κ. ιδ'.

Ἀλλὰ γὰρ νόστᾳ πρόφασις γλυκερᾷ
Κώλυεν μεῖναι· — Φάτο δ', Εὐρύπυλος
Γαιάοχᾳ παῖς ἀφθίτᾳ Ἐννοσίδᾳ
Ἔμμεναι. γίγνωσκε δ' ἐπειγομένης.
Ἂν δ' εὐθὺς ἁρπάξαις ἀράρας
Δεξιτερᾷ πρότυχον

Ξένιον

δεῖπνα καὶ τὴν φιλοφροσύνην πρῶτον ἐπαγγέλλονται, ἵτω καὶ αὐτὸς ταῦτα ἐπαγγείλατο. τοῦτο γὰρ δεῖ συνυπακοῦσαι.

56. Ἀλλὰ γὰρ νόστᾳ πρόφασις] ἀλλὰ γὰρ τῆς γλυκείας ἀνακομιδῆς πρόφασις ἐκώλυσεν αὐτὸς παραμένειν καὶ τῆς θεᾶ δεξιώσεως ἀπολαύειν.

57. Φάτο δ' Εὐρύπυλος] ἔλεγε δὲ ὁ Εὐρύπυλος τῇ ἀφθάρτᾳ Ποσειδῶνος εἶναι παῖς. τοῦτον Ἀπολλώνιος ποτὲ μὲν Εὐρύπυλον προσαγορεύει, ποτὲ δὲ Τρίτωνα. Ἀκέσανδρος δέ φησιν αὐτὸν ἀδελφὸν εἶναι τῶν Εὐρύπυλον Τρίτωνος, γράφων ὅτως· Εὐρύπυλος Ποσειδῶνος καὶ Κελαινοῦς, τῆς Ἄτλαντος, Τρίτωνος ἀδελφός. οὗτος γαμεῖ Στερόπην, τὴν Ἠλίου, καὶ Πασιφάης ἀδελφήν, καὶ γεννᾷ παῖδας δύο, Λυκάονα καὶ Λεύκιππον.

59. Γίγνωσκε δ' ἐπειγομένης] συνεώρα δὲ καὶ αὐτός, φησιν, ἡμᾶς ἐπειγομένους.

61. Δεξιτερᾷ πρότυχον] Χαρίζεσθαι, δεῖν γράφειν παρατυχόν, ἵν' ᾖ· ἀναρπάσας εὐθὺς ἐκ τῆς γῆς τῇ δεξιᾷ χειρὶ τὸ παρατυχὸν ξένιον ἐζήτει παρασχεῖν, ὅπερ ἦν βῶλος. Διατί δὲ Εὔφημος ἐδέξατο, πολλῶν ὄντων, ζητεῖται. καὶ οἱ μὲν φασι, διὰ τὸ ἐγγύς· πρωρεὺς γὰρ ἦν· διό φησι Πίνδαρος πρωρηθεν. οἱ δὲ διὰ συγγένειαν· οἱ δὲ, ὅτι ὁ δὲς τὴν βῶλον, εἴτε Τρίτων ἦν εἰκασμένος Εὐρυπύλῳ, εἴτε Εὐρύπυλος, ὅτος ἦν Ποσειδῶνος υἱός. ἄλλως δὲ καὶ ὅλη ἡ Λιβύη ἱερὰ Ποσειδῶνος, διὰ τὸ μεμίχθαι Λιβύῃ τὸν Ποσειδῶνα. Ταύτῃ οὖν καὶ ὁ Εὔφημος διὰ τὴν οἰκειότητα ἐδέξατο. προσθεῖεν δ' ἄν τινες, ὅτι καὶ Ταινάρου ἐβασίλευεν. αὕτη δὲ Ποσειδῶνος ἱερά. Ἀσκληπιάδης δέ φησιν, ὅτι καὶ Περικλύμενος καὶ Ἐργῖνος καὶ Ἄγκαιος, υἱοὶ Ποσειδῶνος. Τί ἓν ἐδεῖς εἰληφει τούτων; φησὶ γὰν αὐτὸς, δῶρον ἔχειν τὸν Εὔφημον παρὰ Ποσειδῶνος

Ξένιον μάστευσε δῦναι.
Οὐδ' ἀπίθησέ νιν· ἀλ-
λ' ἥρως ἐπ' ἀκταῖσιν θορὼν,
Χειρί οἱ χεῖρ' ἀντερείσαις
Δέξατο βῶλακα δαιμονίαν.
Πεύθομαι δ' αὐτὰν κατα-
κλυσθεῖσαν ἐκ δόρατος
Ἐναλίᾳ βᾶμεν σὺν ἅλμα

Ε. β'. Κ. ιγ'.

Ἑσπέρας, ὑγρῷ πελάγει σπομέναν.
Ἦ μάν νιν ὄτρυνον θαμὰ

Λυσι-

δῶνος τὴν θάλασσαν ἀπημάντως διαπορεύεσθαι ὡς διὰ γῆς. πρὸς δὲ τὺς λέγοντας, ὅτι κυβερνήτης ὁ Εὔφημος ἦν καὶ πρωρεὺς (τοῦτο γὰρ ἱστορεῖ Θεότιμος) λεκτέον, ὅτι καὶ πάνυ λόγον ἔχει τὸν κυβερνήτην, ὡς ἡγεμόνα τῆς νεὼς, τὴν βῶλον παρὰ τῦ Τρίτωνος λαβεῖν.

63. Οὐδ' ἀπίθησέ νιν] παθητικῶς· οὐδ' ἀπιθῆ αὐτὸν πεποίηκε πρὸς τὴν ὑποδοχήν.

64. Ἀλλ' ἥρως ἐπ' ἀκταῖσι θορὼν] ὁ δὲ ἥρως Εὔφημος ἐπιθορὼν ταῖς ἀκταῖς, τῇ αὐτῦ χειρὶ τὴν αὐτῦ ἀντερείσας, ἤγουν ἀνθαρμόσας, ἢ συνάψας καὶ ἐπεκτείνας χεῖρα, ἐδέξατο τὴν θείαν βῶλον.

66. Βῶλακα δαιμονίαν] τὴν θείαν, ἤτοι ὅτι ἐξ αὐτῆς ἀποικίαι καὶ χρησμοὶ Ἀπόλλωνος, ἢ ὅτι θεὸς ὁ δωρησάμενος.

67. Πεύθομαι δ' αὐτὰν] ἔτι περὶ τῆς βώλυ τὸν λόγον ποιεῖται ἡ Μήδεια, ὅτι πέπυσαι χθὲς αὐτὴν διατετηκυῖαν, καίπερ παρακελευομένη φυλάξαι. Ἄλλως. μετέπεσεν ἐπὶ τὸ ποιητικὸν πρόσωπον, καὶ οὐκέτι τὸ τῆς Μηδείας ἐφύλαξε διὰ παντός. φησὶν οὖν· κατακλύσθεῖσαν ἐκ τῆς νεὼς, σὺν τῇ θαλάσσῃ τῆς δύσεως διενηνέχθαι καὶ διαλυθῆναι συμφερομένην τοῖς κύμασι. τὴν σὺν ἣν πρόθεσιν συντακτέον τῷ, βᾶμεν, ἵν' ᾖ, συμβῆναι, ἤτοι συμβεβηκέναι, καὶ εἰς ταυτὸ συνελθεῖν, καὶ γεγενῆσθαι τῇ θαλάσσῃ ἅλμη, ὅ ἐστι κατὰ περίφρασιν, τῇ θαλάσσῃ. ἐκ δόρατος δὲ, ἐκ τῆς νηός.

70. Ἑσπέρας ὑγρῷ πελάγει] ἤτοι κατὰ τὸν καιρὸν τῆς ἑσπέρας, ἢ τῷ πελάγει τῆς δυτικῆς θαλάττης ἀκολουθήσασαν.

71. Ἦ μάν νιν] τὴν βῶλον· ναὶ μὴν συνεχῶς τοῖς λυσιπόνοις οἰκέταις φυλάξαι φησὶ, τῶν δὲ εἰς

Λυσιπόνοις θεραπόν-
τεσσιν φυλάξαι· τῶν δ' ἐλάθοντο φρένες.
Καί νυν ἐν τᾷδ' ἄφθιτον νά-
σῳ κέχυται Λιβύας εὐρυχόρου
Σπέρμα πρὶν ὥρας. εἰ γὰρ οἶ-
κοι νιν βάλε πὰρ χθόνιον
Ἀΐδα στόμα, Ταίναρον εἰς ἱερὰν,
Εὔφαμος ἐλθὼν, υἱὸς ἱπ-
πάρχα Ποσειδάωνος, ἄναξ,
Τόν ποτ' Εὐρώπα Τιτυᾶ θυγάτηρ
Τίκτε Καφισᾶ παρ' ὄχθαις·

Σ. γ'.

εἰς λιμένα ἦλθον αἱ φρένες. ἐπειδὴ δὲ οἱ οἰκέται τῶν δεσποτῶν τὰς πόνους διαλύσει τῇ θεραπείᾳ, λυσιπόνους αὐτὰς ἐκάλεσεν, ὡς Εὐριπίδης (Fragm. inc. CCIII. ed. Lipſ.)·

Δύλοισι γάρ τε ζῶμεν οἱ ἐλεύθεροι.

74. Καὶ νῦν (ſic) ἐν τᾷδε] ὁ λόγος περὶ τῆς Μηδείας, ὡς προσορμισθείσης καὶ κατὰ τὸ τηνικαῦτα διαλεγομένης περὶ τῆς βώλου. φησὶν ἂν· καὶ νῦν ἐν τῇδε τῇ ἀφθάρτῳ νήσῳ, πρὸ τοῦ δέοντος καιροῦ, διεχύθη τῆς εὐρυχώρου Λιβύης τὸ σπέρμα, τετέχνιν, ἡ βῶλος.

75. Λιβύας εὐρυχώρου (ſic) σπέρμα] δικῶς τὸ σπέρμα δύναται νοεῖσθαι, καὶ ὅτι Λιβυκὴ ἡ βῶλος, καὶ ὅτι οἷον ἀρχὴ τῆς εἰς Λιβύην ἀποικίας.

76. Πρὶν ὥρας] πρὸ τοῦ δέοντος καιροῦ.

Εἰ γὰρ οἶκοι νιν βάλεν] εἰ γὰρ τὴν βῶλον ἔσωσεν εἰς Ταίναρον, ἥτις ἄδυτος ἐστὶ τόπος, μετὰ τέσσαρας ἂν γενεὰς ἐγένετο ἡ ἀποικία, καὶ ἔλαβε σὺν τοῖς ἄλλοις τὴν εὐρεῖαν ἤπειρον, τὴν Λιβύην. ἐπειδὴ δὲ ὑ διεσώθη, ἀλλ' ἐτάκη ἐν τῇ νήσῳ Θήρᾳ, ἐκέτι φησὶν ἐλεύσεσθαι ἐκ τῆς Λακωνικῆς τὴν ἀποικίαν μετὰ τέσσαρας γενεὰς ἀλλὰ μετὰ ἑπτακαίδεκα, ἐξ ἀλλοδαπῶν γυναικῶν γεννηθέντας τινὰς καθέξειν τὴν Λιβύην. ἔσχε δὲ γυναῖκα ὁ Εὔφημος Λαονόμην, Ἡρακλέους ἀδελφὴν, Ἀμφιτρύωνος δὲ θυγατέρα καὶ Ἀλκμήνης. Ταίναρον δὲ, πόλις Λακωνικὴ, ἐν ᾗ πύλη ἐστὶν εἰς ᾅδου. Ἄλλως. εἰ γὰρ δὴ αὐτὴν τὴν βῶλον ἐν τοῖς ἑαυτοῦ οἴκοις ἤγαγε, παρὰ τὸ χθόνιον τοῦ ᾅδου τόμα εἰς τὴν ἱερὰν Ταίναρον παραγεγονὼς, ἐκ δὲ τούτου εἰς Λακεδαίμονα ἐλθὼν ὁ τοῦ ἱππικοῦ Ποσειδῶνος υἱὸς, ὄντινά ποτε ἡ Εὐρώπη, ἡ τοῦ Τιτυοῦ θυγάτηρ, ἐγέννησε παρὰ ταῖς ὄχθαις τοῦ Κηφισοῦ τοῦ Βοιωτικοῦ ποταμοῦ.

Σ. γ'. Κ. ιδ'.

Τετρ̣άτων παίδων κ' ἐπιγεινομένων
Αἱμά̣ οἱ κείναν λάβε σὺν Δαναοῖς
Εὐρεῖαν ἄπειρον. τότε γὰρ μεγάλας
Ἐξανίσταντ̣ Λακεδαίμονος Ἀρ-
γείᾳ τε κόλπῳ καὶ Μυκηνᾶν.
Νῦν γε μὲν ἀλλοδαπᾶν

Κρίτων

83. Τετράτων παίδων] οἱ γὰρ ἐξ Εὐφήμης τέταρτοι ἔμελλον ἀποικίαν στέλλεσθαι ἀπὸ Λακεδαίμονος εἰς Λιβύην. νῦν δὲ διὰ τὸ διαλελύσθαι τὴν βῶλον, εἰς Θήραν ἐκ Λακεδαίμονος οἱ τέταρτοι ἀπὸ Εὐφήμου ἔρχονται, καὶ ἀπὸ Θήρας οἱ ἑπτακαιδέκατοι, ὡς μετὰ τὴν δ' γενεὰν Εὐφήμου τὴν ἐλθοῦσαν εἰς Θήραν φησὶ ἄλλας τρισκαίδεκα γενέσθαι εἰς Θήραν. ὁ δὲ νῦς· τετάρτων ἐξ Εὐφήμης παίδων γεγονότων, γένος αὐτῷ ἐκείνην ἔλαβε καὶ κατέσχε σὺν τοῖς Ἕλλησι, τὴν μεγάλην καὶ πλατεῖαν ἤπειρον τῆς Λιβύης.

85. Τότε γὰρ μεγάλας] τότε γὰρ οἱ Ἡρακλεῖδαι κατελθόντες μετὰ τέσσαρας γενεὰς ἐξανέστησαν τοὺς προκατέχοντας Μυκηνῶν καὶ Ἄργους καὶ Λακεδαίμονος· ἔλλακται δὲ ὁ χρόνος· ἐξανίσταντο γάρ, φησιν, ἀντὶ τοῦ, ἐξαναστήσονται. ταῦτα γάρ φησιν ἡ Μήδεια ὡς ἐσόμενα ὕστερον· ἤ, τότε γὰρ τῆς μεγάλης Λακεδαίμονος ἀνάστατοι γίνονται, καὶ τοῦ Ἀργείου κόλπου, καὶ τῶν Μυκηνῶν.

88 Νῦν γε μὲν] ἐπὶ δὲ τοῦ παρόντος τῶν ξένων γυναικῶν τὸ ἔκκριτον γένος εὑρήσει τὴν ἀποικίαν. ἡ δὲ ἱστορία τοιαύτη· τῆς Λημνίαις γυναιξὶν ἀσεβῶς διακειμένας περὶ τὰς τῆς Ἀφροδίτης τιμὰς ἡ θεὸς δυσοσμίαν προσέπεμψε, καὶ ὅτως αὐτὰς οἱ ἄνδρες ἀπεστράφησαν· αἱ δὲ συνθέμεναι πρὸς ἑαυτὰς ἐξ ἐπιβουλῆς τοὺς ἄνδρας ἀνεῖλον. τιμωροῦνται δὲ οἱ Ἀργοναῦται τὸν εἰς Σκυθίαν στελλόμενοι ἀπόπλουν προσορμίσθησαν τῇ Λήμνῳ, καὶ εὑρόντες ἔρημον ἀρσένων τὴν νῆσον, συνελθόντες ταῖς γυναιξὶν, ἀπηλλάγησαν. οἱ δὲ φύντες ἐξ αὐτῶν ἦλθον εἰς Λακεδαίμονα κατὰ ζήτησιν τῶν πατέρων, καὶ προσδεχθέντες παρ' αὐτῶν, τῶν Λακώνων δηλαδὴ, καὶ πολιτευσόμενοι συνέθεντο ἐπιθέσθαι τῇ Σπάρτῃ. γνωσθέντες δὲ συνελήφθησαν καὶ καθείρχθησαν ἐν εἱρκτῇ. κατὰ δέ τινας αἱ μητέρες συνελθοῦσαι πρὸς αὐτὲς τὰς μὲν αὐτῶν ἐσθῆτας ἐκείνοις περιέθεσαν καὶ αὐτόθι ἔμειναν, ἐκείνης δὲ ὡς γυναῖκας ἀποπέμψασαι κατακεκαλυμμένης διέσωσαν· οἱ δὲ παῖδες τῷ μηχανήματι λαθραίως ἀπέφυγον. τῶν δὲ Λακώνων βιαιοτέρων αὐτὲς ἀνελεῖν, Θήρας ὁ Αὐτεσίωνος, κατὰ συντυχίαν τότε ἀποικίαν στέλλων καθικέτευσε τὲς Λάκωνας, εἰς τὴν ἀποικίαν αὐτῷ τὲς ἄνδρας παρα-

Κριτὸν εὑρήσει γυναικῶν
Ἐν λέχεσιν γένος, οἵ
Κεν, τάνδε σὺν τιμᾷ Θεῶν
Νᾶσον ἐλθόντες, τέκωνται
Φῶτα κελαινεφέων πεδίων
Δεσπόταν, τὸν μὲν πολυ-
χρύσῳ ποτ' ἐν δώματι
Φοῖβος ἀμμνάσει θέμισσιν,

παρασχεῖν, κἠ δεξάμενος εἰς τὴν Θήραν ἐκτοπίζει. συνῆν δὲ αὐτῷ κἠ Σάμος, ἢ ἀπόγονος Βάττος, ὃς πρῶτος ἀποικίαν εἰς Κυρήνην ἀπέστειλεν. Ἄλλως. ζητεῖται, τίνες εἰσὶν αἱ ἀλλοδαπαὶ γυναῖκες, ὧν φησὶ τὺς φύντας καθέξειν τὴν Κυρήνην, πότερον αἱ ἐν Θήρᾳ ᾤκησαν, συνεξορμήσασαι μετὰ Κάδμε, ὅτε ἐπὶ τὴν τῆς Εὐρώπης ζήτησιν ἀπῆρεν ἐκ Φοινίκης; ὑπέμειναν γὰρ ἐν Θήρᾳ μετὰ Μεμβριάρεω τῶ Κάδμῳ συνεξορμήσαντος Φοίνισσαί τινες γυναῖκες· ἢ ἀλλοδαπὰς γυναῖκας τὰς Λημνίας λέγει, περὶ ὧν ἡ ἱστορία προείρηται.

85. Κριτὸν εὑρήσει γυναικῶν ἐν λέχεσι (sic) γένος] τίς εὑρήσει; ἡ προκειμένη ἤπειρος, ἡ Λιβύη. ὁ νῆς δὲ τοιοῦτός ἐστιν· ἐπὶ δὲ τῶ παρόντος τῶν ἀλλοδαπῶν κἠ ξένων γυναικῶν τὸ ἐν ταῖς κοίταις ἔκκριτον κἠ διαπρεπὲς γένος εὑρήσει τὴν ἀποικίαν, οἵτινες σὺν τιμῇ Θεῶν εἰς ταύτην παραγενόμενοι τέκωσι τὸν Βάττον, τὸν τῆς Λιβύης πεδίων δεσπότην. Κελαινεφέων δὲ πεδίων, τῶν τῆς Λιβύης φησίν· οἳ μὲν, διὰ τὸν αὐτόθι συνεχῆ ὄμβρον, καὶ τὰς χειμῶνας· διὸ κἠ εὔκαρπος ἡ Κυρήνη, διὰ τὸ συνεχῶς δεύεσθαι· τινὲς δὲ, διὰ τὸ τῶν πεδίων μέγεθος. Ἀμμώνιος δέ φησι, διὰ τὸ περὶ τὴν Κυρήνην μόνην ἴσασθαι νέφος παρὰ τὴν ἄλλην Λιβύην· ἢ μᾶλλον μεγέθους τὶς ἔμφασις δηλοῦται διὰ τὸ ἀποσκοτοῦσθαι τὰς ὄψεις, τῶ πέρατος μὴ ὁρωμένω.

90. Οἵ κεν τάνδε] ἔδει εἰπεῖν, ὅπερ γένος.

Τάνδε σὺν τιμᾷ] εἰς ταύτην τὴν νῆσον, τὴν Θήραν· ἐν αὐτῇ γὰρ διελέγετο ἡ Μήδεια. τέκνωνται δὲ, ἀντὶ τῶ, τέξονται.

94. Τὸν μὲν πολυχρύσῳ ποτ' ἐν δώματι] ὄντινά ποτε τὸν Βάττον ἐν τῷ πολυχρύσῳ οἴκῳ ὁ Ἀπόλλων ἀναμνήσει τοῖς ἑαυτῶ χρησμοῖς εἰς τὸν Πυθικὸν ναὸν παραγενόμενον, εἰκιστὴν τῆς Κυνήτης γενέσθαι.

96. Φοῖβος ἀμμνάσει θέμισσι] τοῖς χρησμοῖς ἀναμνήσει τὰ ἑξῆς ἐπιφερόμενα.

97. Χρό-

Α. γ'. Κ. ιδ'.

Πύθιον ναὸν καταβάντα, χρόνῳ
Γ' ὑστέρῳ νάεσσι πολεῖς ἀγαγὲν
Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα. —
Ἦ ῥα Μηδείας ἐπέων στίχες. ἔ-
πταξαν δ' ἀκίνητοι σιωπᾷ
Ἥρωες ἀντίθεοι,
Πυκινὰν μῆτιν κλύοντες. —
Ὦ μάκαρ υἱὲ Πολυ-

μνάστω

97. Χρόνῳ δ' (sic) ὑστέρῳ] ὁ δὲ ἀντὶ τοῦ δὴ, ἵν' ᾖ, χρόνῳ δὴ ὑστέρῳ διὰ νεῶν πολλὰς ἄνδρας ἀγαγεῖν πρὸς τὸ τοῦ Κρονίδου Νείλου λιπαρὸν τέμενος· φησὶ δὲ τὴν Λιβύην· τυτέσιν ἀπὸ Θήρας εἰς τὴν Λιβύην. τέμενος γὰρ Νείλου Διὸς τὴν Λιβύην φησὶν, ἤτοι τὸν Νεῖλον ἀντὶ τοῦ Διός φησιν, ἐπειδὴ παρὰ τοῖς Αἰγυπτίοις τιμᾶται ὡς θεός. καὶ παρὰ τὸ Ὁμηρικὸν (Odyss. IV, 581.)· Ἄψ δ' εἰς Αἰγύπτοιο διϊπετέος ποταμοῖο. ἢ Κρονίδην τὸν Νεῖλον φησὶν, ὡς Παρμένων· Αἰγύπτιε Ζεῦ Νεῖλε. ἀναλογεῖ γὰρ τοῖς τοῦ Διὸς ὄμβροις τὸ τοῦ Νείλου ὕδωρ· καὶ ὥσπερ ἀντίτροφόν τινα τοῦτον τῷ Διὶ εἶναι.

100. Ἦ ῥα Μηδείας ἐπέων στίχες] ἔφη ἡ τῆς Μηδείας στιχομυθία. συνήθως δὲ ὁ Πίνδαρος πληθυντικοῖς ἐνίκα ἐπήγαγεν· ὁ δὲ νῦς· οὕτως εἰρήκασιν οἱ τῆς Μηδείας λόγοι. οἱ δὲ ἰσόθεοι ἥρωες κατεπλάγησαν σιωπῇ, τὴν πυκινὴν καὶ συνετὴν συμβουλὴν τῆς Μηδείας κατακούσαντες.

104. Ὦ μάκαρ υἱὲ Πολυμνάστω] ὦ Ἀριστότελες. ὁ γὰρ αὐτὸς βάττος καὶ Ἀριστοτέλης. ὁ δὲ νῦς· ὦ μακάριε υἱὲ τοῦ Πολυμνήστου, Ἀριστότελες, σὲ δ' ἐν τῷδε τῆς Μηδείας λόγῳ ὁ χρησμὸς ὥρθωσε καὶ ἀπέδειξε τῆς Δελφικῆς ἱερείας αὐτομάτῳ λόγῳ, λέγει δὲ τῆς Πυθῶνος. μελίσσης δὲ, τῆς ἱερείας. μελίσσας κυρίως μὲν τὰς τῆς Δήμητρος ἱερείας φασὶ, καταχρηστικῶς δὲ καὶ τὰς πάσας, διὰ τὸ τοῦ ζῴου καθαρόν. ὅτι δὲ τὰς περὶ τὰ θεῖα μύστιδας καὶ μελίσσας φασὶν, ἑτέρωθι ὁ αὐτός φησι (Fr. p. 103. f.)· ταῖς ἱεραῖς μελίσσαις τέρπετον. ἔνιοι δὲ καὶ τὰς περὶ τὰ ἱερὰ διατελούσας νύμφας μελίσσας ἔλεγον, περὶ ὧν Μνασέας ὁ Παταρεὺς ἀφηγεῖται λέγων, ὡς αὐταὶ κατέπαυσαν σαρκοφαγοῦντας τοὺς ἀνθρώπους, πείσασαι τῇ ἀπὸ τῶν δένδρων χρῆσθαι τροφῇ, καθ' ὃν καιρὸν καὶ μέλισσα μία τις αὐτῶν, κυρία μελισσῶν εὑρεῖσα, πρώτη ἔφαγε καὶ ὕδατι μίξασα ἔπιε, καὶ τὰς ἄλλας δὲ ἐδίδαξε, καὶ τὰ ζῷα μελίσσας ἐξ ἐκείνης ἐκάλεσε, καὶ φυλακὴν πλείστην ἐποιήσατο. ταῦτα δὲ φησιν ἐν

Πελο-

μνάστᾳ, σὲ δ' ἐν τούτῳ λόγῳ
Χρησμὸς ὤρθωσεν μελίσσας
Δελφίδος αὐτομάτῳ κελάδῳ·
Ἃ σε χαίρειν εἰς τρὶς αὐ-
δάσασα, πεπρωμένον
Βασιλῆ' ἄμφανεν Κυράνᾳ,

Ε. γ'. Κ. ιγ'.

Δυσθρόᾳ φωνᾶς ἀνακρινόμενον
Ποινὰ τίς ἔσται πρὸς θεῶν.
Ἦ μάλα δὴ μετὰ καὶ
Νῦν,

G 3

Πελοποννήσῳ γενέσθαι. ἄνευ γὰρ νυμφῶν οὔτε Δήμητρος ἱερὸν τιμᾶται, διὰ τὸ ταύτας πρώτας καρπὸν ἀποδεῖξαι, καὶ τὴν ἀλληλοφαγίαν παῦσαι, καὶ περιβλήματα χάριν αἰδοῦς ἐξ ὕλης ἐπινοῆσαι, οὔτε γάμος ἀδεὶς ἄνευ νυμφῶν συντελεῖται, ἀλλὰ ταύτας πρῶτον τιμῶσι, μνήμης χάριν, ὅτι εὐσεβείας τε καὶ ὁσιότητος ἀρχηγοὶ ἐγένοντο. αὐτομάτῳ δὲ κελάδῳ φησὶν, ἤτοι αὐτοκελεύστῳ· ἀ γὰρ κατὰ ἐπίταγμα τῶν χρησμῳδημένων ἡ προφῆτις τοὺς χρησμοὺς ἐκφέρει, ἀλλ' ἐπιπνοίᾳ· ἢ τῷ μὴ ἐκ συντάξεως φερομένῳ, ἀλλ' ἀπαυτοματιζομένῳ, καὶ ἰδίως· οὐ γὰρ ἠρωτήθη γὰρ παρὰ τοῦ Βάττου περὶ τῆς ἀποικίας, ἀλλὰ περὶ τῆς φωνῆς· ἔνθεν δὲ καὶ αὐτῶρος, ὁ τρίπους. Καλλίμαχος (Fr. 264. Bentl.)· Αὐτῶρος οὔτε τοῖσιν ἐπέφραδε. καὶ τότε αὐτῶρος ἡ μάντις λέγεται, ὅταν μὴ βουλευομένου τινὸς, περὶ ὅτου ἥκει μαντευσόμενος, ἀπαυτοματίσῃ· τοιοῦτον ὂν ἐστι καὶ τὸ, αὐτομάτῳ κελάδῳ, παρόσον ἐκ ταυτομάτου ἔχρησεν ἡ Πυθία περὶ τῆς ἀποικίας ὧν προήκατο, ἀδὲ ὡς πυθομένου τοῦ Βάττου, περὶ φωνῆς ἐρωτῶντος.

108. Ἃ σε χαίρειν εἰς τρὶς] ὁ νοῦς, ὅτως· ἥτις περὶ τῆς κακοφώνου καὶ τραχείας φωνῆς ἀνερωτῶντα, τίς παρὰ θεῶν λύσις γένοιτο, τυτέσιν, ἀνερωτῶντα, τίς ἔσται τῆς φωνῆς ποινὴ ἤτοι ἀπόλυσις (ἐπεὶ ἡ ποινὴ ἀπολύσεως ἕνεκεν γίνεται) χαίρειν φησὶ τρὶς προσειποῦσα, εἱμαρμένον βασιλέα διὰ τῶν χρησμῶν ἀπέφηνε τῇ Κυρήνῃ.

112. Ποινὰ τίς] ἀμοιβὴ ἢ λύσις.

113. Ἦ μάλα δὴ] ναὶ δὴ λίαν, καὶ ἐπὶ τοῦ παρόντος, ὥσπερ ἐν τῷ τοῦ φοινικοῦ καὶ ἀνδρὸς ἔαρος ἀκμῇ καὶ ὥρᾳ, ἀπὸ κοινοῦ, θάλλει τὸ μέρος καὶ τὸ ἄνθος, οὕτω καὶ ἐν τούτοις τοῖς παισὶν ὄγδοον μέρος ὂν θάλλει καὶ βλαστᾷ ὁ Ἀρκεσίλαος.

Μετὰ

Νῦν, ὥστε Φοινικαυθέμιδ ἥρος ἀκμᾷ,
Παισὶ τύτῳ ὄγδοον θάλ-
λει μέρος Ἀρκεσίλας· τῷ μὲν Ἀπόλ-
λων ἅ τε Πυθὼ κῦδος ἐξ
Ἀμφικτυόνων ἔπορεν
Ἱπποδρομίας. ἀπὸ δ' αὐτὸν ἐγὼ
Μοίσαισι δώσω, καὶ τὸ πάγ-
χρυσον νάκος κριῦ. μετὰ γὰρ
Κεῖνο πλευσάντων Μινυᾶν θεόπομ-
ποί σφισιν τιμαὶ φύτευθεν. —

Σ. δ'. Κ. ιδ'.

Τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας;

Τίς

Μετὰ νῦν] τὸ μετὰ συντακτέον τῷ, παισί. μετὰ τὺς ἀπὸ Εὐφήμυ ἑπτακαίδεκα καὶ νῦν ὁ Ἀρκεσίλαος ἔσαι ὄγδοος.

Ἥ μάλα δὴ μετὰ] τὰ ῥηθέντα ὑπὸ τῆς Πυθίας νῦν θάλλει ἐν ἔαρι ἐπὶ τῇ ὀγδόῃ γένυς. ὄγδοος γὰρ Ἀρκεσίλαος ἀπὸ Βάττυ τῇ πρώτῃ, ᾧ γράφει νῦν ὁ Πίνδαρος.

115. Παισὶ (sic) τύτοις] ἐν τοῖς Κυρηναίοις.

116. Τῷ μὲν Ἀπόλλων] τῷ Ἀρκεσιλάῳ. τύτῳ μὲν τῷ Ἀρκεσιλάῳ ὅ τε Ἀπόλλων καὶ ἡ Πυθὼ ἐκ τῆς ἱπποδρομίας δόξαν καὶ μνήμην ἐκ πάντων τῶν περιοίκων δεδώκασιν. Ἀμφικτύονες δὲ καλοῦντω οἱ ἀγωνοθέται τῶν Πυθίων, ἐκ δώδεκα ἐθνῶν τῆς Ἑλλάδος ὄντες.

119. Ἀπὸ δ' αὐτὸν ἐγὼ Μοίσαισι δώσω] ἀποδώσω δὲ αὐτὸν ἐγὼ ταῖς μοίσαις, ἀντὶ τῦ ὑπομνήσω, καὶ νενικηκότα ἀνυμνήσω, καὶ τὸ χρυσῦν δέρας. Ζητεῖται δὲ, δι' ἣν αἰτίαν τῇ Ἰάσονος ἐμνήσθη καὶ τῇ εἰς Σκυθίαν ἀπόπλυ; καὶ φαμὲν, ὅτι Ἀρκεσίλαος εἰς Εὔφημον ἀνάγει τὸ γένος, τὸν τὴν βῶλον ὑποδεξάμενον καὶ συταλέντα τοῖς Ἀργοναύταις.

120. Καὶ τὸ πάγχρυσον νάκος] τὸ χρύσεον δέρας τῷ κριῷ. ἐπὶ γὰρ τύτο τὸ δέρας τῶν Ἀργοναυτῶν πλευσάντων, θεῖαι τιμαὶ τοῖς Κυρηναίοις ἐφυτεύθησαν. κατὰ κοινῦ δὲ τὸ, Μοίσαισι δώσω. Μινυᾶν δὲ, τῶν Ἀργοναυτῶν φησὶν, ὅτι οἱ πλείυς αὐτῶν εἰς Μινύαν, τὸν Ποσειδῶνος καὶ Τριτογενείας τῆς Αἰόλυ τὸ γένος ἀνῆγον, ὡς καὶ Ἀπολλώνιός φησιν (Arg. I. 230. f.)·

ἐπεὶ Μινύαο θυγατρῶν
Οἱ πλεῖστοι καὶ ἄριστοι ἀφ' αἵματος εὐχετόωντο.

122. Θεόπομποί σφισιν] αὐτοῖς τοῖς Κυρηναίοις, τοῖς ἐς Θήραν τὴν ἀποικίαν στειλαμένοις.

124. Τίς γὰρ ἀρχὰ δέξατο]

Τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαντος δῆσεν ἄλοις; — θέσφατον ἦν Πελίαν
Ἐξ ἀγαυῶν Αἰολιδᾶν θανέμεν
Χείρεσσιν ἢ βλαῖς ἀκνάμπτοις.
Ἦλθε δέ οἱ κρυόεν
Πυκινῷ μάντευμα θυμῷ,
Πὰρ μέσον ὀμφαλὸν εὐ-
δένδροιο ῥηθὲν ματέρος·
Τὸν μονοκρήπιδα πάντως
Ἐν φυλακᾷ σχεθέμεν μεγάλᾳ,

ὁ λόγος ἐρωτηματικὸς πρὸς τὴν μῆσαν. τίς γὰρ ἀρχὴ τῷ πλῷ; ποῖος δὲ κίνδυνος ἐν τοῖς ἰσχυροτάτοις τῷ ἀδάμαντος ἔδησεν ἥλοις; τυτέστι, ποία ἰσχυρὰ καὶ κινδυνώδης ἀνάγκη παρώρμησε τὸς Ἀργοναύτας; εἶτα Ὁμηρικῷ ζήλῳ μετὰ τὴν ἐρώτησιν ἐπάγει τὸ αἴτιον. μεμοιραμένον ἦν, τὸν Πελίαν ἐκ τῶν ἄγαν διαφανῶν Αἰολιδῶν τελευτῆσαι τὸν βίον, ἢ καὶ γνώμαις ἢ καὶ πράξεσιν ἀκαταμαχήτοις καὶ σκληραῖς. ἄρχεται δὲ τῆς ἱστορίας, δι' ἣν ἔπλευσαν οἱ Ἀργοναῦται. Αἰολίδης ὁ Ἰάσων· Αἴσονος γὰρ τῷ Κρηθέως γίνεται τῷ Αἰόλου υἱός.

Ἔνθ' ἤτοι πρώτην Τυρὼ ἴδον εὐπατέρειαν,
Ἣ φάτο Σαλμωνῆος ἀμύμονος ἔκγονος εἶναι·
Φῆ δὲ Κρηθῆος γυνὴ ἔμμεναι Αἰολίδαο. (Hom. Od. XI, 234. ff.)

εἶτα τὸ ἑξῆς·

Τὰς δ' ἑτέρας Κρηθῆί τέκεν βασίλεια γυναικῶν
Αἴσονά τ' ἠδὲ Φέρητα (Od. XI, 257.)

καὶ τὰ ἑξῆς.

129. Ἦλθε δέ οἱ κρυόεν] ἦλθε δὲ καὶ ἀνεδόθη τὸ φρικτὸν τοῦτο μάντευμα τῷ συνετῷ αὐτοῦ θυμῷ, τὸ κατὰ τὸν μέσον ὀμφαλὸν ῥηθὲν, τυτέστι, κατὰ τὸ Δελφικὸν χρηστήριον, τὸ ἐν μέσῳ τῆς οἰκουμένης τῆς εὐδένδρου γῆς. λέγει δὲ τῆς Πυθῶνος.

133. Τὸν μονοκρήπιδα] τὸν μονοσάνδαλον. κρηπὶς γὰρ τὸ βῆμα, καὶ εἴρηται παρὰ τὴν βάσιν. ἡ ἱστορία παρὰ Φερεκύδει. ἔδυε τῷ Ποσειδῶνι, φησὶν, ὁ Πελίας, καὶ προεῖπε πᾶσι παρεῖναι· οἱ δὲ ἦσαν οἵ τε ἄλλοι πολῖται καὶ ὁ Ἰάσων· ἔτυχε δὲ ἀροτρεύων ἐγγὺς τοῦ Ἀναύρου ποταμοῦ. ἀσάνδαλος δὲ διέβαινε τὸν ποταμὸν, διαβὰς δὲ τὸν μὲν δεξιὸν ὑποδεῖται πόδα, τὸν δὲ ἀριστερὸν ἐπιλήθεται, καὶ ἔρχεται ἔτως ἐπὶ δεῖπνον. ἰδὼν δὲ ὁ Πελίας συμβάλλει τὸ μαντήϊον, καὶ τότε μὲν ἡσύχασε, τῇ ὑστεραίᾳ μεταπεμψά-

135 Εὖτ' ἂν αἰπεινῶν ἀπὸ
Σταθμῶν ἐς εὐδείελον
Χθόνα μόλῃ κλειτᾶς Ἰωλκῆ

Α. δ'. Κ. ιδ'.

Ξεῖνος, αἴτ' ὢν ἀστός. ὁ δ' ἄρα χρόνῳ
Ἵκετ', αἰχμαῖσιν διδύμαισιν ἀνὴρ
140 Ἔκπαγλος. ἐσθὰς δ' ἀμφότερόν μιν ἔχεν,
Ἄτε Μαγνήτων ἐπιχώριος, ἁρ-

μόζοισα

ταπεμψάμενος αὐτὸν ἤρετο, ὅ τι ποιοίη, εἰ αὐτῷ χρησθείη ὑπό τινων τῶν πολιτῶν ἀποθανεῖν. ὁ δὲ Ἰάσων, πέμψω ἄν εἰς Αἶαν αὐτόν, ἐπὶ τὸ κῶας τὸ χρυσόμαλλον, ἄξοντα ἂν ἀπὸ Αἰήτου. ταῦτα δὲ τῷ Ἰάσονι Ἥρη ἐς νόον βάλλει ὡς ἔλθοι ἡ Μήδεια τῇ Πελίᾳ κακόν. ὅτι δὲ ἐκ τῆς Ἀναύρου ποταμοῦ μούγις τὸ δεξιὸν πέδιλον ἔσωσεν, ἱστορεῖ καὶ Ἀπολλώνιος (Arg. I, 10. f.).

Ἀλλ' ὅ μὲν ἐξεσάωσεν ὑπ' ἰλύος,
ἄλλο δ' ἔνερθε
Κάλλιπεν αὖθι πέδιλον ἐνισχόμενον προχοῇσιν.

εἰσὶ δὲ καὶ Αἰτωλοὶ πάντες μονοκρήπιδες, διὰ τὸ πολεμικώτατοι εἶναι. ἦν δὲ τὸ μάντευμα τοιοῦτο· τὸν μονοκρήπιδα πάντως ἐν φυλακῇ σχεθέμεν, καὶ τὰ ἑξῆς· σχεθέμεν, φυλάσσεσθαι.

135. Εὖτ' ἂν αἰπεινῶν ἀπὸ σταθμῶν] ὅταν ἀπὸ τῶν ὑψηλοτάτων ἐπαύλεων τῆ Χείρωνος (παρὰ γὰρ αὐτῷ ἐπαιδεύθη) εἰς εὐδείελον, ἤγουν, τὴν εὖ πρὸς ἑσπέραν κειμένην, ἢ τὴν διαφανῆ καὶ ἐπίσημον, τὴν πρὸς τῇ ἑσπέρᾳ γῇν τῆς εὐδόξου Ἰωλκοῦ, παραγένηται ξένος ὢν καὶ πολίτης, ὁ Ἰάσων δηλονότι· καὶ πολίτης μὲν, ὅτι Ἰωλκίδος εἶχε τὰς γονεῖς, ξένος δὲ, ὅτι τεχθεὶς παρὰ τῷ Χείρωνι ἀνετράφη.

138. Ὁ δ' ἄρα χρόνῳ] ὁ δὲ Ἰάσων χρόνῳ παραγέγονε, δύο δόρασι θαυμαστὸς καὶ ἐκπληκτικός. ἐσθὴς δὲ διπλῆ συνεῖχεν αὐτὸν, ἥ τε τῶν Μαγνήτων ἐπιχώριος, ἁρμοζομένη τοῖς θαυμασοῖς μέλεσι, καὶ ἡ παρὰ Χείρωνι παρδαλέα, ἣ ἔσκεπε καὶ ἀκήλυγε τὰς φρίσσειν παρασκευάζοντας ὄμβρους, ὡς αὐτὸς φρίσσοντας, ἀλλὰ φρίσσειν ποιοῦντας ὄμβρους, ὡς καὶ Ὅμηρος (Il. VI, 132.)·

Ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας,
ὡς αὐτῆ μαινομένη, ἀλλὰ μανιοποιῆ. καὶ χλωρὸν δέος (Iliad. VII, 479.), τὸ χλωροποιόν. Σημειωτέον δὲ, ὅτι σταθμὰς τὰς κατ' ἀγρὺς ἐπαύλεις ἔλεγον, καὶ ὅτι εὐδείελον, τὸ εὔδηλον.

Ἥ πού τις νῆσος εὐδείελος ἠέ τις ἀκτή. (Hom. Od. XIII, 234).

145. Οὐδὲ

μόζοισα θαητοῖσι γυίοις,
Ἀμφὶ δὲ παρδαλέᾳ
Στέγετο φρίσσοντας ὄμβρους.
Οὐδὲ κομᾶν πλόκαμοι
Κερθέντες οἴχοντ' ἀγλαοὶ,
Ἀλλ' ἅπαν νῶτον καταίθυσσον. τάχα δ', εὐθὺς ἰὼν, σφετέρας
Ἐστάθη γνώμας ἀταρβάτοιο πειρώμενος
Ἐν ἀγορᾷ πλήθοντος ὄχλου.

E. δ'. K. ιγ'.

Τὸν μὲν ἃ γίνωσκον. ὀπιζομένων
Δ' ἔμπας τις εἶπεν κὰ τόδε·
„Οὔ τί πᾳ ἔτος Ἀπόλ-

145. Οὐδὲ κόμαν (sic) πλόκαμοι] ἢδὲ τὴν πρώτην κόμην εἰς ἀπαρχὴν τοῖς θεοῖς ἐκείρατο, ἀλλ', ὡς Ἀχιλλεὺς νέος ἦν πρωτοκόμης. Ὅμηρος (Iliad. XXIII, 144.)·

Σπερχειῷ', ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς.

καὶ παρ' Αἰσχύλῳ (Choëph. 6. f.)· Πλόκαμον Ἰνάχῳ θρεπτήριον, τὸν δεύτερον δὲ τόνδε πενθητήριον, Ὀρέστης φησὶ τῷ Ἀγαμέμνονι. τὰς γὰρ πρώτας κόμας τοῖς ποταμοῖς οἱ ἀρχαῖοι ἀπεκείροντο, σύμβολον τῆ ἐξ ὕδατος εἶναι πάντων τὴν αὔξησιν.

148. Τάχα δ' εὐθὺς ἰὼν] ταχέως δὲ εὐθὺ πορευόμενος τῆς ἑαυτῆ γνώμης, τῆς ἀφόβου καὶ ἀταράχου, ἔσῃ διάπειραν λαμβάνων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι καὶ πολλῆ ὄχλου ὄντος ἐν τῇ πόλει, πρὸς παρρησίαν ὅλον ἑαυτὸν παρεσκεύαζεν. Ἄλλως. εὐθὺς ἀντὶ τῆ εὐθέως, ἢ ἐπ' εὐθείας πορευθείς. τὸ δὲ σφετέρας, ἀντὶ τῆ ἑᾶς. περὶ ἑνὸς γάρ ἐστιν ὁ λόγος.

152. Τὸν μὲν ἃ ἐγίνωσκον] τοῦτον μὲν ἅν, νεωτὶ τῇ Μαγνησίᾳ ἐπιδημήσαντα, οἱ ἐνοικοῦντες ἃ ἐγίνωσκον. Ὀπιζομένων, ἀντὶ τῆ, ἐπιστρεφομένων πρὸς αὐτὸν, καὶ τὸς ὦπας ἐπιβαλλόντων. ἢ ὅτως· ἐπεὶ ὅπις ἐστὶν ἡ τῆ μέλλοντος ἐπιστροφὴ, τὸ ἐσόμενον ὕστερον προσβάν τις εἶπεν. ἢ ὀπιζομένων, τῶν τὸς θεὸς πρὸ ὀφθαλμῶν ἐχόντων καὶ εὐλαβῶν.

154. Οὔτι πᾳ ἔτος Ἀπόλλων] ἐχρήσατο τῷ λόγῳ πάνυ κεκολασμένως, τὸ ὅτι προσθεὶς, καὶ ἔδωκε,

λων. ὀδὲ μὰν χαλκάρματός ἐσι πόσις
Ἀφροδίτας. ἐν δὲ Νάξῳ
φαντὶ θανεῖν λιπαρᾷ Ἰφιμεδείας παῖδας, Ὦτον καὶ σὲ, τολμάεις Ἐπιάλτα ἄναξ.
Καὶ μὰν Τιτυὸν βέλος Ἀρτέμιδος θήρευσε κραιπνὸν, ἐξ ἀνικάτᾳ φαρέτρας ὀρνύμενον·
Ὄφρα τὶς τᾶν ἐν δυνατῷ φιλοτάτων ἐπιψαύειν ἔραται."

Σ. έ.

ἔδωκε, διὰ μὲν τὸ κάλλος ὅμοιον εἶναι τοῖς θεοῖς τὸν Ἰάσονα, διά γε μὴν τὸ τῆς φύσεως φθαρτὸν ἀμφιβάλλον ἀπαρνεῖται. ὁ δὲ νῆς· ὠδαμῶς ὅτός ἐσιν ὁ Ἀπόλλων, ὠδὲ μὴν ὁ ἱππικώτατος Ἄρης, ὁ πόσις τῆς Ἀφροδίτης. τοῦτο δέ φησι, διὰ τὸ ἄγαν ἀνθρῶν καὶ ὡραῖον τὸ Ἰάσονος. χαριέσταται δὲ παρέλαβεν Ἄρεα καὶ Ἀπόλλωνα.

156. Ἐν δὲ Νάξῳ φαντὶ θανεῖν] ἐν δὲ τῇ εὐδαίμονι Νάξῳ φασὶ τεθνηκέναι τὸν τῆς Ἰφιμεδείας παῖδα Ὦτον, καὶ σὲ, ὦ τολμηρότατε Ἐφιάλτα. Ἰφιμεδείας δὲ καὶ Ἀλωέως γεγόνασι παῖδες Ὦτος καὶ Ἐφιάλτης. οἵτοι ἀσεβῶς διετέθησαν περὶ τὴν Ἄρτεμιν, καὶ ποτε εἰς ἔλαφον ἡ θεὸς ἑαυτὴν μεταποιήσασα, θηρεύσειν αὐτοῖς κατὰ τὴν Νάξον ἐν μέσῳ ὤφθη. οἱ δὲ κατατοξεύσειν τὴν ἔλαφον ὑπολαμβάνοντες, ἔλαθον ἀλλήλους τιτρώσκοντες. τότε ὖν ἐπὶ τῷ ἐκτραπέλῳ τῷ Ἰάσονος σώματος ἔλαβεν. Ἄλλως. ἐν τῇ Νάξῳ τεθνήκασιν οἱ Ἀλωάδαι, οἱ κλοὶ ἐκεῖνοι. μέμφεται δὲ Χαῖρις ἐπὶ τῇ παραλήψει τῶν Ἀλωϊδῶν. ἀρκεῖ γὰρ ὁ Ἀπόλλων καὶ ὁ Ἄρης. θεοῖς μὲν γὰρ εἰκάσομέν τινας, ἀνθρώποις δὲ ὑπερφυέσι καὶ τερατώδεσιν οὐκέτι. ὅτι δὲ εὑρετὴς ἦν ὁ Ἰάσων, δῆλον ἐκ τοῦ καὶ τὴν Ἥραν, κατά τινας, αὐτῷ ἐπιμανῆναι.

160. Καὶ μὰν Τιτυὸν] ἀλλὰ μὴν καὶ τὸν Τιτυὸν τὸ τῆς Ἀρτέμιδος βέλος ἐθήρευσε καὶ ἀνεῖλεν, ἐκ τῆς ἀνικήτου βελοθήκης ὁρμώμενον. ἀκύρως δὲ τὸν Τιτυὸν ἐνταῦθα παρατίθησι, τερατώδη ὄντα τὸ σῶμα καὶ ἄλλως ἀσεβῆ. Ἄλλως. ὁ μὲν Τιτυὸς μέγας ἦν, καλὸς δὲ οὔ. ὅτι δὲ ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος ἐτελεύτησε τοξευθεὶς, Φερεκύδης φησίν· ἐπάγει δὲ καὶ αὐτὸς, ὅτι τοξευθεὶς ὁ Τιτυὸς ὑπὸ τῆς Ἀρτέμιδος καὶ φονευθεὶς, παράδειγμα τοῖς μετὰ ταῦτα γέγονεν, ὅπως ἂν μὴ τις τῶν δυνατῶν ἐπιθυμιῶν ὀρέγηται.

165. Τοῦ

Σ. ε'. Κ. ιδ'.

Τοὶ μὲν ἀλλάλοισιν ἀμειβόμενοι
Γάρυον τοιαῦτ'. ἀνὰ δ' ἡμιόνοις
Ξεστᾷ τ' ἀπήνᾳ ποτροπάδαν Πελίας
Ἵκετο σπεύδων. τάφε δ' αὐτίκα, πα-
πτήναις ἀρίγνωτον πέδιλον
Δεξιτερῷ μόνον ἀμ-
φὶ ποδί. κλέ ων δὲ θυμῷ
Δεῖμα προσέννεπε· „ποί-
αν γαῖαν, ὦ ξεῖν', εὐχεαι
Πατρίδ' ἔμμεν; καὶ τίς ἀνθρώ-
πων σὲ χαμαιγενέων πολιᾶς
Ἐξανῆκεν γαστρός; ἐ-
χθίστοισι μὴ ψεύδεσι
Καταμιάναις εἰπὲ γένναν."

Α. ε'.

165. Τοὶ μὲν ἀλλάλοισιν] ὁ γὰρ· τοιαῦτα μὲν οἱ κατὰ τὴν ἀγορὰν Μάγνητες ὄντες ἀλλήλοις διαλεγόμενοι ἔλεγον· ἐν δὲ τοῖς ἡμιόνοις καὶ τῇ εὐδόξῳ ἀπήνῃ ἐπτοημένως παρεγένετο σπεύδων ὁ Πελίας. εὐθέως δὲ κατεπλάγη θεασάμενος τὸ ἄγαν αὐτῷ διὰ τὸν χρησμὸν εὔγνωστον ὑπόδημα τῆ Ἰάσονος, τῷ δεξιῷ αὐτῆ περικείμενον ποδί. πέδιλον δὲ νῦν εἶπε τὴν κρηπῖδα. πάντα γὰρ τὰ τοῖς ποσὶ περιειλύμενα, πέδιλα καλεῖται. Ἄλλως. ἐξεπλάγη δὲ ἰδὼν τὸν μονοκρηπῖδα, ὡς κατ' αὐτῆ τί δράσω λέγοντος τῆ Ἰάσονος, καὶ τῆ χρησμῆ νῦν ἀποτελεσμένῃ.

171. Κλέπτων δὲ θυμῷ] ὑποκλέπτων δὲ τῇ ψυχῇ τὸν φόβον, τὸν περὶ τὸν χρησμὸν, προσεῖπε.

172. Ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι] ποίαν γῆν, ὦ ξένε, καυχᾷ ἔχειν πατρίδα, καὶ τίς σε τῶν χαμαιγενέων ἀνθρώπων ἐκ τιμίας ἀνῆκε γαστρός; εἰπὲ, μὴ τοῖς ἐχθροῖς ψεύδεσι τὴν τιμίαν καταμιάνῃς.

174. Ἀνθρώπων χαμαιγενέων] τὸ ἀνθρώπων ἅρμοζε τῷ ἔτεκεν, ὃ καὶ ἐπ' ἀρσένων τίθεμεν. τὸ δὲ γυναικῶν τῷ νῦν κειμένῳ, ἐξανῆκε γαστρός. ἴδιον γὰρ τῶν γυναικῶν τοῦτο. πολιᾶς δὲ νῦν λέγει, ἀντὶ τῆ, τῆς τιμίας, παρὰ τὸ τῆ γήρως ἔντιμον.

177. Μὴ ψεύδεσι μιάναις (sic)] λείπει τὸ, ἤτοι τὸ εἶδος, ἢ τὸν λόγον. οἷον, μὴ μολύνῃς τοῖς ψεύδεσι τὴν μορφὴν καὶ τὸ εἶδος· εἰπὲ, πόθεν γεγένησαι, ἤτοι πρὸς τὸ εἶδος, καὶ ἐλευθέρως φθέγγε.

180. Φαμὶ

Α. ε. Κ. ιδ'.

Τὸν δὲ θαρσήσας ἀγανοῖσι λόγοις
Ὦδ' ἀμείφθη· „Φαμὶ διδασκαλίαν
Χείρωνος οἴσειν. ἄντροθε γὰρ νέομαι
Παρ' Χαρικλοῖς καὶ Φιλύρας, ἵνα Κενταύρῳ μὲ κῆρι θρέψαν ἀγναί.
Εἴκοσι δ' ἐκτελέσαις
Ἐνιαυτὰς, ἄτε ἔργον,
Οὔτ' ἔπος ἐντράπελον
Κείνοισιν εἰπὼν, ἰκόμαν
Οἶκαδ', ἀρχαίαν κομίζων
Πατρὸς ἐμοῦ, βασιλευομένην

Οὐ

180. Φαμὶ διδασκαλίαν] φημὶ καὶ διαβεβαιοῦμαι τὴν Χείρωνος διδασκαλίαν κομίζειν, ἀντὶ τοῦ, γνώσῃ διὰ τῶν λόγων, ὅ ψευδόμενόν με, ὡς τοῦ Χείρωνος αὐτὸν ἐλευθερίως ἀναθρέψαντος καὶ διδάξαντος μὴ ψεύδεσθαι. Ἄλλως. διδασκαλία τοῦ Χείρωνος, ἡ ἀλήθεια· οἷον, ὃ ψεύσομαι, ἀλλὰ τὴν ἀλήθειαν ἐρῶ, ἣν ἔμαθον παρὰ Χείρωνος, δικαίᾳ τυγχάνοντος.

181. Ἄντροθε γὰρ νέομαι] ἔθος δὲ αὐτῷ, τῶν τοπικῶν τὸ ν ἀφαιρεῖν. ὁ δὲ νῦς· ἐκ γὰρ τοῦ Χειρωνίᾳ σπηλαίᾳ παραγίνομαι, ἀπὸ τῆς Χαρικλοῦς καὶ Φιλύρας, ἔνθα με αἱ τοῦ Κενταύρου ἄγναι κόραι ἀνέθρεψαν. καὶ Φιλύρα μὲν μήτηρ Χείρωνος ἦν, ἡ δὲ Χαρικλὼ, γυνὴ, θυγάτηρ Ἀπόλλωνος, ἣ ὥς τινες, Πέρσῃ ἢ Ὠκεανῷ, ἐξ ἧς καὶ Χείρωνος, Κάρυστος. ὁ δὲ Ἡσίοδος Ναΐδα φησὶ τὸν Χείρωνα γῆμαι.

184. Εἴκοσι δ' ἐκτελέσαις] εἴκοσι δὲ ἐκπληρώσας ἐνιαυτὰς παρὰ Χείρωνι, ἄτε ἔργον ἄτε λόγου ἐκείνοις ἀπαίδευτον εἰπών, παρεγενόμην εἰς τὰ οἰκεῖα, τὴν ἀρχὴν καὶ βασιλείαν σπεύδων ἀναλαβεῖν τοῦ πατρὸς Αἴσονος, ὑπ' ἄλλῳ νῦν παρὰ τὸ δίκαιον ὄσαν. εὐτράπελον δὲ, ἀπαίδευτον, αἰσχρὸν, ὃ ἐντρέψαιτο ἄν τις, ἢ ἐναντίον, καὶ αἰσχρὸν, ὃ ἄν τις ἐντραπείη.

188. Οἶκαδ' ἀρχαίαν κομίζων] παραγώγως ἐξηγαγεν τὴν ἀρχὴν, ὡς καὶ Ὅμηρος τὴν ἀνάγκην. Ἀναγκαίη γάρ, φησιν, (Od. XIX, 73.) ἐπείγει. Ἄλλως. Χαίρις γράφει, ἀρχὴν ἀγκομίζων πατρὸς ἐμοῦ, ἵν' ᾖ, τὴν ἀρχὴν ἀνακομιζόμενος τοῦ ἐμοῦ πατρὸς, ὅτις βασιλεύεται παρὰ πάντα τὰ δίκαια. ὁ γὰρ Πελίας ἀφείλετο τὸν Αἴσονα τὴν ἀρχήν.

190. Τὰν

Οὐ κατ' αἶσαν, τάν ποτε
Ζεὺς ὤπασεν λαγέτα
Αἰόλῳ καὶ παισὶ, τιμάν.

Ε. έ. Κ. ιγ'.

Πεύθομαι γάρ μιν Πελίαν ἄθεμιν
Λευκαῖς πιθήσαντα φρεσὶν
Ἀμετέρων ἀποσυ-
λᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων·
Τοί μ', ἐπεὶ πάμπρωτον εἶδον

Φέγ-

190. Τάν ποτε Ζεὺς ὤπασεν] ἡντινά ποτε, φησὶ, βασιλείαν ὁ Ζεὺς ἐχαρίσατο τῷ Αἰόλῳ, καὶ τοῖς ἑαυτῷ παισίν. ἡ δὲ γενεαλογία ἧτω· Προμηθέως Δευκαλίων, ᾧ Ἕλλην, ᾧ Αἴολος, ᾧ Κρηθεὺς καὶ Ἀθάμας καὶ Σαλμωνεύς· καὶ Κρηθέως μὲν παῖς Αἴσων, Αἴσονος δὲ Ἰάσων· Σαλμωνέως δὲ Τυρώ, ἧς καὶ Ποσειδῶνος Πελίας καὶ Νηλεύς.

193. Πεύθομαι γάρ μιν] κατακλῶ δέ, φησι, τὸν ἄδικον Πελίαν, ταῖς ἀνοήτοις πεισθέντα φρεσὶ, τὴν τῶν ἡμετέρων ἀποσυλῆσαι βασιλείαν.

194. Λευκαῖς πιθήσαντα φρεσὶ] λευκὰς εἶπε φρένας, κατὰ τὸ ἐναντίον τῷ παρ' Ὁμήρῳ μελαίνας, ἃς ἐκεῖνος ἀπὸ τῶν ἐν βάθει διαφαινομένων ὑδάτων κατὰ μεταφορὰν ὠνόμασε. τὰ μὲν γὰρ ἐπιπόλαια τῶν ὑδάτων, διαυγῆ καὶ λευκά, τὰ δὲ ἐν βάθει, μέλανα. διόπερ τὰς μὲν ἐπιπολαίους λευκὰς φρένας εἶπε Πίνδαρος, τὰς δὲ ἐν βάθει μελαίνας Ὅμηρος.

195. Ἀμετέρων ἀποσυλᾶσαι] Χαίρις γράφει, ἀμετέρων, καὶ περισπᾷ τὸ ἀρχεδικᾶν, ἵν' ᾖ, τῶν ἡμετέρων πατέρων τῶν ἀρχεδικῶν ἀποσυλῆσαι αὐτὸν πεύθομαι. ἐὰν δὲ ἀρχεδίκαν, τὴν ἀρχὴν, ἣν κατὰ δίκην, τυτέσι κατὰ τὸ δίκαιον εἶχον οἱ ἐμοὶ γονεῖς. προτέταχε γὰρ τὴν ἀρχὴν, ἰκόμαν οἰκάδε ἀρχαίαν κομίζων· διόπερ ἀκολούθως ἐπήγαγεν, ἀμετέραν ἀποσυλῆσαι. εἰ δὲ περισπωμένως ἀναγινώσκομεν ἀρχεδικᾶν, ἐκ ἐκκόπτει ἡ γραφή· ἔστω γὰρ λόγος τοιοῦτος· τὴν ἡμετέραν ἀρχὴν τῶν ἀρχεδικῶν μὲ γονέων πεύθομαι τὸν Πελίαν ἀποσυλῆσαι.

197. Τοί μ' ἐπεὶ πάμπρωτον] οἵ τινές με, φησὶν, οἱ γονεῖς, ἐπειδὴ τεχθεὶς τὸ πρῶτον φῶς ἐθεασάμην, τῇ ἀδικωτάτῃ βασιλέως δεδοικότες τὴν ὕβριν, φροντίδα καὶ λύπην πένθιμον ὥσπερ τετελευτηκότος ἐν τοῖς οἴκοις θέμενοι σὺν θρήνῳ γυναικείῳ, λαθραίως ἔπεμπον, ἐνδησάντες σπαργάνοις πορφυροῖς, κοινωνὸν τὸ τῆς νυκτὸς σκότος

Φέγγος, ὑπερφιάλᾳ ἀγεμόνος
Δείσαντες ὕβριν, κᾶδος ὡσ-
εί τε φθιμένᾳ δνοφερὸν
Ἐν δώμασι θηκάμενοι μετὰ κώ-
κυτῷ γυναικῶν, κρύβδα πέμ-
πον σπαργάνοις ἐν πορφυρέοις,
Νυκτὶ κοινάσαντες ὁδὸν, Κρονίδᾳ
Δὲ τράφεν Χείρωνι δῶκαν.

Σ. ς'. Κ. ιδ'.

Ἀλλὰ τάτων μὲν κεφάλαια λόγων
Ἴστε. λευκίππων δὲ δόμος πατέρων,
Κεδνοὶ πολῖται, φράσσατέ μοι σαφέως.
Αἴσονος γὰρ παῖς ἐπιχώριος ἁ
Ξείναν γε ἑπόμαν γαῖαν ἄλλων.
Φὴρ δέ με θεῖος Ἰά-

σονα

σκότος τῇ μηχανήματος ἐσχηκότες, καὶ δεδώκασί με ἀνατρέφειν τῷ Χείρωνι. Ἄλλως. οἱ γονεῖς οἱ ἐμοὶ, ὅτε ἐγεννήθην, δείσαντες τὴν ὕβριν τῆ ἡγεμόνος Πελίᾳ, ὑποθέντες τεθνηκένᾳ με καὶ κηδεύειν μετὰ γυναικῶν κωκυτῷ, ὡς ἐκφορὰν τελοῦντες, κρύφα καὶ νύκτωρ ἔπεμψαν πρὸς τὸν Χείρωνα, ἵνα μηδὲν πάθω ὑπὸ τῆ Πελίᾳ.

203. Σπαργάνοις ἐν πορφυρέοις νυκτὶ κοινάσαντες ὁδὸν, Κρονίδᾳ δὲ τράφεν Χείρωνι δῶκαν] τῇ νυκτὶ κοινωνήσαντες κατὰ τὴν ὁδὸν, ἀντὶ τῆ, νυκτὸς μὲν κατακρύψαντες. Κρονίδᾳ δὲ, τῷ Χείρωνι· ἐκ γὰρ Κρόνου καὶ Φιλύρας.

206. Ἀλλὰ τάτων μὲν κεφάλαια λόγων] ἀλλὰ τάτων μὲν τῶν λόγων τὴν κεφαλὴν καὶ τὸ πέρας γινώσκετε, ἤτοι τὰ μείζονα καὶ καίρια, τῶν δὲ ἱππικῶν μοι πατέρων τὰς οἴκας μηνύσατε, ὦ ἔντιμοι πολῖται. Αἴσονος γὰρ παῖς ἐπιχώριος ὑπάρχων ἐκ εἰς ξένην ἦκω γῆν. εὐεπιφόρως δὲ ὁ Πίνδαρος λευκίππους καλεῖ αὐτὺς· Λευκίππων Μυκηναίων προφᾶται (Fragm. Pind. p. 104. Schneid.).

211. Φὴρ δέ (sic) με θεῖος] παρὸ ἰατρὸς ἦν, τὸν ἐκτραφέντα ὑπ' αὐτῆ φερωνύμως Ἰάσονα ἐκάλεσε, παρὰ τὴν ἴασιν. ὁ δὲ νῆς· ὁ Κένταυρος δέ με Ἰάσονα ἐκάλεσε, καὶ θήρα μὲν διὰ τὴν συμβολὴν τῆ σώματος καὶ τὴν φύσιν, θεῖον δὲ, ἤτοι παρὰ τὴν δικαιοσύνην, ἢ παρὰ τὸν τεκόντα Κρόνον.

213. Ὡς

σονα κικλήσκων προσηύδα.“
Ὡς φάτο. τὸν μὲν ἐσελ-
θόντ᾽ ἔγνον ὀφθαλμοὶ πατρός.
Ἐκ δ᾽ ἄρ᾽ αὐτῆ πομφόλυξαν
Δάκρυα γηραλέων γλεφάρων·
Ἂν περὶ ψυχὰν ἐπεὶ
Γάθησεν, ἐξαίρετον
Γόνον ἰδὼν, κάλλιστον ἀνδρῶν.

Α. ς΄. Κ. ιδ΄.

Καὶ κασίγνητοι σφίσιν ἀμφότεροι
Ἦλυθον κείνῳ γε κατὰ κλέος· ἐγ-

γυὺς

213. Ὡς φάτο] ὅτως εἶπε· τοῦτον δὲ τὸν Ἰάσονα εἰσελθόντα ἐγνώρισαν οἱ τῷ πατρὸς ὀφθαλμοὶ, καὶ ἅμα τῇ γνώσει ἀπὸ τῶν γεγηρακότων βλεφάρων ἀπερράσθησαν δάκρυα, ἐπειδὴ κατὰ τὴν ἑαυτῆ ψυχὴν ἐξαιρέτως καὶ ὑπερβεβλημένως ἤσθη. τὸ δὲ ἀνερράσθησαν ὡς ἐπὶ ζεστῶν ὑδάτων ἔφη, κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ἀναζεόντων ὑδάτων. τοιοῦτος γὰρ ἦχος γίνεται ἀπὸ ἀναβρασμοῦ. τοῦτο γάρ φησιν ἐκ τοῦ παρεπομένου, ἀντὶ τοῦ ἐδάκρυσε. γίνεται δὲ τοῦτο, ἐπειδὰν ὑπέρμετρος χαρὰ ἐπιτέσοι, ὥστε ἀκουσίως δακρύειν. Σοφοκλῆς (Fragm n. 82. p. 486. T. III. ed. Brunk. mai. 8.)·

Χῶρος γὰρ ὅτος ἐστιν ἀνθρώπῳ φρενῶν,
Ὅστις τὸ τερπνὸν καὶ τὸ πημαῖνον φύει·
Δακρυβρόοι γὰν καὶ τὰ καὶ τὰ τυγχάνων.

Ζητεῖται δὲ, πῶς δυνατὸν, τὸν ὑπὸ τὴν γένεσιν ἐν σπαργάνοις τεθέντα, νῦν δὲ τετελειωμένον κατὰ τὴν ἡλικίαν γνωρίσαι; ἢ δεῖ λέγειν, ὅτι διὰ χρόνου τινὸς ὁ Αἴσων ἐπισκεψόμενος τὸν υἱὸν λεληθότως ἐπορεύετο πρὸς τὸν Κένταυρον· αὐτὸς γὰρ ἐξέθετο, ὅπως ἐκτραφῇ. διὸ καὶ ἐγνώρισεν αὐτὸν εἰς τὴν ἰδίαν κατελθόντα. κατὰ κλέος δὲ, κατὰ τὴν Ἰάσονος ἐπάνοδον.

221. Ἐγγὺς μὲν Φέρης] ἐγγὺς αὐτὸ τοῦ ἐγγύθεν, ἐκ τοῦ σύνεγγυς τόπου, τῶν Φερῶν ἐγγὺς κειμένων τῇ Ἰωλκῷ. Ὑπερία δὲ κρήνη ἐν ταῖς Φεραῖς, ὡς Σοφοκλῆς (T. III. p. 486. Br.)·

Ὦ γῆ Φεραία χαῖρε· σύγγονον δ᾽ ὕδωρ
Ὑπερία κρήνη, νᾶμα θεσφιλέστατον.

Φασί δέ τινες, ἀπὸ Ὑπέρητος λαβεῖν αὐτὴν τὸ ὄνομα, ὡς Φερεκύδης. Φησὶ γὰρ ὅτω (Fragm. p. 175. Sturz.)· Μέλας ὁ Φρίξου παῖδι

γὺς μὲν Φέρης, κράναν Ὑπερηίδα λιπών,
Ἐκ δὲ Μεσσάνας Ἀμυθάν· ταχέως
Δ' Ἄδματος ἶκεν καὶ Μέλαμπος
Εὐμενέοντες ἀνε-
ψιόν. ἐν δαιτὸς δὲ μοίρᾳ
Μειλιχίοισι λόγοις
Αὐτὰς Ἰάσων δέγμενος,
Ξείνι' ἀρμόζοντα τεύχων,
Πᾶσαν ἐς εὐφροσύναν τάνυεν,
Ἀθρόαις πέντε θραπὼν
Νύκτεσσιν ἔν θ' ἀμέραις
Ἱερὸν εὐζωᾶς ἄωτον.

E. 5'.

γαμεῖ Εὐρύκλειαν. τῶν δὲ γίνεται Ὑπέρης, ὃς ᾤκει ἐπὶ τῇ κρήνῃ τῇ ἀπ' αὐτὸ κληθείσῃ Ὑπερείᾳ. κατ' ἐνίους δὲ καὶ ἔκδοσις παρ' Ὁμήρῳ ὕτως ἔχει (Il. II, 711.)·

Οἵ δὲ Φερὰς ἐνέμοντο, ἰδὲ κρήνην Ὑπερείαν.

εἶναί δέ φασι καὶ ἐν Λακωνικῇ Ὑπερείαν κρήνην.

223. Ἐκ δὲ Μεσάνας Ἀμυθάν] ἐκ δὲ τῆς Μεσήνης τῆς Λακωνικῆς πόλεως ὁ Ἀμυθὰν παραγίνεται. καὶ ὅτι ὕτοι Αἴσονος ἀδελφοὶ, καὶ Ὅμηρός φησι (Odyss. XI, 258.)·

Τὸς δ' ἑτέρης Κρηθῆϊ τέκεν βασίλεια γυναικῶν
Αἴσονά τ' ἠδὲ Φέρητ' Ἀμυθάονά θ' ἱππιοχάρμην.

Ταχέως δ' Ἄδματος ἶκεν καὶ Μέλαμπος] ὕτοι ἐκείνων ἦσαν υἱοὶ, καὶ σὺν τοῖς πατράσιν αὐτῶν ἦλθον. Ἀμυθάονος γὰρ Μελάμπους, Φέρητος δὲ Ἄδμητος, ἀνεψιοὶ τῆ Ἰάσονος.

226. Ἐν δαιτὸς δὲ μοίρᾳ] ἐν δὲ τῷ συμποσιακῷ καιρῷ καὶ τῇ μερίδι τῆς εὐωχίας προσηνέσι λόγοις αὐτὰς ὁ Ἰάσων δεξιούμενος, ξένια ἁρμόζοντα κατασκευάζων, πᾶσαν εὐφροσύνην καὶ ἡδονὴν αὐτοῖς ἐξέτεινεν.

228. Ἰάσων δέγμενος] ὐχ ὡς πάντας ὑποδεδεγμένης τῆ Ἰάσονος τὰς περὶ Φέρητα δεῖ νοεῖν, ἀλλ' ἐπειδὴ διὰ τὴν παρουσίαν αὐτῆ ἐγένετο ὑπὸ Αἴσονος τῦ πατρὸς ἡ ξενία τοῖς ἀδελφοῖς, διὰ τῦτο εἶπεν αὐτὸν ὑποδέχεσθαι. ἡ γὰρ ἀναφορὰ τῆς ξενίας εἰς αὐτὸν ἀνήγετο.

231. Ἀθρόαις πέντε θραπὼν] ἀδιαλείπτως διὰ νυκτὸς καὶ ἡμέρας τὸ ἄνθος τῆς ζωῆς ἀποδρέπων αὐτοῖς τὰ πρὸς εὐωχίαν παρεχόμενος. ὁ δὲ νῦς· ἐν πέντε δὲ ἡμέραις δρεπόμενος τὸ ἱερὸν τῆς ζωῆς ἀπάνθισμα, τὴν εὐφροσύνην, ἐξένιζε τὰς συγγενεῖς.

334. Ἀλλ'

Ε. ς'. Κ. ιγ'.

Ἀλλ' ἐν ἕκτᾳ, πάντα λόγον θέμενος
Σπερδαῖον ἐξ ἀρχᾶς ἀνὴρ
Συγγενέσιν παρεκοι-
νᾶθ'. οἱ δ' ἐπέσποντ'. αἶψα δ' ἀπὸ κλισιᾶν
Ὦρτο σὺν κείνοισι. καί ῥ' ἦλ-
θον Πελία μέγαρον· ἐσσύμενοι
Δ' ἔσω κατέσαν. τῶν δ' ἀκέ-
σαις αὐτὸς ὑπαντίασεν
Τυρὼς ἐρασιπλοκάμῳ γενεά.
Πρᾳΰν δ' Ἰάσων μαλθακᾷ
Φωνᾷ ποτιφάζων ὄαρον
Βάλλετο κρηπῖδα σοφῶν ἐπέων·
„Παῖ Ποτειδᾶνος Πετραίᾳ,

Σ. ζ'.

234. Ἀλλ' ἐν ἕκτᾳ] ἀλλ' ἐν τῇ ἕκτῃ ἡμέρᾳ τὸν ὅλον λόγον τὸν σπερδαῖον ἐξ ἀρχῆς ὁ Ἰάσων τοῖς συγγενέσιν ἑαυτῷ ἐκοινώσατο, οἱ δὲ ἀκούσαντες ἐπέσποντο καὶ ἠκολούθησαν, ἀντὶ τοῦ, συνῆσαν αὐτῷ καὶ τὴν αὐτὴν γνώμην ἀνέλαβον. Ἄλλως. οἷον ἐπηκολούθησαν αὐτῷ τῇ προαιρέσει εὐωχηθέντες.

237. Αἶψα δ' ἀπὸ κλισιᾶν] ταχέως δὲ ἀπὸ τῶν σκηνῶν σὺν τοῖς προρρηθεῖσιν ὥρμησεν ὁ Ἰάσων, καὶ δὴ παρεγένοντο εἰς τὸν τοῦ Πελίου οἶκον· σπερδαίως δὲ ἔσω τοῦ οἴκου κατέσησαν.

242. Τυρὼς γενεά] Ὅμηρος (Od. XI. 253.)·

Ἡ δ' ὑποκυσσαμένη Πελίαν
τέκε καὶ Νηλῆα.

ὁ δὲ νεώτερος· ἡ δὲ Τυρὼς γενεά, τουτέστιν ὁ Πελίας, τούτων ἀκούσας καὶ αἰσθόμενος τὴν εἴσοδον, ἀπήντησεν αὐτοῖς.

243. Πρᾳΰν δ' Ἰάσων] μαλθακῇ δὲ καὶ ἡ τραχεῖα φωνὴ ἀπὸ τοῦ σώματος λόγον τάζων κατεβάλετο βάσιν καὶ ἀρχὴν τῶν σοφῶν λόγων. Ὄαρον δὲ, τὴν ὁμιλίαν, ἐξ ἧς καὶ ὀαρίζω, τὸ ὁμιλῶ, καὶ ὀαριστὺς, ἡ ὁμιλία.

246. Παῖ Ποσειδῶνος (sic) Πετραίᾳ] Πετραῖος τιμᾶται Ποσειδῶν παρὰ Θεσσαλοῖς, ὅτι διατεμὼν τὰ ὄρη τὰ Θετταλικὰ, λέγω δὴ τὰ Τέμπη, πεποίηκε δι' αὐτῶν ἐπιτρέχειν τὸν ποταμὸν Πηνειὸν, πρότερον διὰ μέσης τῆς πόλεως ῥέοντα καὶ πολλὰ τῶν χωρίων διαφθείροντα. καὶ Καλλίμαχος (Hymn. in Del. 105.)·

Φεῦγε δὲ καὶ Πηνειὸς ἐλισσόμενος διὰ Τεμπέων.

οἱ δὲ, ὅτι ἐπί τινος πέτρας κοιμη-

Σ. ζ'. Κ. ιδ'.

Ἐντὶ μὲν θνατῶν φρένες ὠκύτεραι
Κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον,
Ταραχεῖαν ἐρπόντων πρὸς ἐπίβδαν ὅμως.
Ἀλλ' ἐμὲ χρὴ καὶ σὲ θεμισσαμένους
Ὀργὰς ὑφαίνειν λοιπὸν ὄλβον.
Εἰδότι τοι ἐρέω·

Μία

θεὶς ἀπεσπερμάτισε, καὶ τὸν θορὸν δεξαμένη ἡ γῆ ἀνέδωκεν ἵππον πρῶτον, ὃν ἐπεκάλεσαν Σκύφιον. Ἄλλως. ἐπίθετον Ποσειδῶνος ὁ Πετραῖος. φασὶ δὲ καὶ ἀγῶνα διατίθεσθαι τῷ Πετραίῳ Ποσειδῶνι, ὅπερ ἀπὸ τῆς πέτρας ἐξεπήδησεν ὁ πρῶτος ἵππος. διὸ καὶ Ἵππιος ὁ Ποσειδῶν.

249. Πρὸς ἐπίβδαν] ἐπίβδαι κυρίως καλοῦνται αἱ ἑπόμεναι τῶν ἑορτῶν ἡμέραι, αἱ μεθέορτοι, ἐπιβάδες τινὲς οὖσαι, οἷον ἐπαγόμεναι τῇ ἑορτῇ. τινὲς δὲ φασι, παρεμβεβλῆσθαι τὸ βῆτα. τὰς γὰρ ἐπὶ δαιτὶ λέγουσιν ἐπίβδας, ὡς τὴν σίβδην, σίβδην, καὶ ἔασον, ἔβασον. οἱ δὲ, μετῆχθαι ἀπὸ τῶν ἐπιβδαλομένων προβάτων. βδάλλοντες γὰρ οἱ ποιμένες ἅπαξ, αὖθις ἐπιβδάλλουσι. νῦν δὲ σημαίνει τὸ μέλλον, καὶ τὸ μετὰ ταῦτα. ὁ δὲ λόγος· αἱ τῶν ἀνθρώπων φρένες πρὸς ταραχεῖαν ἑρπόντων ἐπίβδαν, ὡς ἄν τις εἴπῃ, καίπερ τοῖς τοιούτοις, μετὰ τὴν παροῦσαν εὐφροσύνην τὸ κέρδος, ταραχείας ἐπιοῦσης ἐπίβδης, ἤ, καίπερ τῷ τοιούτῳ πράγματος τῷ ἀδίκῳ ἢ ἐπικερδοῦς, ταραχείαν ἔχοντος τὴν ἐπίβδην, τυτέσι, τὴν μετὰ ταῦτα ἀπόλαυσιν ὑ τερπνὴν ἔχοντος. ὁ δὲ νῦς· ὦ τῦ Πετραίῃ Ποσειδῶνος παῖ Πελία, αἱ μὲν τῶν ἀνθρώπων φρένες ταχύτεραι ἐπαινέσαι καὶ ἀνελέσθαι τὸ παρὰ τὸ δίκαιον κέρδος· καίτοι ἑρπόντων ἐκ τῆς ἀδικίας πρὸς τὴν ἕξῆς ταραχείαν ὁδὸν, ὅμως τὸ κέρδος τῦ δικαίῦ προκρίνουσιν.

250. Ἀλλ' ἐμὲ χρὴ καὶ σὲ θεμισσαμένους] ἀλλὰ πρόσκειται ἐμὲ καὶ σὲ ἀφεμένους τῶν ἀναγκαίων συντιθέναι εἰς τὸ λοιπὸν τὸν βίον τὴν εὐδαιμονίαν, ἢ δικαίως διακρίναντας τὸς τρόπους ἐκτελεῖν τὴν λοιπὴν εὐδαιμονίαν.

252. Εἰδότι ἐρέω· μία βῦς] βῦν καταχρηστικώτερον τὴν τοκάδα φησὶ, τυτέσι, τὴν μητέρα. λέγεται δὲ μήτηρ Κρηθεῖ καὶ Σαλμωνεῖ Ἐνάρεα. Ἄλλως. Μία βῦς· μεταφορικῶς ὕν φησὶ, μία βῦς, ἀντὶ τῦ, μία γυνή. ἰδίως δὲ, ὑκ ἀπὸ ἀνδρογενείας εἴληφεν ἀπὸ τῦ Αἰόλυ, ἀλλ' ἀπὸ τῆς γυναικὸς, εἰ μὴ ἄρα ὅτοι οἱ πάπποι ἀλλήλοις ὁμογάστριοι, ὅ τε Κρηθεὺς καὶ Σαλμωνεύς, ὁ μὲν Αἴσονος, ὁ δὲ Πελίυ. φησὶ τοίνυν ἔν ἔχομεν γένος. καὶ Ἡσίοδος (Fragm. p. 443.)

Αἰολίδαι δ' ἐγένοντο θεμισπόλοι βασιλῆες,

Κρηθεύς

Μία βᾶς Κρηθεῖ τε μάτηρ
Καὶ θρασυμήδεϊ Σαλ-
μωνεῖ· τρίταισιν δ' ἐν γοναῖς·
Ἄμμες αὖ κείνων φυτευθέν-
τες σθένος ἀελίκ χρύσεον
Λεύσσομεν. Μοῖραι δ' ἀφίσ-
σαντ', εἴ τις ἔχθρα πέλει
Ὁμογόνοις αἰδῶ καλύψαι.

Α. ζ'. Κ. ιδ'.

Οὐ πρέπει νῶν χαλκοτόροις ξίφεσιν,
Οὐδ' ἀκόντεσσιν μεγάλαν προγόνων
Τιμὰν δάσασθαι. μηλά τε γάρ τοι ἐγὼ

Κρηθεὺς ἡδ' Ἀθάμας, καὶ Σίσυφος αἰολομήτης,
Σαλμωνεὺς ἄδικος, καὶ ὑπέρθυμος Περιήρης.
ὁ δὲ νῦς· γιγνώσκοντί σοι λέγω.
μία μήτηρ, ἡ Ἐνάρεα, τῷ Κρηθεῖ καὶ Σαλμωνεῖ· ἐν δὲ τρίταις γοναῖς ἐξ ἐκείνων φυτευθέντες ἡμεῖς, τὴν χρυσῆν δύναμιν τὰ ἠλίᾳ ὁρῶμεν, τυτέσιν· ἐν ζῶσι διάγομεν.

255. Τρίταισι δ' ἐν γοναῖς] ἡ γενεαλογία ἔτω· Σαλμωνέως Τυρώ, Τυρὼς Πελίας. τρίτος ἦν ἀπὸ Σαλμωνέως ὁ Πελίας. ὁ δὲ Ἰάσων καὶ αὐτὸς ἔτω τρίτος· Κρηθεύς ἐσι Σαλμωνέως ἀδελφὸς, Κρηθέως δὲ Αἴσων, Αἴσονος δὲ Ἰάσων. τρίτος ἦν ἀπὸ Κρηθέως. ὁ μὲν ἦν Πελίας ἀπὸ Σαλμωνέως κατὰ μητέρα ἀριθμέμενος, Ἰάσων δὲ κατὰ πατέρα ἀπὸ Κρηθέως.

259. Εἴ τις ἔχθρα] ἐὰν δέ τις ἔχθρα ὁμογόνοις γεννηθῇ, ὥσε καλύπτειν τὴν αἰδῶ καὶ ἀποκρύπτειν, τυτέσι μὴ αἰδεῖσθαι, τὰ τοιάτα πράγματος ἀφίσαντοι αἱ μοῖραι· ὡς ἄν τις εἴπῃ, ἂκ εὐμοιρέσιν, οὐκ ἀγαθῇ μοίρᾳ χρῶντοι. ὁ δὲ Χαῖρις προστιθεὶς τὸ ι', γράφει, ἀφίσαιντο, ἵν' ᾖ εὐκτικὸς ὁ λόγος· ἀφίσαιντο αἱ μοῖραι, εἰ μέλλοι ἐν τῷ γένει ἡμῶν διαφορὰ γενέσθαι, ὥσε πρὸς ἀναίδειαν τραπῆναι. καὶ οὐκ ἀπιθάνως ὁ Χαῖρις τᾶτό φησι.

261. Οὐ πρέπει νῶϊν] ἢ προσῆκον δὲ, οὐδὲ δίκαιον ἡμῖν ἀμφοτέροις, χαλκοτόροις ξίφεσιν, ἤγεν τοῖς τῶ χαλκῶ τιτρώσκεσι ξίφεσιν, οὔτε μὴν ἀκοντίοις, τὴν μεγάλην καὶ περίσημον τῶν προγόνων βασιλείαν διαμοιράσασθαι.

263. Μηλά τε γάρ τοι] τὰ μὲν γὰρ πρόβατα καὶ τὰς τῶν βοῶν ἀγέλας ἀφίημι καὶ συγχωρῶ, καὶ πάντας τοὺς ἀγροὺς, ὅς τινας ἀφελόμενος τῶν ἐμῶν γονέων νέ-

μη,

Καὶ βοῶν ξανθὰς ἀγέλας ἀφίη-
μ' ἀγρούς τε πάντας, τὰς ἀπούρας
Ἀμετέρων τοκέων
Νέμεαι, πλῆτον πιαίνων.
Κὤ με πονεῖ τεὸν οἶ-
κον ταῦτα πορσύνοντ' ἄγαν.
Ἀλλὰ καὶ σκᾶπτόν μόναρχον,
Καὶ θρόνον, ὦ ποτε Κρηθείδας
Ἐγκαθίζων ἱππόταις
Εὔθυνε λαοῖς δίκας,
Τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας

Ε. ζ'. Κ. ιγ'.

Λῦσον ἄμμιν, μή τι νεώτερον ἐξ
Αὐτῶν ἀναζήσῃ κακόν."—
Ὣς ἄρ' ἔειπεν. ἀκᾷ

Δ'

μη, τὸν σὸν οἶκον καὶ πλῆστον ἐκ τῆς ἐπικαρπίας αὔξων. μῆλα δὲ νῦν καταχρησικώτερον πᾶσαν τὴν τῶν τετραπόδων κτῆσιν ἀρχαίζων φησί. καὶ Ὁμήρος (Il. XVII, 550).

Ἀνθρώπους δ' ἀτέπαυσεν ἐπὶ χθονὶ, μῆλα δὲ κήδει.

266. Ἀμετέρων τοκέων] ἀντὶ τῶ τοκέως, τοῦ πατρός. ὁ γὰρ Αἴσων τῶ Πελίᾳ κατὰ μητέρα ἀδελφός.

268. Κοὔ με πονεῖ] οὐκ ἀλγύνει με ταῦτά, φησι, τὸν σὸν οἶκον αὔξοντα, ἀλλὰ τὸ σκῆπτρον τῆς μοναρχίας καὶ ὁ θρόνος τῆς μοναρχίας, ἀπὸ κοινῶ τὸ, πονεῖ με.

271. Ὦι ποτε] ὦ ποτε θρόνω ὁ τοῦ Κρηθέως παῖς Αἴσων ἐπικαθεζόμενος ἐπ' εὐθείας ἦγε τοῖς ὑπηκόοις τὰς δίκας.

274. Τὰ μὲν ἄνευ] ταῦτα μὲν οὖν καὶ χωρὶς τινος ἀνίας καὶ λύπης διάλυσον τῶ δικαίῳ, μή τι νεώτερον ἡμῖν καὶ ἐπιβλαβὲς ἐξ αὐτῆς ἀναταίη κακόν. ἐὰν δὲ ᾖ, ἀναζήσῃ, ἔσαι ὁ νῦς τοιοῦτος· μὴ ὁ νεωτερισμὸς ἡμῖν κακὸν ἀναζήσῃ. Ἄλλως. τινὲς κατὰ συναλοιφὴν θέλουσι τοῦτο ἐξενηνέχθαι, ὡς παρ' Ὁμήρῳ (Iliad. I, 203.)· Ἵνα ὔβριν ἴδῃ Ἀγαμέμνονος Ἀτρείδαο, ἀντὶ τῶ ἴδηαι. οὕτως ὂν ἀναζήσῃ ἀντὶ τῶ ἀναζήσηαι.

277. Ὣς ἄρ' ἔειπεν] οὕτως εἶπεν ὁ Ἰάσων. ὁ δὲ Πελίας ἠρέμα καὶ ἡσύχως ἀνταπεκρίθη αὐτῷ·

278. Ἐσσο-

Δ' ἀνταγόρευσεν καὶ Πελίας· „ἔσομαι
Τοῖος. ἀλλ' ἤδη με γηραι-
ὸν μέρος ἀλικίας ἀμφιπολεῖ·
Σὸν δ' ἄνθος ἥβας ἄρτι κυ-
μαίνει· δύνασαι δ' ἀφελεῖν
Μᾶνιν χθονίων. κέλεται γὰρ ἐὰν
Ψυχὰν κομίζαι Φρίξος, ἐλ-
θόντας πρὸς Αἰήτα θαλάμους,
Δέρμα τε κριὸς βαθύμαλλον ἄγειν,
Τῷ ποτ' ἐκ πόντου σαώθη

278. Ἔσσομαι τοιοῦτος (sic), γενήσομαι τοιοῦτος, οἷος μηδὲν ἀνασῆσαι ἄθλιον καὶ νεώτερόν φησιν· ἀλλὰ ἤδη με τὸ γηραιὸν μέρος τῆς ἡλικίας περικυκλεῖ καὶ περιέχει.

281. Σὸν δ' ἄνθος ἥβας ἄρτι κυμαίνει] μετεωρίζεται· ἀπὸ τῶν κυμάτων ἡ μεταφορά. πρὸς τί δὲ ταῦτα λέγει; ἐγὼ μὲν εἰς ἐπανόρθωσιν τῆ γένους οὐκέτι ἰσχύω τι δρᾶν, γέρων ὤν· σὺ δὲ νέος ὢν δύνασαι ἀπολῦσαι τὸν ἐκ τῶν χθονίων γεγονότα κότον τῷ γένει ἡμῶν. Ἴδιος δὲ ἐστι καὶ ἐνταῦθα ὁ Πίνδαρος μετὰ τῆ δέρως καὶ τὴν ψυχὴν τῆ Φρίξη κελεύων τῷ Ἰάσονι ἐκ τῆς Αἴας κομίσαι καὶ ἀνακαλέσασθαι. ἐπὶ γὰρ τούτῳ μηνίειν τὰς χθονίας δαίμονας. τῶν ἄλλων ἐπὶ μόνην τὴν κομιδὴν τῆ δέρως αὐτὸν ἐκπεμφθῆναι λεγόντων. ὅτι δὲ τὰς ψυχὰς ἀνεκαλοῦντο τῶν ἐπὶ ταῖς ἀλλοδαπαῖς ἀποιχομένων, Ὅμηρος δηλοῖ (Odyss. IX, 64. f.)·

Οὐδ' ἄρα μοι πρότερον νῆες κίον ἀμφιέλισσαι,
Πρίν τινα τῶν δειλῶν ἑτάρων τρὶς ἕκαστον ἀΰσαι.

Ἄλλως. ἐπειδὴ γὰρ ἐν Κόλχοις τέθνηκεν ὁ Φρίξος, κελεύει με δι' ὀνείρων ἀνακαλέσασθαι τὴν ψυχὴν αὐτῆ εἰς Θεσσαλίαν, παραγενόμενον εἰς τὰς τῆ Αἰήτα οἴκας. κελεύει δέ με καὶ τὸ δέρμα τῆ κριῆ ἀγαγεῖν, ᾧ τινί ποτε ἐκ τῆ πόντου διεσώθη, καὶ ἐκ τῶν τῆς μητρυιᾶς ἀθέων βελῶν, τῶν ἐπιβύλων. ἦθος δὲ ἦν τῶν τελευτησάντων ἐπ' ἀλλοδαπῆς, εἰ καὶ μὴ τὰ σώματα εἶη παρ' αὐτοῖς, τὰς γοῦν ψυχὰς διά τινων μυτηρίων ἀνακαλεῖσθαι, καὶ ὥσπερ συμπλεύσας εἰς τὴν πατρίδα διαπεραιοῦν.

284. Κομίξαι] ἦγουν ἀνακομίσαι, ἢ ἐπιμελείας ἀξιῶσαι· ἡρωϊκώτερον δὲ τὸ πρῶτον καὶ ἄξιον τῆ πλοῦ.

288. Ἐκ

Σ. ή. Κ. ιδ΄.

Ἔκ τε ματρυιᾶς ἀθέων βελέων.
Ταῦτά μοι θαυμαστὸς ὄνειρος ἰὼν
Φωνεῖ. μεμάντευμαι δ' ἐπὶ Καταλίᾳ
Εἰ μετάλλατόν τι· καὶ ὡς τάχος ὀ-
τρύνει μὲ τεύχειν ναῦ πομπάν.
Τῦτον ἄεθλον ἑκὼν
Τέλεσον· καί τοι μοναρχεῖν
Καὶ βασιλευέμεν ὄ-
μνυμι προήσειν· καρτερὸς
Ὅρκος ἄμμι μάρτυς ἔστω
Ζεὺς ὁ γενέθλιος ἀμφοτέροις.„ —
Σύνθεσιν ταύταν ἐπαι-
νήσαντες οἱ μὲν κρίθεν.

Αὐτὰρ

288. Ἔκ τε ματρυιᾶς ἀθέων βελέων] ἐκακώθη γὰρ διὰ τὴν μητρυιὰν ἐρασθεῖσαν αὐτῦ, καὶ ἐπεβουλεύθη, ὥστε φυγεῖν. ταύτην δὲ ὁ μὲν Πίνδαρος ἐν Ὕμνοις Δημωτικήν φησιν, Ἱππίας δὲ Γοργῶπιν, Σοφοκλῆς δὲ ἐν Ἀθάμαντι, Νεφέλην, Φερεκύδης Θεμιστώ· ὅς καί φησι, τῶν καρπῶν φθειρομένων ἐκ ταυτομάτυ ἐθελῆσιον δῦναι ἑαυτὴν εἰς σφαγήν. τὸ δὲ ἀθέων βελέων ἀλληγορικῶς ἀντὶ τῦ βουλευμάτων. ὃ γὰρ ἐνδόντος αὐτῦ πρὸς ἃ ἡ μητρυιὰ παρεκάλει, ἐπεβουλεύθη εἰς τὰ τεθρυλλημένα. Ἄλλως. ἀθέων βελέων, τῶν ἐπιβουλῶν φησὶ, καὶ τὴν κατ' Ἰνὼ ἱστορίαν ἐκτίθεται.

289. Ταῦτά μοι θαυμαστὸς ὄνειρος] ταῦτά μοι ὁ θαυμαστὸς ὄνειρος παραγενόμενος ἔλεγεν.

290. Μεμάντευμαι δ' ἐπὶ Καταλίᾳ] ἐμαντευσάμην δὲ εἰς Δελφοὺς, εἰ ἐρευνητέον τι τούτων, ὧν ὁ ὄνειρος καθ' ὕπνυς ὑπέθετο, τυτέσιν, εἰ πρακτέον· καὶ ὡς τάχιστα κελεύει ναῦν παρασκευάσασθαι καὶ καθέλκειν εἰς τὸν ἐπὶ Σκυθίᾳ ἀπόπλυν.

293. Τῦτον ἄεθλον] τῦτον τὸν ἆθλον, φησιν, ἑκὼν ἐκτέλεσον, καί σοι προίημι ἄρχειν καὶ βασιλεύειν τῆς Θεσσαλίας. περὶ δὲ τῶν λεγομένων καὶ τῆς ἀποδόσεως τῆς βασιλείας ὅρκος ἰσχυρὸς καὶ βέβαιος ἡμῖν Ζεὺς ἔστω. γενέθλιος δὲ ἀμφοτέροις, Πελίᾳ τε καὶ Ἰάσονι. Σαλμωνεὺς γὰρ καὶ Κρηθεὺς εἰς Δία τὸ γένος ἀνῆγον.

299. Σύνθεσιν ταύταν] ταύτην τὴν συνθήκην τῶν ὅρκων καὶ τῆς βασιλείας πρὸς ἑαυτὺς ἐπαινέσαντες διεχωρίσθησαν.

301. Αὐ-

Αὐτὰρ Ἰάσων αὐτὸς ἦδη

Α. ή. Κ. ιδ.

Ὄρνυεν κάρυκας ἐόντα πλόον
Φαινέμεν παντᾶ. τάχα δὲ Κρονίδα-
ο Ζηνὸς υἱοὶ τρεῖς ἀκαμαντομάχαι
305 Ἦλθον Ἀλκμάνας θ' ἑλικοβλεφάρῳ
Λήδας τε. δοιοὶ δ' ὑψιχαῖται
Ἀνέρες, Ἐννοσίδα

301. Αὐτὰρ Ἰάσων] ὁ δὲ Ἰάσων αὐτὸς παρώξυνε τὸν ὄντα νηῒ θάσσοντα πλεῖν εἰς Σκυθίαν ἀναφάνερῶν παντα χῆ.

303. Τάχα δὲ Κρονίδαο Ζηνὸς υἱοὶ τρεῖς] πάντας Σοφοκλῆς ἐν ταῖς Λημνιάσι τῷ δράματι καταλέγει τὰς εἰς τὸ Ἄργῶον εἰσελθόντας σκάφος, νηῒ Αἰσχύλος ἐν Κιβήραις. ὁ δὲ Πίνδαρος συναλῆναι τὸν Ἡρακλέα τοῖς Ἀργοναύταις φησιν. ὡς δὲ ἐν Μυσίᾳ ἐξῆλθεν ἐφ' ὕδρευμα, κατελείφθη παρὰ τῶν Ἀργοναυτῶν. οἱ δὲ νεώτεροι διὰ τὸ κατὰ τὴν εἰρεσίαν ἄπειρον αὐτὸν εἶναι νηῒ συντρίβειν τὰς κώπας, ὡς καὶ Ἀπολλώνιός φησι (Argon. I. 1167. f.)·

Δὴ τότ' ἀνοχλίζων τετρηχότος οἴδματος ὁλκὰς
Μεσσόθεν ἆξεν ἐρετμόν.

οἱ δὲ, ὅτι ἐφ' ᾧ ἂν ἐκαθέσθη μέρους, ἐκεῖ ἡ ναῦς ἔκλινεν. ὁ δὲ νῆς ἐστὶ τοιοῦτος· ταχέως δὲ οἱ τῦ Κρόνυ παιδὸς Διὸς τρεῖς παῖδες τὸν ἀριθμὸν, οἱ ἀκοπίαστοι κατὰ τὴν μάχην, παρεγένοντο. νηῒ ἐκ μὲν Ἀλκμήνης Ἡρακλῆς, ἐκ δὲ Λήδας οἱ Διόσκυροι. πάλιν δὲ συλληπτικῶς ἐχρήσατο τῷ τρόπῳ. φαίνεται γὰρ Ἡρακλῆς Ἀλκμήνης καὶ Λήδας υἱὸς ὤν, κατὰ τὸ ἀδιαχώριτον τῦ λόγυ. ἀλλὰ προσήκει ὑποδιαιρῦντας ἑκάτῳ τὸ οἰκεῖον τῆς γενέσεως προσάπτειν. τὸ χωρὶς ὧν συμβεβηκὸς τῷ Ἡρακλεῖ νηῒ ἐπὶ τῶν Διοσκούρων κοινῶς εἴρηκεν. οἱ μὲν γὰρ Διὸς νηῒ Λήδας, ὁ δὲ Ἀλκμήνης μόνος.

306. Δοιοὶ δ' ἀνέρες, Ἐννοσίδα γένος] δύο δὲ ἄνδρες παρεγένοντο, ἐκ Ποσειδῶνος ἔχοντες τὸ γένος, τὴν ἑαυτῶν αἰδεσθέντες δύναμιν, τυτέστιν, ἐκ ἀνάξιᾳ τῆς ἑαυτῶν ἀνδρίας λογισάμενοι· καὶ ὁ μὲν Περικλύμενος ἐκ Πύλυ, ὁ δὲ Εὔφημος ἐκ Ταινάρυ, ὅ ἐστιν ἀκρωτήριον τῆς Λακωνικῆς, παρεγένοντο· πάλιν συλληπτικώτερον. οὐ γὰρ ἀμφότεροι ἀπὸ Ταινάρυ νηῒ Πύλυ, ἀλλ' ὁ μὲν Περικλύμενος, ἐκ Χλωρίδος νηῒ Νηλέως, ἐκ Πύλυ ἐλλεται, Εὔφημος δὲ ἐκ Ταινάρυ, ὡς αὐτὸς προεῖπε. πῶς δὲ Ἐννοσίδα εἶπε τοὺς δύο; Νηλέως γὰρ ὁ Περικλύμενος, ὁ δὲ Νηλεὺς Ποσειδῶνος υἱός· ὁ δὲ Εὔφημος Ποσειδῶνος

Γένος, αἰδεσθέντες ἀλκὰν,
Ἔκ τε Πύλης καὶ ἀπ' ἄ-
κρας Ταινάρης· τῶν μὲν κλέος
Ἔσλον Εὐφάμης τ' ἐκράνθη
Σόν τε, Περικλύμεν' εὐρυβία.
Ἐξ Ἀπόλλωνος δὲ, Φορ-
μικτὰς ἀοιδᾶν πατὴρ
Ἔμολεν, εὐαίνητος Ὀρφεύς.

Ε. ή.

σειδῶνος ἐκ Ταινάρης, υἱωνὸς δὲ ὁ Περικλύμενος ἐκ Πύλης.

308. Αἰδεσθέντες ἀλκὰν] ἐντραπέντες ἣν εἶχον ἀλκὴν καταισχῦναι, εἰ μὴ ὑπακούσειαν τοῖς καλοῦσι, διὰ τοῦτο ὑπέμειναν πλεῦσαι, ἵνα μὴ καταιδεσθῶσιν ὡς ἄνανδροι.

310. Τῶν (sic) μὲν κλέος ἐσλὸν] τούτων μὲν ἦν ἐξ ἀμφοτέρων τῶν Ποσειδῶνος παίδων δόξα τις ἀγαθὴ συνεπεσάνθη κατὰ τὸν ἀπόπλων τῶν Ἀργοναυτῶν.

313. Ἐξ Ἀπόλλωνος δὲ, Φορμικτὰς] παρεγένετο δὲ καὶ ὁ τῶν ἀοιδῶν πατὴρ, ἐξ Ἀπόλλωνος ὤν, καὶ κιθαριστὴς, ὁ εὐαίνητος Ὀρφεὺς, τουτέστιν, ὁ ὑπὸ πάντων ἐπαινούμενος. Ἀπόλλωνος τὸν Ὀρφέα φασὶν εἶναι, ὃν καὶ αὐτὸς ὁ Πίνδαρος καὶ ἄλλοι Οἰάγρου λέγουσιν. Ἀμμώνιος δὲ σύμφωνον τὴν ἱστορίαν θέλων εἶναι, ὕτως ἀποδίδωσιν· ὁ δὲ τοῦ Ἀπόλλωνος μυσικός.

Ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
Ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθονὶ καὶ κιθαρισταί. (Hom. hymn. in Muſ. et Apoll. 2. f.)

ὥσπερ ἂν ἐκ Διὸς λέγωσιν εἶναι τοὺς βασιλεῖς, οὐχ ὅτι γόνος εἰσὶ τοῦ Διὸς, ἀλλ' ὅτι τὸ βασιλεύειν ἐκ Διὸς ἔχουσιν, ὕτως ἐξ Ἀπόλλωνος φορμικτὴν αὐτὸν εἶπεν. ἡγεμὼν γὰρ ὁ θεὸς τῆς κιθαρῳδίας. ὁ μέντοι Χαῖρις ἐκ ἀπιθάνως τούτους φησὶν ὠνομάσθαι τοὺς ἐκ θεῶν γεγονότας, οἷον Διοσκούρους καὶ Ἡρακλέα, ὕτω δὴ καὶ Ὀρφέα, διὰ τὸ Ἀπόλλωνος εἶναι υἱὸν γόνῳ. παρατίθεται δὲ καὶ χρησμόν τινα, ὃν φησιν Μέναιχμον ἀναγράφειν ἐν τῷ Πυθικῷ. ἔχει δὲ ὕτω·

Πιέρες αἰνοπαθεῖς, τυγνὴν ἀποτίσετε λώβαν
Ὀρφέ' ἀποκτείναντες, Ἀπόλλωνος φίλον υἱόν.

καὶ Ἀσκληπιάδης ἐν ἕκτῳ Τραγῳδουμένων ἱστορεῖ Ἀπόλλωνος καὶ Καλλιόπης Ἰμέναιον, Ἰάλεμον, Ὀρφέα.

316. Πέμπε

Ε. ή. Κ. ιγ΄.

Πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους
Υἱὸς ἐπ' ἄτρυτον πόνον,
Τὸν μὲν Ἐχίονα, κε-
χλαδόντας ἤβᾳ, τόν τ' Ἔρυτον. ταχέως
320 Δ' ἀμφὶ Παγγαίῳ θέμεθλα
Ναιετάοντες ἔβαν· καὶ γὰρ ἑκὼν
Θυμῷ γελανεῖ θᾶσσον ἔν-
τυνε βασιλεὺς ἀνέμων
Ζήταν Κάλαΐν τε πατὴρ Βορέας

316. Πέμπε δ' Ἑρμᾶς] ὁ νῦς· συνέτειλε τοῖς ἥρωσιν ὁ χρυσῆν μεταχειριζόμενος ῥάβδον Ἑρμῆς, τὰς διδύμους ἑαυτοῦ παῖδας ἐπὶ τὸν δεινότατον ἆθλον, Ἐχίονα καὶ Ἔρυτον, τῷ τῆς ἀκμῆς ὑπεραίροντας θερμῷ. τὸ δὲ σχῆμα τῆς φράσεως Ἀλκμανικόν. πρὶν γὰρ εἰπεῖν τὰ δύο ὀνόματα, μέσην ἔταξε τὴν μετοχήν.

317. Ἐπ' ἄτρυτον πόνον] τὸν ἀκαταπόνητον, ἐκ δὲ τούτου τὸν ὑπερβεβλημένον ὡς δεινὸν ἐμφαίνει.

318. Κεχλαδόντας ἤβᾳ] ἀντὶ τοῦ πλήθοντας. κυρίως δὲ χλοῆς ἡ μετὰ ἤχου τῶν ὑδάτων ῥύσις, μιμητικῶς εἰρημένη, ὡς καὶ βρόμος πυρός. τῷ δὲ σχήματι τῆς ἑρμηνείας Ἀλκμὰν κέχρηται. ἅπαν γὰρ περὶ δυοῖν ποιεῖται τὸν λόγον, τὸ ἕτερον ὄνομα προθεὶς περὶ ἀμφοῖν ποιεῖται τὸν λόγον, εἶτα ὕστερον τὸ ἕτερον προσαποδίδωσιν, οἷον· Κάστωρ τε, πώλων ταχέων ἀμητῆρες ἱππόται σοφοὶ, καὶ Πολυδεύκης κυδνός. καὶ Ὅμηρος (Il. V, 774.)·

Ἦχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος.

Οἱ δὲ περὶ τὸν Εὔρυτον, Ἀντιανείρας τῆς Μενέτου.

319. Ταχέως δ' ἀμφὶ Παγγαίῳ] ὁ νῦς· ταχύτατα δὲ περὶ τὴν ἐξόρμησιν οἱ περὶ τὸ Πάγγαιον ὄρος οἰκοῦντες Βορεάδαι τοῖς ἥρωσι συνετέλλοντο.

321. Καὶ γὰρ ἑκὼν] καὶ γὰρ αὐτὸς ἑκὼν ψυχῇ προσηνεχθὴς ταχέως ἐκέλευσεν ὁ τῶν ἀνέμων βασιλεὺς Βορέας.

324. Ζήταν Κάλαΐν τε] ἴσως δὲ τὰ ὀνόματα πεποιημένα ἀπὸ τοῦ πατρὸς, οἷον Ζαήτην, τὸν ἄγαν ἄοντα καὶ πνέοντα, καὶ Κάλαϊν, οἷον καλῶς ἄοντα. τινὲς δὲ ἀναιροῦσι τὸν τῶν Βορεαδῶν μῦθον, ὃ βουλόμενοι αὐτοὺς εἶναι πτερωτοὺς, ταχυτάτης δὲ εἶναι πτερωτοὺς, ταχυτάτης δὲ εἶναι καὶ ὠκύτητι τῶν ποδῶν διαφέροντας, καὶ τὴν Ὠρείθυιαν, ὄχ ὅτι Βορέας ἥρπασεν, ἀλλ' ὅτι ἀνὴρ τῶν ἐν Θράκῃ ἐνοίκων. Βορείους δὲ ἐκάλουν οἱ Ἕλληνες τοὺς τὴν Θράκην οἰκοῦντας διὰ τὰ τῷ Βορέᾳ πνεύματα.

Ἄνδρας πτεροῖσι νῶτα πε-
φρίκοντας ἀμφω ποφυρέοις.
Τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοι-
σιν πόθον γ' ἔνδαιεν Ἥρα

Σ. Θ'. Κ. ιδ'.

Ναὸς Ἀργῦς· μή τινα λειπόμενον
Τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν
Αἰῶνα πέσσοντ', ἀλλ' ἐπὶ καὶ θανάτῳ
Φάρμακον κάλλιστον ἐᾶς ἀρετᾶς
Ἄλιξιν εὑρέσθαι σὺν ἄλλοις.
Ἐς δὲ Ἰωλκὸν ἐπεὶ
Κατέβα ναυτᾶν ἄωτος,
Λέξατο πάντας ἐπαι-

νήσαις

ματα. ἐπεμίγνυντο δὲ τοῖς Ἕλλησιν οἱ περὶ Ζήτην καὶ Κάλαϊν, καὶ ἠγωνίζοντο διὰ τὴν πρὸς Ἀθηναίους συγγένειαν, καὶ ἐκαλοῦντο ἀπὸ τῶν τόπων Βορεάδαι. τὸ δὲ πεφρικόντας, ἀντὶ τοῦ διακινοῦντας. φρὶξ γὰρ κυρίως ἡ ἠρεμαία κίνησις τῶν κυμάτων. μυθικῶς δέ τι ἀνέπλασσεν, ἐπτερῶσθαι φήσας τοὺς Βορεάδας, καὶ ἴσως ἀλληγορικώτερον ὁ μῦθος ἔχει διὰ τὰς ταχείας τοῦ πατρὸς πνοάς.

328. Πόθον ἔνδαιεν Ἥρα] ἐπέκαιε δὲ καὶ ἐνέβαλεν ἐπιθυμίαν τοῖς ἥρωσιν ἡ Ἥρα τοῦ Ἀργοῦς σκάφους, ὥστε μή τινα ἀπολειπόμενον ἀκινδύνως καὶ ἀδόξως τὸν αἰῶνα παρὰ μητρὶ μένοντα διαιτᾶσθαι.

329. Μή τινα λειπόμενον] τὸ ὅλον· ἴσως δὲ ἐν ἐπιθυμίᾳ ἐποίει ἡ Ἥρα, μὴ ἔξωθεν κινδύνῳ ἕκαστον παρὰ τῇ μητρὶ μένειν ἀδόξως, ἀλλὰ καὶ ἐπὶ τῷ θανάτῳ τῆς ἰδίας ἀρετῆς κάλλιστον φάρμακον, τὴν μετὰ ταῦτα εὐδοξίαν σὺν τοῖς ἄλλοις ὁμιλίξιν εὑρέσθαι. φάρμακον δ' ἂν θανάτῳ τὴν ἀρετὴν καὶ τὴν εὐκλειάν φησιν, ἀντὶτοῦ, παραμυθίαν τοῦ θανάτου ταύτην εὑρεῖν, τὴν ἀπὸ τῆς διαπλεύσας ἀρετήν.

334. Ἐς δ' Ἰωλκὸν ἐπεὶ κατέβα] ἐπειδὴ δὲ κατέβη εἰς τὴν Ἰωλκὸν τὸ τῶν ναυτῶν ἀπάνθισμα, τυτθίσιν οἱ Ἀργοναῦται. τὸ δὲ κατέβα, ἀντὶ τοῦ κατῆλθε, καὶ πυκνῶς αὐτῷ χρῆται τῷ καταβῆναι, ἀντὶ τοῦ παραγενέσθαι. τὸ δὲ λέξατο, ἀντὶ τοῦ κατέλεξε, καὶ κατελόχισεν, ἢ ἠρίθμησεν. Δ' ἡμέας πρώτης λέγε κήτεσιν (Hom. Od. IV, 452.) καὶ τὸ ὡρολόγιον ὡραριθμὸν ἐστιν, ἐν ᾧ τὰς ὥρας ἀριθμοῦμεν.

337. Καὶ

νήσαις Ἰάσων. καὶ ῥά οἱ
Μάντις ὀρνίχεσσι καὶ κλά-
ροισι θεοπροπέων ἱεροῖς
340 Μόψος ἄμβασε φρατὸν
Πρόφρων. ἐπεὶ δ' ἐμβόλῃ
Κρέμασαν ἀγκύρας ὕπερθεν,

Α. Υ. Κ. ιδ'.

Χρυσέαν χείρεσσι λαβὼν φιάλαν
Ἀρχὸς ἐν πρύμνᾳ πατὴρ Οὐρανιδᾶν

Ἐγχει-

337. Καί ῥα οἱ μάντις] καὶ δὴ τῷ Ἰάσονι ὁ μαντικώτατος Μόψος, ὄρνισί τε καὶ κλήροις μαντευόμενος προθύμως ἐνεβίβασε τῷ σκάφει τοὺς Ἀργοναύτας, αἴσιον γενέσθαι φήσας δηλονότι τὸν ἀπόπλουν. Ἄλλως. τοῖς μαντείαις χρησάμενος ὁ Μόψος ἐνεβίβασε τὸν φρατὸν προθύμως. εἰώθασι δὲ διὰ κλήρων μαντεύεσθαι τοπρὶν, καὶ ἦσαν ἐπὶ τῶν ἱερῶν τραπεζῶν οἱ ἀστράγαλοι, οἷς ῥίπτοντες ἐμαντεύοντο. οἷον, ἐὰν βάλλοντός μου τόδε ἀναβῇ, ἀποτελεσθήσεται τόδε, εἰ δὲ μὴ, οὐκ ἀποτελεσθήσεται. κατ' ἐνίους δὲ, τρισὶν ἐχρήσαντο μάντεσιν οἱ Ἀργοναῦται, Μόψῳ τῷ Ἀμπυκος, Ἰδμονι τῷ Ἄβαντος, καὶ Ἀμφιαράῳ τῷ Οἰκλέος.

341. Ἔπειδ' ἐμβόλῃ] ἰδίως τοῦτό φησιν ὁ Πίνδαρος. οἱ γὰρ ταῖς ἀγκύραις ἐκέχρηντο τότε, ἀλλὰ λίθοις, ὥς φησι καὶ Ἀπολλώνιος. Ἐμβολον δέ φησι τὸ ξύλον, ᾧ ἀναδεσμοῦσι τὴν ἄγκυραν. κοινότατον δέ ἐστιν, ὅτι ἀποπλεῖν μέλλοντες ἀνέλκουσι τὰς ἀγκύρας καὶ τῆς νεὼς ἐξαρτῶσιν. ὁ δὲ νῦς· ἐπειδὴ δὲ τῇ ἐμβόλῃ ἄνωθεν τὰς ἀγκύρας ἐκρέμασαν, ἀποπλεῖν λοιπὸν μέλλοντες, χρυσῆν φιάλην ἐν χερσὶν ἔχων ὁ τῆς νεὼς ἡγεμὼν Ἰάσων κατὰ τὴν πρύμναν ἐπισπεύδων τὸν τῶν θεῶν πατέρα Δία καὶ τὰς τῆς θαλάσσης ὁδοὺς, καὶ τὰς τῆς εὐφροσύνης αἰτίας ἡμέρας ἐκάλει, καὶ τὴν προσφιλεστάτην ἡμέραν τῆς ἐπανόδου, τουτέστιν, ἐπαναστρέψασθαι ἠξίει.

344. Πατέρ' Οὐρανιδᾶν] τὸν Δία. Διατί δὲ πρῶτον ἐπισπεύδων τῇ θαλάσσῃ, Διὶ καὶ ὁ Ποσειδῶνι ἔθυσεν ὁ Ἰάσων; καὶ φαιὲν εἰκότως παρὰ τὸ Ἀράτειον (Phaenom. 2. ff.)·

μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαὶ
Πᾶσαι δ' ἀνθρώπων ἀγοραὶ, μεσταὶ δὲ θάλασσαι
Καὶ λιμένες.

ἐγχειπέρυνον δὲ Ζῆνα, τὸν τῷ κεραυνῷ ἀντὶ ἔγχους χρώμενον. βέλος γὰρ τοῦτο τοῦ Διὸς διδόασιν, ὡς

345 Ἐγχειπέραυνον Ζῆνα, καὶ ὠκυπόρους
Κυμάτων ῥιπὰς ἀνέμων τ' ἐκάλει,
Νύκτας τε, καὶ πόντῳ κελεύθους,
Ἄματα τ' εὔφρονα, καὶ
Φιλίαν νόστοιο μοῖραν.
250 Ἐκ νεφέων δέ οἱ ἀντ-
άϋσε βροντᾶς αἴσιον
Φθέγμα· λαμπραὶ δ' ἦλθον ἀκτῖ-
νες στεροπᾶς ἀπορηγνύμεναι·
Ἀμπνοὰν δ' ἥρωες ἔ-
355 σασαν Θεᾷ σάμασι
Πειθόμενοι. κάρυξε δ' αὐτοῖς

Ε. Θ'. Κ. ιγ'.

Ἐμβαλεῖν κώπαισι τερασκόπος, ἀ-
δείας ἐνίπτων ἐλπίδας.
Εἰρεσίᾳ δ' ὑπεχώ-
360 ρησε ταχειᾶν ἐκ παλαμᾶν ἄκορος.
Σὺν Νότῳ δ' αὔραις ἐπ' Ἀξεί-

νῳ

ὡς τῷ Ποσειδῶνος τὴν τρίαιναν, καὶ Διονύσῳ τὸν θύρσον.

350. Ἐκ νεφέων δέ οἱ] ἐκ τῶν νεφῶν δὲ ἐβρόντησεν αὐτῷ ὁ Ζεὺς αἴσιον, τυτέσι, σύμβολον αὐτῷ ἐδίδου τῆς ὁδοῦ· ἐκ δὲ τῆς βροντῆς ἀντιλάμψεις καὶ λαμπηδόνες ἐγένοντο. ὅταν γὰρ βροντήσῃ, ἀστράπτει. Ὅμηρος (Il. II, 353.)·

Ἀστράπτων ἐπιδέξι' ἐναίσιμα σήματα φαίνων.

354. Ἀμπνοὰν δ' ἥρωες] ἀναπνεύσαντες δὲ οἱ ἥρωες ἔσησαν τοῖς τῦ Διὸς σημείοις πειθόμενοι, δῆλον ὡς πρὸ τύτε ἀγωνιώντων αὐτῶν. τὸ γὰρ, ἀμπνοὰν ἔσησαν, περιφρασικῶς ἀνέπνευσαν δηλοῖ.

356. Κάρυξε δ' αὐτοῖς] ἀνεκήρυξε δὲ αὐτοῖς ὁ μάντις σπυδαιότερον ἐμβαλεῖν ταῖς κώπαις καὶ ἐρέττειν, ἡδείας ὑπεμφαίνων ἐλπίδας. ἡ δὲ κωπηλασία ἐχώρει ἐκ τῶν ταχειῶν χειρῶν τῶν Ἀργοναυτῶν, ἄκορος ὄντα. ἐκ δὲ τύτε τὸ ἄγαν αὐτῶν κατὰ τὴν εἰρεσίαν προθυμον ἐμφαίνει.

361. Σὺν Νότῳ δ' αὔραις] σὺν δὲ ταῖς τῦ νότε πνοαῖς εἰς τὸ ἄξεινον τὸ πόντε τόμα παρεγένοντο, ἔνθα καὶ προκαθιερωμένον εὑρόντες

νθ στόμα πεμπόμενοι ἤλυθον. ἐν-
Θ' ἁγνὸν Ποσειδάωνος ἕσ-
σαντ' εἰναλίᾳ τέμενος —
Φοίνισσα δὲ Θρηικίων ἀγέλα
Ταύρων ὑπῆρχεν — καὶ νεό-
κτιτον λίθινον βωμοῖο θέναρ.
Ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι,
Δεσπόταν λίσσοντο ναῶν,

Σ. ί. Κ. ιδ'.

Συνδρόμων κινηθμὸν ἀμαιμάκετον
Ἐκφυ-

εὑρόντες βωμὸν ἔκτισαν καὶ αὐτοὶ Ποσειδῶνος τέμενος, καὶ δεξάμενοι Θρακικὰς ταύρους πυθρὰς τὴν χροιὰν ἱερήργησαν τῷ Θεῷ. Ὅμηρος μέντοι εἰκείως τῇ τοῦ ὕδατος φύσει καὶ τῷ Ποσειδῶνι ἀπονέμει τὰ ῥύματα (Hom. Odyss. III, 6.)·

Ταύρους παμμέλανας Ἐνοσίχθο-
νι κυανοχαίτῃ.

μεταφορικῶς δὲ λέγει βωμοῖο θέναρ, τὸ πλάτος αὐτοῦ. τῶν γὰρ χειρῶν θέναρ καλοῦσι τὸ πλάτος, ἤτοι τὸ πλατύ. τοῦτο δὲ ἀπὸ τοῦ θεῖναι πεποίηται τὸ ὄνομα, ἢ ἀπὸ τοῦ θείνειν ἐν αὐτῷ. Ἄλλως. Βωμοῖο θέναρ, τὸ τοῦ βωμοῦ κοίλωμα, τὸ ὑποδεχόμενον τὰ θύματα. ἀπὸ κοινοῦ δὲ τὸ ὑπῆρχεν ἀκουτέον· ὑπῆρχε βωμοῖο θέναρ, κατὰ περίφρασιν, ὁ βωμός, καὶ ὑπῆρχεν ἀγέλη Θρακικῶν ταύρων.

368. Ἐς δὲ κίνδυνον βαθὺν] εἰς δὲ τὸν ὑψηλότατον κίνδυνον προθυμίαν ἔχοντες καὶ σπουδὴν τὸν τῶν νεῶν ἔφορον καὶ δεσπότην καθικέτευον, τῶν συνδρομάδων πε-

τρῶν ἐκφυγεῖν τὴν ἀκαταμάχητον κίνησιν, καὶ μὴ καταληφθῆναι ὑπ' αὐτῶν. φασὶ δὲ τὰς κυανέας πέτρας πάλαι ἐπικινεῖσθαι τῷ πελάγει καὶ συμπίπτειν ἀλλήλαις.

370. Συνδρόμων κινηθμὸν] Ὅμηρος μὲν ἐκτοπίζει τὸν Ἰάσονος πλοῦν·

Οἵη δὴ κείνη γε παρέπλω πον-
τοπόρος νηῦς

καὶ τὰ ἑξῆς (Od. XII, 69.). οἱ δὲ νεώτεροι πόντον ὑφίστανται δύο νησίδια σκοπελοειδῆ ἀλλήλοις συβρηγνύμενα. καὶ ἴσως Ὁμήρου ὑδὲ αὐτὰς τὰς πέτρας ἐπικυλίεσθαί φησιν, ἀλλὰ τὰ κύματα ἐγειρόμενα μεταξὺ ταῖς πέτραις προσρήσσειν τὰς ναῦς. φησὶ γοῦν (Od. XII, 71.)·

Καί νυ κε τὴν ἔνθ' ὧκα βάλεν
μεγάλας ποτὶ πέτρας,

ὅτι τὴν ναῦν προσέρρηξεν ἄν τῇ πέτρᾳ τὸ κῦμα, καὶ ἐκ αὐτῆ ἡ πέτρα συνεκρότησε τῇ ἑτέρᾳ. οἱ δὲ νεώτεροι συντρέχειν φασίν. ὁ δὲ Πίνδαρος προστερατεύεταί τι,

λέγων

Ἐκφυγεῖν πετρᾶν. — δίδυμοι γὰρ ἔσαν
Ζωαὶ, κυλινδέσκοντό τε κραιπνότεραι
Ἢ βαρυγδήπων ἀνέμων ῥίπες· ἀλ-
λ' ἤδη τελευτὰν κεῖνος αὐταῖς
Ἡμιθέων πλόος ἄ-
γαγεν. — ἐς Φᾶσιν δ' ἔπειτεν
Ἦλυθον, ἔνθα κελαι-
νώπεσσι Κόλχοισιν βίαν
Μίξαν, Αἰήτα παρ' αὐτῷ.
Πότνια δ' ὀξυτάτων βελέων

Ποικί-

λέγων ὅτι δίδυμοι ἦσαν ζωαί. ζώσας δὲ αὐτὰς εἶπε διὰ τὴν κίνησιν. ἔστι δὲ διθυραμβικὸν τὸ τῆς τοιαύτης ἑρμηνείας. πολλάκις γὰρ ἐπὶ τὸ κῦφον ἀνάγονται. ἐπεκυλίοντο δέ, φησιν, ἀλλήλαις αἱ πέτραι ταχύτερον, ἤπερ αἱ τῶν ἠχητικῶν ἀνέμων πνοαί.

373. Ἀλλ' ἤδη τελευτὰν] ἀλλὰ λοιπὸν τελευτὴν καὶ θάνατον αὐταῖς ταῖς πέτραις ὁ τῶν Ἀργοναυτῶν πλοῦς ἐπήγαγεν. οἰκείως δὲ τελευτὴν ἐπήγαγεν, ὡς πρὸς τὸ ζωάς. καὶ γὰρ εἴμαρτο, διαπλευσάσης νεὼς ῥιζωθῆναι τὰς πέτρας τῷ πελάγει. ὥσπερ γὰρ διὰ τὴν κίνησιν ζωὰς αὐτὰς εἶπεν, ὅτω διὰ τὴν στάσιν τὴν ἀπὸ τῆς κινήσεως τελευτὴν ἐπήγαγεν.

376. Ἐς Φᾶσιν δ' ἔπειτ' ἦλυθον] ἔπειτα εἰς τὸν Φᾶσιν ποταμὸν, φησιν, ἦλθον παρ' αὐτῷ τῷ ταχεῖ Αἰήτῃ, ἔνθα τοῖς καταπληκτικοῖς Κόλχοις τὴν ἑαυτῶν ἰσχὺν προσήγαγον καὶ προσέμιξαν· περιφρασικῶς, παρεγένοντο. τὸ δὲ κελαινώπεσσιν οἱ μὲν τοῖς καταπληκτικοῖς τὴν ὄψιν φασί· τὸ γὰρ κελαινὸν ἐπὶ τῆς καταπλήξεως λαμβάνειν εἰώθασιν· οἱ δὲ, ὅτι Αἰγυπτίων ἄποικοί εἰσιν οἱ Σκύθαι, διὰ τοῦτο καὶ μελανόχροας αὐτοὺς εἶναι λέγουσιν. ἔχουσι δὲ καὶ λινουργοῦσι τὴν καλάμην, ὥσπερ Αἰγύπτιοι. Καλλίμαχος (Fragm. 265. Bentl.)· Κολχίδος ἐκ καλάμης. Φᾶσις δὲ ποταμὸς Σκυθίας, τῆς κατὰ τὴν Ἀσίαν. ἔστι γὰρ καὶ ἕτερος Εὐρώπης, πλησίον τῆς Μαιώτιδος λίμνης καὶ τῆ Ταναΐδος ποταμῷ. τοῦτο καὶ Ἀπολλώνιος μνημονεύει (Arg. II, 403.)·

Φᾶσις δινήεις εὐρὺν ῥόον εἰς ἅλα βάλλει.

380. Πότνια δ' ὠκυτάτων (sic)] ἴυγξ, ὄρνεον πεποικιλμένον τῇ τριχώσει, μακροτράχηλον, γλῶσσαν ἔχον ἐπικολπὸν ἐκτεταμένην, πυκνῶς περιστρεφόμενον καὶ περιδινοῦν τὸν τράχηλον. τοῦτο τὸ ὄρνεον δοκᾶσιν αἱ φαρμακίδες εὐθετεῖν αὐταῖς εἰς τὰς ἐρωτικὰς ἐπῳδάς· λαμβάνουσαι γὰρ αὐτὸ δεσμεύουσιν ἐκ τροχοῦ τινος, ὃν περιῤῥομβοῦσιν ἅμα ἐπᾴδουσαι. οἱ δέ φασιν, ὅτι τὰ ἔντερα αὐτοῦ ἐξελκύσασαι καθ-

ἅπτουσι

Ποικίλαν ἴυγγα τε-
τρακναμον' Ὀλυμπόθεν
Ἐν ἀλύτῳ ζεύξασα κύκλῳ

Α. ί. Κ. ιδ'.

Μαινάδ' ὄρνιν Κυπρογένεια Φέρεν
385 Πρῶτον ἀνθρώποισι· λιτὰς τ' ἐπαοι-
δὰς ἐκδιδάσκησεν σοφὸν Αἰσονίδαν·
Ὄφρα Μήδειαν τοκέων ἀφέλοι-
τ' αἰδῶ, ποθεινὰ δ' Ἑλλὰς αὐτὰν
Ἐν φρεσὶ ναιομέναν

Δονέοι

ἅπτεσθαι τῷ τροχῷ. ταύτην δέ, φησὶ, τὴν ἴυγγα πρώτη Ἀφροδίτη ἐκ τοῦ Ὀλύμπου ἤνεγκεν εἰς ἀνθρώπους, καὶ ἔδωκεν Ἰάσονι, καὶ ἐδίδαξεν αὐτὸν τὰς ἐπῳδὰς τὰς ἐρωτικὰς, ἵν' ἐκμήνας τὴν Μήδειαν ποιήσῃ συμμαχεῖν αὐτῷ. κνῆμαι δὲ τὰ μέσα τῶν τροχῶν ξύλα. οὕτω δὲ καὶ μεταφορικῶς ἀκοῦσαι τετράκνημον, τὰς πτέρυγας καὶ τὰς πόδας κνήμας εἰρημένας, κατὰ τὸ ἀνάλογον δηλονότι. ἐ γὰρ ἁπλῶς ἐκδεσμεύεται ἐκ τοῦ τροχοῦ, τετρακνήμου ὄντος, ἀλλ' ἄνωθεν μὲν τῶν δύο πτερύγων, κάτωθεν δὲ ἐκ τῶν δυοῖν ποδῶν. τινὲς δὲ τετρακνήμου ἀνέγνωσαν, ἵν' ᾖ, ἐν τῷ τετρακνήμονι κύκλῳ. ὁ δὲ νῦς ὅτως· ἡ δέσποινα δὲ τῶν ὀξυτάτων βελέων, τυτέστι τῶν ἐρώτων, τὴν ποικίλην τῇ τριχώσει ἴυγγα τὴν τετράκνημον ἐξαγαγοῦσα τοῦ οὐρανοῦ καὶ καταγαγοῦσα, ἐν τῷ ἀλύτῳ ὑποζεύξασα τροχῷ, συνέπραττε τῷ Ἰάσονι. Ζητεῖται δὲ, πῶς τετράκνημον τὴν ἴυγγά φησιν; ἐδὲ γὰρ λόγῳ ἔχεται κατὰ τὸ τροχοῦ ἀκούειν. ὐδὲ γὰρ τετρακνήμῳ κύκλῳ φησὶ. ῥητέον οὖν, ὅτι, κατά τινας, ἐμωνύμως ὁ τροχὸς τῷ ζῴῳ ἴυγξ λέγεται, οὗ φασιν ἔχειν τέσσαρας κνήμας. ἔστι δὲ καὶ μεταφορικῶς νοῆσαι, ὡς προείπομεν.

385. Λιτάς τ' ἐπαοιδὰς] τὰς δὲ φαρμακευτικὰς ἐπῳδὰς ἐξεδίδαξεν ἡ Ἀφροδίτη τὸν σοφὸν Ἰάσονα· ἢ λιτὰς, τὰς λιτανευτικὰς φησιν, καθὸ οἱ τοῖς ἐπαοιδοῖς χρώμενοι λιτανεύουσι τοὺς θεούς, καὶ εὔχονταί τινα γενέσθαι αὐτοῖς. πρὸς τί δ' ἐδίδαξε τὰς ἐπαοιδάς; ἵνα ἡ Μήδεια, ἣν πρυσεφέρετο αἰδῶ πρὸς τοὺς γονεῖς, ταύτην μὴ κατέχῃ, ἀλλ' ἀναιδὴς γενομένη καταλίπῃ μὲν αὐτοὺς, πρόσθηται δὲ τῷ ξένῳ.

388. Ποθεινὰ δ' Ἑλλὰς] ἡ ποθεινὴ δὲ Ἑλλὰς αὐτὴν τῇ τῆς Πειθοῦς μάστιγι κατὰ τὴν φρένα καιομένην διακινοίη καὶ παρασκευάσῃ συναπάραι τοῖς Ἀργοναύταις.

391. Καὶ

Δονέοι μάστιγι Πειθῦς.
Καὶ τάχα πείρατ' ἀέθλων δείκνυεν πατρωΐων·
Σὺν δ' ἐλαίῳ φαρμακώσασ' ἀντίτομα χερεὰν ὀδυνᾶν
Δῶκε χρίεσθαι. καταίνησάν τε κοινὸν γάμον
Γλυκὺν ἐν ἀλλάλοισι μίξαι.

Ε. ί. Κ. ιγ'.

Ἀλλ' ὅτ' Αἰήτας ἀδαμάντινον ἐν Μέσ-

391. Καὶ τάχα πείρατ' ἀέθλων] καὶ ταχέως τῷ Ἰάσονι ἡ Μήδεια ὑπετίθετο τὰ πέρατα καὶ τὰ τέλη τῶν ἄθλων, ὧν ἔμελλεν αὐτῷ ἐπιτάττειν ὁ πατὴρ αὐτῆς Αἰήτης.

393. Σὺν δ' ἐλαίῳ] ἡ Μήδεια κατέχρισε τὸν Ἰάσονα διὰ τὸς πυρπνόους ταύρους. πρῶτον γὰρ ὁ Αἰήτης ζεύξας αὐτὸς καὶ κατ-αγωνισάμενος προσέδηκε τῷ Ἰάσονι· ἵν' ἂν μηδὲν ὑπὸ τῦ πυρὸς πάσχῃ, φάρμακα ἐλαίῳ μίξασα ἔδωκεν Ἰάσονι ἡ Μήδεια. ἀντίτομα δὲ εἶπε τὰ ἀλεξιφάρμακα, κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν φιζοτόμων. ἁπλῦστερον δὲ τῇ ἰατρικῇ χρώμενοι, τὰ πολλὰ τῶν παθημάτων ῥίζαις ἀπεθεράπευον, ὰς τέμνοντες ἐπετίθεσαν, ὡς Πάτροκλος (Hom. Il. XI, 845.)·

Ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν
Χερσὶ διατρίψας.

395. Καταίνησάν τε] κατήνεσαν δὲ καὶ συνέθεντο κοινὸν ποιῆσαι τὸν γάμον τὸν γλυκὺν καὶ ἀλλήλοις μίξειν.

398. Ἀλλ' ὅτ' Αἰήτας ἀδαμάντινον] οἱ μὲν ὡς ἐκ τῆς τῦ ἀδάμαντος φύσεως τὸ ἰσχυρὸν ἤκεσαν, οἱ δὲ ὅτι ἀληθῶς ἐξ ἀδάμαντος ἦν. εἶχε γὰρ ὁ Αἰήτης χαλκόποδας ταύρους, οἳ τὰς προσπελάζοντας κατέκαιον, προχέοντες πῦρ ἐκ τῶν μυκτήρων, ὃς ὁ Αἰήτης καταζεύξας εἰς μέσον ἤγαγε καὶ ἠρότριασε τὴν γῆν, εἶτα λύσας, ἐκέλευσε τὸν Ἰάσονα ζευγνύειν. Ἄλλως. τὰς πυρίπνους ταύρους Ἀντίμαχος ἐν Λύδῃ (Schellenberg. Reliqu. Antimachi p. 87.) Ἡφαιστοτεύκτας λέγει. καὶ σοφο [Σοφοκλῆς] δὲ χαλκᾶς ῥῆς ἀδερμάτας φ [φησὶν]

Χαλκοσκελεῖς γὰρ
ἐκπνέηισι πνευμάτων ἄπο·

Φλέγει δὲ μυκτὴρ, ὡς καὶ Ἀπολλώνιος (Arg. III, 409. f.)·

δύω πεδίον τὸ Ἀρήϊον ἀμφιγένονται
Ταῦροι χαλκόποδες, τόματι φλόγα φυσιόωντες.

ὁ δὲ νῆς ἵστως· ὅτε δὲ ὁ Αἰήτης ἐν μέσοις τὸ ἀδαμάντινον κατέθηκεν

Μέσσοις ἄρότρον σκίμψατο
Καὶ βόας, οἱ φλόγ' ἀπὸ
Ξανθᾶν γενύων πνέον καιομένοιο πυρὸς,
Χαλκείαις δ' ὁπλαῖς ἀράσσε-
σκον χθόν' ἀμειβόμενοι· τὰς ἀγαγὼν
Ζεύγλα πέλασσε μῶνος. ὀρ-
θὰς δ' αὔλακας ἐντανύσαις
Ἤλαυν'· ἀναβωλακίας δ' ὀργυι-
ὰν σχίζε νῶτον γᾶς. ἔει-
πεν δ' ὧδε· „τῦτ' ἔργον βασιλεὺς,

Ὃς

μεν ἄροτρον καὶ τὰς βῶς, αἵτινες φλόγα ἀνέπνεον τῶν ξανθῶν γενύων καιομένου πυρὸς, καὶ ταῖς χαλκαῖς ὁπλαῖς ἑαυτῶν ἐπέξεσον καὶ ἐπεχάραττον τὴν γῆν ἐπισρεφόμενοι καὶ κατὰ τὴν πορείαν προβαίνοντες. τὸ γὰρ ἀμειβόμενοι ὕτως ἀκυτέον, τὰς πόδας ἐναλλάσσοντες κατὰ τὴν πορείαν.

404. Ὀρθὰς δ' αὔλακας ἐντανύσαις] ἐντείνας δὲ ἤλαυνε, καὶ ἐπ' εὐθείας ἔτεμνε τὰς αὔλακας, τυτέστι τὰς εὐθείας τῷ ἀρότρῳ τομάς. αὔλακες δὲ εἴρηνται παρὰ τὸν αὐλόν· πᾶν γὰρ ἐπίμηκες ὕτως εἴρηται. καθ' ἃς αὔλακας ὀργυιᾶς μέτρον ἔσχισε τὴν γῆν εἰς βάθος κάτω τῷ ἀρότρῳ. φησὶν ὖν, ὅτι διέτεμνε τὰς αὔλακας, ὀργυιὰς μέτρου ἐχούσας κατὰ τὸ βάθος. ὁ δὲ λόγος· τῆς δὲ ἀναβωλακίας γῆς τὸν νῶτον ἔσχιζεν ἐπ' ὀργυιάν. ἀναβωλακίας δὲ, τῆς ἐν τῇ τιμήσει τὰς βώλας ἄνω πεμπούσης.

407. Εἶπε δ' ὧδε] ὕτω δὲ ἔλεγεν ὁ Αἰήτης· τῦτο τὸ τῆς γεωργίας ἔργον ἐμοὶ τελειώσας, ὃς τῆς νεὼς προηγεῖται, τὴν ἀφθαρτον τρωμυῆν, τὸ κῶας, ἀφαιρεῖσθω, τὸ κάλλιστον ὂν τῇ χρυσῇ μαλώσει. ἄφθιτον δὲ τρωμυῆν εἶπε τὸ δέρος, τῦ κριῦ τὸ κώδιον· οἱ γὰρ ἀρχαῖοι ὑπετρώννυντο τὰ κώδια, ἀφ' ἃ καὶ κῶμα ὁ ὕπνος, διὰ τὸ ἐπὶ κωδίων αὐτὸς κοιμᾶσθαι. Ἀριστοφάνης (Eqq. 400.)·

Ἦν σε μὴ μισῶ, γενοίμην ἔν
Κρατίνῳ κώδιον.

ἄφθιτον δὲ αὐτὸ εἶπε, καθὸ χρυσᾶν ἦν. ὁ δὲ χρυσὸς ἄφθαρτος. καὶ ἡ Σαπφὼ (Brunk. Anal. I. p. 57.)·

Ὅτι Διὸς παῖς ὁ χρυσὸς,
Κεῖνον ᾗ σὺς ἐδὲ κὶς δάπτει,
Βροτέαν φρένα κάλλις' εὐφραί-
νων.

θυσάνῳ δὲ, τῷ μαλλῷ φησί. θύσανοι γὰρ οἱ κροσσοὶ, ἀπὸ τῦ θύσσεσθαι καὶ παραιωρεῖσθαι. νῦν δὲ ἐπὶ τῶν μαλλῶν τετάχαται· καὶ γὰρ ὕτοι θύσσονται διὰ τὸ εὐτραφές.

Ὅς τις ἄρχει ναὸς, ἐμοὶ τελέσαις
Ἀφθίτου στρωμνὰν ἀγέσθω,

Σ. ιά. Κ. ιδ'.

Κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ."
Ὡς ἄρ' αὐδάσαντος, ἀπὸ κρόκεον
Ῥίψαις Ἰάσων εἷμα, Θεῷ πίσυνος
Εἶχετ' ἔργα. πῦρ δέ νιν ὐκ αἰόλει,
Παμφαρμάκῳ ξείνας ἐφετμαῖς.
Σπασσάμενος δ' ἄροτρον,

Βοέοις

412. Ὡς ἄρ' αὐδάσαντος, ἀπὸ κρόκεον] ἡ τὸ κροκοβαφὲς, ἡ τὸ ὑφαντὸν, παρὰ τὴν κρόκην. ὁ δὲ νῶς· ἀποῤῥίψας δὲ ὁ Ἰάσων τὸ κροκωτὸν ἱμάτιον, πειθόμενος δὲ νῷ πεποιθὼς τῇ Ἀφροδίτῃ, εἶχετο τῶ ἔργω τὼ ἀροτηρίω. ἦν δὲ θεῷ πίσυνος, τῷ ἔρωτι φησιν, ἢ τῇ Ἀφροδίτῃ, ἢ τῷ Διί· τὸ δὲ πῦρ αὐτὸν ὐκ ἐτάρασσε, ταῖς ἐντολαῖς τῆς Μηδείας πεισθέντα. αἰόλλειν δὲ, τὸ ταράσσειν, νῷ αἰόλλησις, ἡ κίνησις. ὡς νῷ Ὅμηρος (Od. XX, 27.)·

Αἰόλλει, μάλα δ' ὦκα λιλαίετο ἁπτῆθηναι.

Ζητεῖται δὲ, πῶς τὸ πῦρ ὐκ ἐτάρασσε τὸν Ἰάσονα; ὁ μὲν Πίνδαρος ὐκ ἐξέθετο, ἡ δὲ ἱστορία ὕτως· ἐκέλευσεν ἡ Μηδεια τῷ Ἰάσονι μὴ ἐλαύνειν πρὸς τὸν ἀντιπνέοντα ἄνεμον τὰς βύας, ἵνα μὴ τὸ πῦρ, ἀντικειμένης τῆς πνοῆς, βλάψῃ τὸν, ἀλλ' ὄπισθεν φερομένης, ὥσπερ συντρεχούσης νῷ ἐξυνέσης εἰς τὴμπροσθεν τὴν τῆς φλογὸς ἀποφύσησιν. ἐκέλευσε δὲ νῷ συμπεράναντα τὴν αὖλακα, ἀπὸ τῆ ἐκείνης τέλης μὴ ἄρχεσθαι, ὅπερ ἔθος τοῖς ἀροτριῶσιν, ἀλλ' ἀνακοδίσαντα ὕτω πάλιν ἄρχεσθαι, διὰ τὰ πνεύματα τὰ ἀντικείμενα, ὡς ἔφαμεν. ἐφετμαῖς δὲ φητὶν, ἀντὶ τῦ, ταῖς μαγείαις, ἃς ἀπετείλατο τῷ πυρὶ, ἢ ὅτι ἐνετείλατο αὐτῷ, τύτοις τοῖς φαρμάκοις ἀλειψάμενον, ὕτως ἔρχεσθαι, νῷ ἐσώζετο αὐτῆς ταῖς ἐντολαῖς.

416. Σπασάμενος δ' ἄροτρον, βοέοις δῆσεν (sic) ἀνάγκας] τυτέστι, τοῖς ἐκ βοείων δερμάτων λώροις, ἤτοι ἀνάγκας ἔντεσιν, ἵν' ἢ περιφραττικῶς, τῇ ἀνάγκῃ, ἢ ἀνάγκῃ, ἵνα λέγῃ, τῇ ἑαυτῦ, τῇ ἐκ τῆς ἑαυτῦ ἰσχύος ἀνάγκῃ. ὀρθῶς δὲ τὸ ἀνάγκας. ὁ γὰρ ἐκκσίως ταῦτα τὰ ζῶα ἀροῖ νῷ πονεῖ, ἀλλὰ μετὰ τῆς ἐξ ἡμῶν ἀνάγκης, ἐπιτιθεμένης αὐτοῖς. ὁ δὲ νῶς· σπασάμενος δὲ ὁ Ἰάσων τὸ ἄροτρον, νῷ δήσας τοῖς βοείοις λώροις, καὶ ταῖς τῦ ζυγῦ ἀνάγκαις τὰς αὐχένας αὐτῶν ἐμβαλὼν, ἤλασεν.

422. Ἠΰ-

Βοέοις δήσαις ἀνάγκας
Εντεσιν αὐχένας, ἐμ-
βάλλων τ' ἐριπλεύρῳ Φυᾷ
Κέντρον αἰανὲς, βιατὰς
Ἐξεπόνησ' ἐπιτακτὸν ἀνὴρ
Μέτρον. ἴὔξεν δ' ἀφω-
νήτῳ περ ἔμπας ἄχει,
Δύνασιν Αἰήτας ἀγασθείς.

Α. ιά. Κ. ιδ'.

Πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα Φίλας
Ὤρεγον χεῖρας, στεφάνοισί τέ μιν
Ποίας ἔρεπτον, μειλιχίοις τε λόγοις
Ἀγαπάζοντ'. — αὐτίκα δ' Αελίδ
Θαυμαστὸς υἱὸς δέρμα λαμπρὸν
Ἔννεπεν, ἔνθα νιν ἐκ-
τάνυσαν Φρίξῳ μάχαιραι.
Ἤλπετο δ' ἐκέτι οἱ
Κεῖνόν γε πράξασθαι πόνον.

I 2 Κεῖτο

422. Ἤϋξε δ' (sic) ἀφωνήτῳ] καὶ περ τοιούτῳ ἄχει, φησὶ, πλήγεις ἀφώνῳ, καθ' ὃ οὐκ ἄν τις φωνὴν ἀφίη, ἀλλ' ἐκταίη, ὅμως ἀνεβόησε θαυμάσας. ὁ δὲ νῆς· ἐτέναξε δὲ λαθραίως κατὰ τὴν ψυχὴν ὁ Αἰήτης, τὴν τῷ Ἰάσονος δύναμιν θαυμάσας.

426. Στεφάνοισίντε μιν] ἰστέον, ὅτι τοπαλαιὸν ἐφυλλορόλων τὰς νικηφόρους τοῖς τῆς γῆς χλωροῖς, κυρίως δὲ τὸ ἐρέπτειν ἐπὶ τῶν ἀλόγων ζώων τάττεται, ὅτι ἐπὶ τῇ ἔρᾳ, τουτέστι, τῇ γῇ, ἐσθίουσιν, ὡς Ὅμηρος (Il. VIII, 560.)·

Ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας.

νῦν δὲ καὶ ἀντὶ τοῦ ἔρεφον ἔλαβε, τουτέστιν, ἐστέγνων, ἐστεφάνων.

428. Αὐτίκα δ' Αελίδ θαυμαστὸς υἱὸς] εὐθέως δὲ ὁ τοῦ ἡλίου, φησὶ, παῖς Αἰήτης τὸ χρυσόμαλλον κῶας ὑπεδείκνυε τῷ Ἰάσονι, ἔνθα αὐτὸ ἐξέτειναν αἱ τοῦ Φρίξου μάχαιραι, τουτέστιν, ἡ περὶ τὸ ἐκδέρειν τοῦ Φρίξου ἐνέργεια. Φυξίῳ γὰρ Διὶ τὸ δέρος ἀνιέρωσεν. ἔνιοι δὲ Φασιν ὑπὸ τοῦ Φρίξου ἀνατεθῆναι τῷ Ἄρει τὸ τοῦ χρυσομάλλου κριοῦ δέρος,

434. Κεῖ-

Κεῖτο γὰρ λόχμα· δράκοντος
Δ' εἴχετο λαβροτάταν γενύων,
Ὃς πάχει μάκει τε πεν-
τηκόντορον ναῦν κράτει,
Τέλεσαν ἂν πλαγαὶ σιδήρου. —

Ε. ιά. Κ. ιγ'.

Μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν· ὥ-
ρα γὰρ συνάπτει· καί τινα
Οἶμον ἴσαμι βραχύν·
Πολλοῖσι δ' ἄγημαι σοφίας ἑτέροις. —
Κτεῖνε μὲν γλαυκῶπα τέχναις

Ποικι-

434. Κεῖτο γὰρ λόχμα] τῷ δασεῖ τῆς ὕλης. λόχμη γὰρ τὸ δάσος. καὶ παρ' Ὁμήρῳ (Od. XIX, 439.)·

Ἔνθα δ' ἄρ' ἐν λόχμῃ πυκινῇ κατέκειτο μέγας σῦς.

λείπει δὲ ἡ ὑπό. ὑπερεῖχε δέ, φησιν, ὁ δράκων, πεντηκόντορον ναῦν ἐνίκα τῷ μεγέθει, μείζων ἦν αὐτῆς. ἢ ὅτως· εἰ ἐνέβαλες αὐτὸν εἰς τὴν πεντηκόντορον ναῦν, πλήρωμα ἂν αὐτῆς ἐγένετο, ὥστε περιττεύειν τινὰ μέρη αὐτῆ καὶ ὑποκεῖσθαι. ὁ δὲ νῶς· κατεῖχετο δέ, φησι, τὸ κῶας ὑπὸ τῶν δεινοτάτων τῶ δράκοντος γενύων, ὅς καὶ τῷ πάχει καὶ τῷ μήκει τὸ σώματος πεντηκόντορον ναῦν κατεῖχεν, ἤ, ὡς ἔνιοι, ἐμβληθεὶς ἁπλήρει ναῦν πεντηκόντορον.

438. Ἂν πλαγαὶ σιδήρου] ἤν τινα ναῦν συνεπέρανον αἱ τῆ σιδήρῳ πληγαί. πάλιν τῷ συνήθει σχήματι καὶ τρόπῳ κέχρηται τὸ ἐνικὸν τῷ πληθυντικῷ συζεύξας, καίτοι παρὸν εἰπεῖν, τέλεσσε. γράφεται δὲ καὶ τέλεσσαν.

439. Κατ' ἀμαξιτὸν] ἀντὶ τῆ μακρῷς λέγω τὰ ποιήματα, καὶ ἐπεκτείνω κατὰ τὴν ὁδὸν ταύτην τῶν ἐγκωμίων τῆ Ἰάσονος. πορεύεσθαι καὶ λέγειν. καιρὸς γάρ με ἐπείγει, ὥστε πρὸς τὸν Ἀρκεσίλαον ἀναβαμεῖν, καὶ τινα οἶδα ὁδὸν βραχεῖαν, τυτέϊν, οἶδα κατὰ τὰς ἐξηγήσεις καὶ βραχέα λέγειν.

442. Σοφίας ἑτέροις] ἤτοι ταύτης τῆς σοφίας, τῆς περὶ τὸ συντόμως λέγειν, καὶ ἄλλων γέγονα καθηγητής, ὅ ἐστι διδάσκαλος, ἢ πολλοῖς περιέσχον ἄλλοις ὡς ἐν συντομίᾳ, ὥστε ταχέως αὐτὰ ἐξειπεῖν.

443. Κτεῖνε μὲν γλαυκῶπα] ἐπισυνάπτει τῆς ἱστορίας τὸ συμπέρασμα καὶ φησιν· ὁ δὲ Ἰάσων ἀνεῖλε ταῖς τῆς Μηδείας τέχναις τὸν γλαυκόφθαλμον καὶ πεποικιλμένον ἔχοντα νῶτον ὄφιν, Ἀρκεσίλαε.

445. Κλέ

Ποικιλόνωτον ὄφιν γ', ὦ ἑκαεσίλα,
Κλέψεν δὲ Μήδειαν, σὺν αὐ-
τᾷ, τὰν Πελίαο φόνον·
Ἐν τ' ὠκεανῷ πελάγεσσι μίγεν,
Πόντῳ τ' ἐρυθρῷ, Λαμνιᾶν
Τ' ἔθνει γυναικῶν ἀνδροφόνων.
Ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδεί-
ξαντο

445. Κλέψεν τε (ἢ c) Μήδειαν] ἔκλεψε δὲ γῇ τὴν Μήδειαν ἐκοῦσαν, τὴν τὸν Πελίαν φονεύσασαν. ὁ δὲ νῦς· κατεργασάμενος μὲν γὰρ τὸν ἆθλον ὁ Ἰάσων λάθρα τῆ Αἰήτᾳ καὶ τῶν Κόλχων, ἀπέκλεψε τὴν Μήδειαν ἐκοῦσαν καὶ αὐτὴν τὴν τῶ Πελία φόνον γενομένην. εἶτα ναυτιλλόμενοι ἐνεμίγησαν τῷ τε τῆ Ὠκεανῆ πελάγει, καὶ τῇ Ἐρυθρᾷ θαλάσσῃ, καὶ τῶν Λημνίων γυναικῶν τῶν ἀνδροφόνων τῷ ἔθνει· ἀπὸ κοινῆ τὸ ἐμίγησαν.

446. Πελίαο φόνον] ὁ Χαῖρις ὃ βέλτιον συνθέτως ἀναγινώσκειν τὸ, Πελίαο φόνου.

447. Ἔν τ' Ὠκεανῆ πελάγεσσι μίγεν] προσεπέλασαν δὲ καὶ τῷ Ὠκεανῷ, καὶ τῇ Ἐρυθρᾷ θαλάσσῃ. κακῶς δὲ ὁ Πίνδαρος εἰς ταὐτα τὰ πελάγη ἱστορεῖ πεπλανῆσθαι τὸς Ἀργοναύτας. Ἄλλως τὸ, Ἔν τ' Ὠκεανῆ πελάγεσσιν. ἔνιοί φασι τὴν πρόθεσιν περιττεύειν τῆ λόγῳ. ἔλληφε δὲ ὁ Πίνδαρος τὸ πρῶτον πάντων γενόμενον, καὶ ἀντεραμμένος ἔσχατον τέθεικεν. εἰς μὲν γὰρ τὸν Ὠκεανὸν καὶ τὴν Ἐρυθρὰν εἰσέβαλον, φεύγοντες ἐκ Κόλχων· ταῖς δὲ Λημνίαις ἐμίγησαν, πρὶν εἰς τὸν πόντον ἐπιπλεῦσαι, ἀλλ' ἵνα ἐπὶ τὴν τῆ γένους ἀρχὴν ἐπανέλθῃ, τὸ πρότερον ἀντεστραμμένος ὕστερον ἔθηκεν, οὐκ ἀκολούθως. ὑ γὰρ ὑποτρέφοντες προσέβαλον τῇ Λήμνῳ, ἀλλ' ἀκιόντες.

449. Ἀνδροφόνων γυναικῶν] ἀνδροφόνων γυναικῶν φησὶν ἐξ ἐκείνης τῆς ἱστορίας. αἱ τῶν Λημνίων γυναῖκες ἀσεβήσασαι εἰς τὴν Ἀφροδίτην, δικαίως ἔσχον μηνιῶσαν τὴν θεόν. μῖσος γὰρ αὐταῖς πρὸς τὸς ἄνδρας προσετρίψατο. καὶ ὕτως ἐκεῖνοι πρὸς τὰς Θρᾴκας πολεμοῦντες, κἀκ τῆ πολέμου τὰς αἰχμαλώτιδας λαβόντες, παρεκοιμῶντο· ἐφ' ᾧ ζηλοτυπήσασαι αἱ γυναῖκες ἐψηφίσαντο ἐκ Θρᾴκης τὰς ἄνδρας ὑποτρέψαντας ἀνελεῖν, ὅπερ καὶ πεποιήκασιν.

450. Ἔνθα καὶ γυίων ἀέθλοις] οἱ μὲν τῶν ἱστορικῶν βέλονται τὰς Ἀργοναύτας ἀγωνίζεσθαι ἐπὶ τοῖς ἀναιρεθεῖσιν ἀνδράσιν, οἱ δὲ ἐπὶ τῷ Θόαντος φόνῳ. τὸ δὲ ἔνθα, ἐν τῇ Λήμνῳ· ἐν τοῖς ἀγῶσιν ἐπεδείξαντο τῶν μελῶν τὴν ἀνδρείαν καὶ τὴν κρίσιν, ἀγωνιζόμενοι περὶ ἐσθῆτος. τὸ δὲ, ἐσθῆτος ἀμφὶς, ἀμφίβολον, πότερον τῆς ἐσθῆτος χωρὶς ἠγωνίσαντο, τητέσι γυίνοι; ἢ

ξαντο κρίσιν, ἐσθᾶτος ἀμφὶς,

Σ. ιβ'. Κ. ιδ'.

Καὶ συνεύνασθεν. καὶ ἐν ἀλλοδαπαῖς
Περ ἀρήϊσιν τετάκις ὑμετέρας
Ἀκτῖνας ὅλβῳ δέξατο μοιρίδιον
Ἅμαρ, ἢ νύκτες. τόθι γὰρ γένος Εὐ-
Φάμᾳ

ἢ τὸ ἀμφὶς ἀντὶ τῆς περὶ δεκτέον· χρῶνται γὰρ τῇ λέξει καὶ ἐπὶ τύτῳ· ἵν' ᾖ τὸ ἔπαθλον ἐσθῆς, ὥσε περὶ ἐσθῆτος αὐτὺς ἠγωνίσθαι, ὅ καὶ ὑγιές ἐσι. καὶ γὰρ καὶ παρὰ Σιμωνίδῃ ἐσὶν ἡ ἱσορία, ὅτι περὶ ἐσθῆτος ἠγωνίσαντο. καὶ Πίνδαρος ἐν Ὀλυμπιονίκαις.

453. Τετάκις ὑμετέρας ἀκτῖνας] τηνικαῦτα δὲ τὸ σὸ γένος τὰς λαμπηδόνας καὶ καταβολὰς σὺν εὐδαιμονίᾳ διεδέξατο μεμοιραμένον ἦμαρ, ἢ νύκτες. ὁ δὲ νῦς· τὸ τηνικαῦτα τῷ σῷ γένει ἡ καταβολὴ γέγονεν ἐν ἡμέρᾳ, ἢ ἐν νυκτί. Ἄλλως. τῦτο λέγει ὅτι ἢ νύκτὸς ἢ ἡμέρας συνελθόντες ταῖς Λημνιάσι γυναιξὶν οἱ ἥρωες, ἔσχον ὑμᾶς.

455. Τόθι γὰρ γένος Εὐφάμᾳ] ἀποστρέφει τὸν λόγον πρὸς τὸν Ἀρκεσίλαον, ἐπεὶ Ἀριστοτέλης, ὁ πρόγονος αὐτῦ ἀπὸ τῶν Λημνίων γυναικῶν ἦν. οἱ γὰρ Ἀργοναῦται ἐν τῇ Λήμνῳ ταῖς Λημνιάσιν ἐπλησίασαν, ἐν οἷς καὶ Εὔφημος Μαλάχῃ συνελθὼν Λευκοφάνην ἐποίησεν, ἀφ' ὧν Ἀριστοτέλης ὁ πρόγονος Ἀρκεσιλάε. Ἄλλως τὸ, Τόθι γὰρ γένος Εὐφάμᾳ φυτεύθη. διὰ τύτων τὴν ἐν ἀρχῇ πρόθεσιν συγκεφαλαιῦ, καθ' ἣν εἶπε τὸν Ἀρκεσίλαον ταῖς Μύσαις ἀποδώσειν, καὶ τὸ πάγχρυσον νάκος κριῦ. μετὰ γὰρ ἐκεῖνο πλευσάντων Μινυῶν θεότιμοι σφίσι τιμαὶ φύτευθεν, τῷ Εὐφήμῳ γεννήσαντος ἐκ τῆς Λημνίας τὸν τύτων ἀρχηγὸν τῷ γένους. οἱ γὰρ ἀπὸ τύτων ἐκπεσόντες ἐκ Λήμνυ εἰς Λακεδαίμονα παρεγένοντο, ἐκεῖθεν δὲ ἀπῴκησαν εἰς τὴν πρῶτον καλυμένην Καλλίστην νῆσον, Θήρα τὴν ἀποικίαν ἀγαγόντος, ἀφ' ἧ Θήρα μετωνομάσθη. Διαπορῦσι δέ τινες, διατί μόνυ Εὐφήμυ μνημονεύει, πολλῶν ταῖς Λημνίαις πλησιασάντων; ἐπιλύεται δὲ ὁ Δίδυμος ταύτην τὴν ἀπορίαν, φάσκων, ὅτι ἀπὸ Εὐφήμυ τύτυ ἐγένετό τις καὶ ἕτερος Εὔφημος, ὁ σὺν Βάττῳ τὴν Κυρήνην κτίσας, ὃν διὰ τὴν ὁμωνυμίαν, ἐκείνυ τὶς ὑποτοπάσειεν εἶναι. ἐγένοντο δὲ καὶ πλείες Εὔφημοι· πρῶτος ὁ Μικωνίκης καὶ Ποσειδῶνος· δεύτερος ὁ Σάμυ παῖς, ἀπόγονος τῷ πρώτυ Εὐφήμυ· τρίτος ὁ σὺν Βάττῳ· τέταρτος ὁ κατὰ τὸν Ἀρκεσίλαον, ὃν ξενολογήσαντα ἔτιμψεν ὁ βασιλεὺς, καὶ τὸν Πυθικὸν ἀγῶνα ἀγωνισάμενον.

459. Αν

Φάμᾳ Φυτευθὲν λοιπὸν αἰεὶ
Τέλλετο. καὶ Λακεδαι-
μονίων μιχθέντες ἀνδρῶν
Ἡθεσιν, ἀν' ποτε Καλ-
λίσαν ἀπῴκησαν χρόνῳ
Νᾶσον. ἔνθεν δ' ὔμμι Λατοί-
δας ἔπορεν Λιβύας πεδίον
Σὺν Θεῶν τιμαῖς ὀφέλ-
λειν, κἄτυ χρυσοθρόνᾳ
Διανέμειν θεῖον Κυράνας

Α. ιβ'. Κ. ιδ'.

Ὀρθόβολον μῆτιν ἐφευρομένοις. —
Γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν.

459. Ἂν ποτε Καλλίσαν ἀπῴκησαν χρόνῳ νᾶσον] Χαΐρις βούλεται γράφειν, ἔν ποτε, ἀντὶ τοῦ, ἄν ποτε, κατὰ τὴν Πινδάρου συνήθειαν. τὸ δὲ ἑξῆς· οἱ δὲ ἀπὸ τῶν ἡρώων γεγενημένοι παῖδες καὶ τοῖς Λακεδαιμονίοις μιχθέντες, κατὰ τὴν ζήτησιν τῶν πατέρων παρέβαλον εἰς τὴν Ἑλλάδα, καὶ εἰς τὴν Καλλίσην ποτὲ χρόνῳ ἀπῴκησαν. Καλλίσην δὲ τὴν Θήραν φησὶ Καλλίμαχος (Fragm. 112. p. 484. T. I. Ern.)·

Καλλίσῃ τὸ πάροιθε, τὸ δ' ὕστερον ὄνομα Θήρῃ.

461. Ἔνθεν δ' ὔμμι Λατοίδας ἔπορεν] ἐντεῦθεν δέ, φησιν, ἐκ τῆς Θήρας τῷ σῷ γένει, Ἀρκεσίλα, ὁ Ἀπόλλων χρησμοῖς καὶ μαντείαις δέδωκε σὺν θεῷ τὸ τῆς Λιβύης πεδίον τιμαῖς αὔξειν, καὶ διοικεῖν τὸ θεῖον πόλισμα τῆς τιμίου ἐχούσης θρόνον Κυρήνης (ἵνα ἐπὶ τὴν νύμφην τὸν λόγον ἀνάγωμεν) τοῖς συνετὴν γνῶσιν εὑροῦσι.

467. Γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν] προτρέπεται τὸν Ἀρκεσίλαον ὁ Πίνδαρος συνορᾶν αὐτοῦ τὸ αἴνιγμα. τὸ γὰρ, τὰν Οἰδιπόδα σοφίαν, τοῦτο βούλεται, ὅτι κἀκεῖνος τὸ τῆς Σφιγγὸς αἴνιγμα ἔλυσεν. ὅ δὲ αἰνίττεται, τοιοῦτόν ἐστιν. ἐξαισιάσαντινες ἐν τῇ Κυρήνῃ κατὰ τοῦ Ἀρκεσιλάου, βουλόμενοι αὐτοῦ μετατῆσαι τῆς ἀρχῆς· ὁ δὲ ἐπικρατέστερος αὐτῶν γενόμενος ἐφυγάδευσεν αὐτοὺς τῆς πατρίδος. ἐν τοῖς δὲ ἐξαισιάταις ἦν καὶ ὁ Δημόφιλος, ὃς καὶ αὐτὸς ἀνάσσας γέγονε τῆς πατρίδος, καὶ φυγαδευθεὶς ἔρχεται εἰς Θήβας, καὶ ἀξιοῖ τὸν Πίνδαρον. τινὲς δέ, ὅτι καὶ τὸν μισθὸν τοῦ ἐπινίκου δίδωσι τῷ Πινδάρῳ αὐτὸς, ὥστε τῇ τοῦ ἐπινίκου γραφῇ διαλάξαι αὐτὸν πρὸς τὸν Ἀρκεσίλαον. ἦν δὲ αὐτῷ καὶ πρὸς γένος.

468. Εἰ

Εἰ γάρ τις ὄζος ὀξυτόμῳ πελέκει
Ἐξερείψας κεν μεγάλας δρυὸς, αἰ-
σχυνοι δέ οἱ θανατὸν εἶδος·
Καὶ φθινόκαρπος ἐοῖ-
σα διδοῖ ψᾶφον περ αὐτᾶς,
Εἴ ποτε χειμέριον
Πῦρ ἐξίκηται λοίσθιον,
Ἢ σὺν ὀρθαῖς κιόνεσσι
Δεσποσύναισιν ἐρειδομένα
Μόχθον ἄλλοις ἀμφέπῃ
Δύτανον ἐν τείχεσιν
Ἑὸν ἐρημώσασα χῶρον. —

Ε. ιβ'. Κ. ιγ'.

Ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος,
Παιάν τέ σοι τιμᾷ φάος.

Χρὴ

468. Εἰ γάρ τις ὄζος] περὶ Δημοφίλου ἀπολογεῖται τὸ αἴνιγμα. εἰ γάρ τίς, φησι, περικόψει δρῦν, ὅμως δὲ καὶ τὸν καρπὸν ἀποβεβληκυῖα φέρει περὶ ἑαυτῆς ψῆφον, γενομένη ἢ ὑδὸς, ἤ τι ἄλλο τοιοῦτον. ὡς καὶ Ὅμηρος (Od. XXI, 43.)·

Οὐδόν τε δρύϊνον προσεβήσατο.

ἢ τὸ πανέσχατον, εἴ ποτε πυρὸς χειμερίου χρεία γένηται, πρὸς ἀλέαν χρήσεται, ἤτοι χρήσιμός ἐστιν. ὁ δὲ νῦς τοιοῦτος· εἰ γάρ τις μεγάλης δρυὸς ἐκκόψει κλάδους καὶ καταισχύνει αὐτῆς τὸ θαυμαστὸν εἶδος τῇ τῶν ἀκρεμόνων περικοπῇ, ὅμως καὶ φθινόπωρος ὄσα ψῆφον περὶ αὐτῆς δίδωσιν, ὅτι δύναται εἴς τι χρησιμεύειν καὶ ἄκαρπος ὄσα, ὅταν αὐτὴ κατὰ τὸν χειμῶνα πῦρ λοίσθιον γένηται.

480. Ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος] οὐκ ὅτι ἰατὴρ, ἤτοι ἰατρὸς, ἵν' ὁ Ἀρκεσίλαος, ἀλλ' ὅτι ἐνόησεν τὴν φυγὴν ὁ Δημόφιλος. φησὶ γὰρ· δεῖ αὐτὸν πρὸς σὲ θεραπεύεσθαι· τητέσι, θεραπευτικὸς εἶ τῆς παρούσης καταστάσεως. τοῦτο γὰρ δηλοῖ τὸ ἐπικαιρότατος.

481. Παιάν τέ σοι τιμᾷ] ὁ δὲ Ἀπόλλων σοι τετίμηκε τὴν ζωήν. τῇ μέντοι τροπῇ ἐπιμένει διόλου· ἰατρικὴς γὰρ προστάτης ὁ θεός. Ἄλλως. Παιάν τέ σοι. καὶ αὐτός σοι ὁ Παιὰν τὴν εἰς τοῦτο δύναμιν παρέχεται· ποιεῖται δὲ τὸν

λόγον

Χρὴ μαλακὰν χέρα προσ-
βάλλοντα τρώμαν ἕλκεος ἀμφιπολεῖν. —
Ῥάδιον μὲν γὰρ πόλιν σεῖ-
σαι καὶ φαυροτέροις· ἀλλ' ἐπὶ χώ-
ρας αὖθις ἔσσαι δυσπαλὲς
Δὴ γίνεται, ἐξαπίνας
Εἰ μὴ θεὸς ἡγεμόνεσσι κυβερ-
νατὴρ γένηται. τὴν δὲ τύ-
των ἐξυφαίνονται χάριτες.
Τλαῖθι τᾶς εὐδαίμονος ἀμφὶ κυρά-

 νας

λόγον ὑποψίας ἐνεσώσης τοῖς Κυρηναίοις πρὸς τὸν Ἀρκεσίλαν, καὶ ταραττομένων αὐτῶν ὑπ' ἐκείνου, ἢ ἐλαττωμένων, παραιτήμενος κατασῆσαι τὴν πόλιν ἐπὶ τὸ ἀρχαῖον.

482. Χρὴ μαλακὰν] προσήκει σὲ παρεῖαν ἐπιφέροντα τὴν χεῖρα θεραπεύειν τὴν τῦ ἕλκυς τρῶσιν, καὶ μὴ τὰς ἀλγηδόνας τρίβειν. Καὶ ταῦτα μεταφορικῶς ἀκουέον· δεῖ, φησὶν, αὐτὸν μαλακὴν προσφέροντα τὴν χεῖρα τὴν τῦ ἕλκυς τρῶσιν θεραπεύειν.

484. Ῥάδιον μὲν γὰρ πόλιν] τὸ μὲν γὰρ διασεῖσαι πόλιν καὶ τοῖς ἀσθενεστέροις ῥᾴδιόν ἐστι, μή τοι γε δὴ τοῖς ἐν δυνάμει κειμένοις. οἷον εἰώθαμεν λέγειν· τὸ κακὸν ῥᾴδιον ποιῆσαι· ἀλλὰ διασεισθεῖσαν πόλιν ἐπὶ χώρας κατασῆσαι δυσχερές ἐστιν, ἐὰν μὴ θεὸς ἡγεῖται τοῖς δυνασεύουσιν, εἰς τὸ αὐτὸ πειρωμένοις ἀγαγεῖν κατάσημα.

489. Τὴν δὲ τύτων] διπλῆ ἐστιν ἡ διάνοια, καὶ οἱ μὲν ὕτως ἀποδεδώκασι· σοὶ δὲ τύτων αἱ χάριτες καταπράττονται, ἐὰν τῆς Δημοφίλης φυγῆς φροντίσῃς· οἱ δὲ ὕτως· ὅτι μάλιστα παρὰ σῦ αἱ τοιαῦται χάριτες γίνονται καὶ πράξεις περὶ τῶν διοικημένων ἐν τῇ βασιλείᾳ. Ἢ ἄλλως· σοὶ δὲ τῦ κυβερνᾶσθαι ὑπὸ θεῶν ἐκτελῦνται χάριτες. ἢ ὕτω· σοὶ δὲ καὶ τῦ κατορθῶσαι ὑπὸ θεῶν αἱ χάριτες ὑπόκεινται. ἢ καὶ ὕτω· σοὶ δὲ καὶ τῦ κατορθῶσαι τὴν πόλιν αἱ χάριτες ἐξυφαίνονται ὑπὸ θεῶν, ἢ παρὰ τῶν θεῶν κατασκευάζονται· τητέσιν, ἔχεις παρὰ θεῶν δεδωρημένον τὸ δύνασθαι τὴν πόλιν εἰς τὸ ἀρχαῖον ἀποδῦναι κατάσημα.

491. Τλαῖθι] ἰδίως τῶ τλαῖθι κέχρηται ἀντὶ τῦ, ὑπόμενε καὶ πρᾴως φέρε τὰ ἡμαρτημένα. ἢ, τλαῖθι τᾶς εὐδαίμονος, ὑπόμεινον περὶ τῆς εὐδαίμονός, φησι, Κυρήνης πᾶσαν ἔχειν σκυθρὸν, ὡς καὶ τῆς πόλεως λυπημένης καὶ ζητούσης τὺς φυγαδευθέντας πολίτας, καὶ

νας θέμεν σπεῦδὰν ἅπασαν.

Σ. ιγ'. Κ. ιδ'.

Τῶν δ' Ὁμήρε καὶ τόδε συνθέμενος
Ῥῆμα πόρσυν· ἄγγελον ἐσλὸν ἔφα
Τιμὰν μεγίστην πράγματι παντὶ φέρειν.
Αὔξεται καὶ Μοῖσα δι' ἀγγελίας
Ὀρθᾶς. — ἐπέγνω μὲν Κυράνα
Καὶ τὸ κλεεννότατον
Μέγαρον Βάττε δικαιᾶν
Δαμόφιλον πραπίδων.
Κεῖνος γὰρ ἐν παισὶν νέος,

Εν

καὶ ὀφείλοντος αὐτῷ τιμῆσαι τὸ δαιμόνιον.

493. Τῶν δ' Ὁμήρε καὶ τόδε] τῶν δὲ Ὁμήρε καὶ τόδε σύνες τὸ ῥῆμα, οἷον, κατὰ μνήμην ἔχε καὶ τίμα. διὰ γὰρ τῦ, πόρσυνε, καὶ τόδε ἀμυσέον. ἐκεῖνα δὲ τὰ ἔπεα μέμνηται, τὰ (Il. XV, 207.)·

Ἐσθλὸν γὰρ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ.

τῦτο δὲ πρὸς ἑαυτὸν Πίνδαρος ἀνάγει, ὅτι ὀφείλεις μοι πεισθῆναι πρεσβεύοντι, ὡς ἀγαθῷ ἀγγέλῳ.

496. Αὔξεται καὶ Μοῖσα] ἀντιστρόφως εἶπε. θέλει γὰρ εἰπεῖν· αὔξεται δ' ἡ ἀγγελία, διὰ μουσικῆς τῆς ἑαυτῦ αὔξεται καὶ ὀρθὴ γίνεται ἡ ἀγγελία, τυτέστι, διὰ τῆς ποιήσεως. αὕτη γὰρ ἡ ἀγγέλλουσα καὶ συμβουλεύουσα τῷ Ἀρκεσιλάῳ διαλύσασθαι πρὸς τὰς πολίτας. ὁ δὲ νῦς· αὔξεται καὶ ἡ ποίησις δι' ὀρθῆς ἀγγελίας καὶ παιδείας.

497. Ἐπέγνω μὲν Κυράνα] ἀντὶ τῦ ἐπειράθη, γνῶσιν ἔσχεν. ὁ δὲ νῦς· ἐπέγνω μὲν καὶ ἡ Κυρήνη, καὶ ὁ τῦ Βάττε οἶκος, τυτέστι, τὸ σὸν, ὦ Ἀρκεσίλαε, ὄνομα, τὴν δικαιοσύνην τῶν Δημοφίλε φρενῶν. τὸ δὲ δικαίαν παροξυτόνως, ἵν' ᾖ, τὴν δίκην, ὡς καὶ τὴν ἀρχὴν, ἀρχαίαν παραγώγως. ἢ περισπωμένως, ἵν' ᾖ, δικαιῶν Δημοφίλε πραπίδων.

501. Κεῖνος γὰρ ἐν παισὶ νέος] ἐκεῖνος γὰρ ὁ Δημόφιλος ἐν μὲν παισὶ τὴν ἡλικίαν νεώτερός, φησίν, ἐστιν, ἐν δὲ φρεσὶ πρεσβύτερος τὸ φρόνημα, ὥσπερ ἂν ἑκατονταετεῖ τῷ χρόνῳ ἐπιτυχών· οἱονεὶ ὕτω φρόνιμός ἐστιν, ὡσπερεὶ ἑκατονταέτης ἀνήρ. τῦτο δὲ, ἐὰν κυρίως ἀκούηται, ἀπεμφαίνει. ὁ γὰρ ἑκατονταέτης ἀνὴρ παραφρονεῖ. δεῖ ἓν μεταλαμβάνειν εἰς τὸ,

Ἐν δὲ βελαῖς πρέσβυς ἐγκύρ-
σας ἑκατονταετεῖ βιοτᾷ,
Ὀρφανίζει μὲν κακὰν
Γλῶσσαν φαεννᾶς ὀπός·
Ἔμαθε δ' ὑβρίζοντα μισεῖν,

Α. ιγ'. Κ. ιδ'.

Οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς,
Οὐδὲ μακύνων τέλος ἡδέν. ὁ γὰρ
Καιρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει.

Εὖ

τὺ, πολυέτης. ὡς τὸ (Hom. Il. XX, 247.)· Οὐδ' ἂν νηῦς ἑκατόνζυγος· ἢ πολύζυγος. τητέσι, φρονίμοις ἐσι, ὡς πολυέτης ἀνήρ.

504. Ὀρφανίζει μὲν] ἐρημοῖ, ἀποχωρίζει, τυτέσιν, ἥμισα κακολογεῖ· οἷον, τῆς ἐλευθερίης φωνῆς τὴν κακὴν καὶ λοίδορον γλῶσσαν χωρίζει, ἤτοι ἐκ ἔσιν ὑβριςής. ὁ δὲ νῶς τοιοῦτος ἀποχωρίζει μὲν τῆς ἐλευθερίης αὐτῇ φωνῆς τὴν κακογλωσσίαν, ἔμαθεν δὲ βδελύττεσθαι τὰς ὑβριτὰς, ὅτε μὴν τοῖς ἀγαθοῖς ἐξεναντίας φιλονεικεῖ· ὠδὲ τὸ τῶν πραγμάτων τέλος πρὸς ἄνυσιν μηκύνει· ὁ γὰρ ἐν ἀνθρώποις καιρὸς, οἱονεὶ βίος, βραχὺ ἔχει τὸ μέτρον· οἱονεὶ, ἡ τῶν πραγμάτων εὐκαιρία ῥᾳδίαν ἔχει τὴν παραδρομήν. Ἄλλως. τῆς ἑαυτῇ φανερᾶς καὶ ἐκλάμπρε φωνῆς ὀρφανίζει τὴν κακὴν γλῶσσαν, ὅ ἐσι τὴν κακολογίαν. ἢ ἄτω· τὴν κακὴν γλῶσσαν τῆς φανερᾶς φωνῆς ὀρφανὴν ποιεῖ, οἷον· ὠδὲν φθέγγεται κακὸν, κακὴν γλῶτταν ὀρφανὴν φωνῆς ἔχει.

507. Οὐκ ἐρίζων ἀντία] ταῦτα δὲ ἐκ τῶν Ἡσιόδου Ἔργων εἴληπται. ἐκεῖνος γὰρ παραινεῖ μὴ ὁμιλεῖν τοῖς κακοῖς, μὴ δὲ ἐπιπλήττειν, μηδὲ ψέγειν τὺς ἀγαθύς (Opp. et D. 714.)·

Μηδὲ κακῶν ἕτερον, μηδ' ἐσθλῶν νικητῆρα.

Ὅμηρος δὲ τὸν Θερσίτην εἰσάγαγε φιλόκακον καὶ μισάγαθον. ὅσυς γὰρ ὁ ποιητὴς ἐγκεκωμίακε κατ' ἀρετὴν, τύτυς ἔψεγε. διὸ καὶ ἔλεγεν (Il. II, 220.)·

Ἔχθιστος δ' Ἀχιλῆϊ μάλισ' ἦν,
ἠδ' Ὀδυσῆϊ.

508. Ὁ γὰρ καιρὸς] καιρὸς, ὁ χρόνος· ἡ εὐκαιρία βραχὺ μέτρον ἔχει, ὐκ ἐπισολὴ τοῖς ἀνθρώποις παρατεῖνον ἔχει τὸ μέτρον, ἀλλὰ σπάνιον ἔτι, καὶ βραχὺς ὁ χρόνος. διὸ καὶ δεῖ, ὅτε ἔξεσιν αὐτὸν λαμβάνειν, ἐκτὸς ἔχειν πόδα τῶν καλῶν ὧν γινώσκει.

510. Εὖ

Εὖ νιν ἔγνωκεν· θεράπων δέ οἱ, ὃ
Δράσας, ὀπαδεῖ. Φαντὶ δ' ἔμμεν
Τᾶτ' ἀνιαρότατον,
Καλὰ γινώσκοντ' ἀνάγκᾳ
Ἐκτὸς ἔχειν πόδα. καὶ
Μὰν κεῖνος Ἄτλας ὐρανῷ
Προσπαλαίει νῦν γε πατρῴ-
ας ἄπο γᾶς ἄπο τε πτεάνων. —
Λῦσε δὲ Ζεὺς ἄφθιτος

Τιτᾶ-

ξιο. Εὖ νιν ἔγνωκε] πολλοὶ κατὰ τοῦτο τὸ ῥητὸν ἐξηγήσεις προεχώρησαν. τῷ καιρῷ ἕπεται, φησιν, ὁ Δημόφιλος, οὐχ ὡς δράστας, ὅ ἐστι δραπέτης, ἢ πανοῦργῶν, οὐδὲ τὰ παρ' αὐτὸ προστασσόμενα ὑπερτιθέμενος, καὶ ἀναβαλλόμενος τὰ προσπίπτοντα. Ἄλλως. οὐκ ἀποδιδράσκει τὸν καιρὸν ὁ Δημόφιλος· ἀκολουθεῖ δέ, φησιν, αὐτῷ ὁ καιρὸς θεράπων, ἢ δράστης, ἀλλὰ παράμονος, τυτθίσιν, ἢ παρέρχεται αὐτὸν, ἀλλὰ πάντα τὰ καίρια γινώσκει.

ξιι. Φαντὶ δ' ἔμμεν] φασὶ δὲ τᾶτ' ἀνιαρώτατον εἶναι, τὸ, γινώσκοντά τινα τὰ καλὰ, τῇ ἀνάγκῃ, ἤτοι δι' ἀνάγκην, τούτων ἐκτὸς εἶναι, καὶ μηδὲν ἀπολαύειν αὐτῶν δύνασθαι, ἐφ' ὅσον βούλεται. ὅτι καὶ ὁ Δημόφιλος εἰδὼς τὰ τῆς πατρίδος καλὰ, ἀνάγκῃ τῆς φυγῆς, οὐκ ἐχρήσατο αὐτοῖς. Ἄλλως. χαλεπόν ἐστι, φησὶ, τὸ γινώσκειν ὅ τι καλὸν μὲν, μὴ πράσσειν δὲ αὐτό. τὸ γὰρ ἔξω πόδας ἔχειν, τοιοῦτόν ἐστι, μήτε ἐν αὐτῷ εἶναι τὸ εὖ πράττειν, ἀλλ' ἐξ ἀνάγκης αὐτὸ προσίεσθαι. ἢ ὕστ· λυπηρὸν, τὸν καλῶς ποιοῦντα κακῶς ἀκούειν.

ξιδ. Καὶ μὰν κεῖνος Ἄτλας] τοῦτό φησιν ἀντὶ τοῦ, καὶ παρὰ θεοῖς τὰ πράγματα ποικίλας ἔχει τὰς μεταβολάς. ὁ γοῦν Ἄτλας κακῶς πάσχει τὸν οὐρανὸν βαστάζων, πρότερον εὐτυχῶν.. διὰ δὲ τούτου βούλεται σημαίνειν, ὅτι οὐκ ἀεὶ τὰ αὐτὰ μένει τῶν πραγμάτων, οὐχ ὅτι παρὰ ἀνθρώποις, ἀλλ' οὐδὲ παρὰ θεοῖς. Ἄλλως. νῦν μὲν νῦν ὁ Δημόφιλος τοσοῦτον ἔχει τὸ τῆς φυγῆς ἄχθος, ὅσον νῦν ὁ Ἄτλας τῷ βάρει πιεζόμενος, δικαίως προσπαλαίει τῷ οὐρανῷ. φέρει δὲ τῷ Ἄτλαντι ὅμοιον ἄχθος Δημόφιλος, τῆς πατρίδος νῦν τῶν κτημάτων μακρὰ χωρισθείς.

ξιη. Λῦσε δὲ Ζεὺς ἄφθιτος] τοῦτο πρὸς τὴν παράκλησιν ἁρμόζει, ὅτι νῦν τοὺς Τιτᾶνας Ζεὺς ἔλυσεν, ὑπὸ τῷ Κρόνῳ δεθέντας. τοῦτο δὲ εἴρηται πρὸς τὸ μὴ δεῖν ἐν ταῖς τιμωρίαις ἀδιάλλακτον ἔχειν τὸ ἔχθος, μηδὲ ἀθανάτους ἔχειν τὰς λύπας. ἀπέλυσε δέ ποτέ, φησι, νῦν ὁ Ζεὺς τοὺς Τιτᾶνας

Τιτᾶνας. ἐν δὲ χρόνῳ
Μεταβολαὶ, λήξαντος ὕρα,

Ε. ιγ'. Κ. ιγ'.

Ἰξίων. — ἀλλ' εὔχεται ἁλομέναν
Νᾶσον διαντλήσας ποτὲ
Οἶκον ἰδεῖν· ἐπ' Ἀπόλ-
λωνός τε κράνα συμποσίας ἐφέπων
Θυμὸν ἐκδόσθαι πρὸς ἥβαν
Πολλάκις, ἔν τε σοφοῖς δαιδαλέαν
Φόρμιγγα βασάζων πολί-
ταις ἡσυχία διαγέμεν,
Μήτ' ὢν τινι πῆμα πορὼν, ἀπαθὴς
Δ' αὐτὸς πρὸς ἀτῶν. καί κε μυ-
θήσαιθ', ὁποίαν Ἀρκεσίλᾳ

Εὗρε

τᾶνας τῆς τιμωρίας, καίτοι ἐπιθεμένους αὐτῷ τῇ ἀρχῇ, καὶ μεταθῆσαι βουληθέντας. ἐγκαλοῦσι δέ τινες τῷ Πινδάρῳ, ὅτι οὐκ οἰκείως ἐπὶ τῆς διαλλαγῆς τὸν Ἄτλαντα παρείληφε. διηνεκῶς γὰρ μοχθεῖ.

519. Ἐν δὲ χρόνῳ μεταβολαὶ] μεταβολαὶ δὲ γίνονται ἀνέμων ἐν χρόνῳ· ἐν χρόνῳ καὶ τὸ ἰσίου τῆς νεὼς εὐδιεινὴν ἔχει μεταβολήν, τῷ χειμερινῷ ῥαφήσαντος ἀνέμῳ.

521. Ἀλλ' εὔχεται ἁλομέναν νᾶσον] ἀλλὰ κατεύχεται Δημόφιλος, ταύτην τὴν ἐνεστῶσαν ὀλεθριωτάτην νόσον τῆς φυγῆς διαντλήσας καὶ ἀποφυγών, τὸν κατὰ Κυρήνην οἶκον θεάσασθαι, καὶ ἐπὶ τῇ τοῦ Ἀπόλλωνος κρήνῃ πάλιν συνήθως συμποσιάσαι, καὶ τὴν ψυχὴν ἐκδῦναι πρὸς φιλοφροσύνην καὶ συμπόσια.

526. Πολλάκις ἔν τε σοφοῖς] διόλου ἀπὸ κοινοῦ ληπτέον τὸ, εὔχεται. εὔχεται, φησι, πολλάκις, τὴν πεποικιλμένην κιθάραν ἐν σοφοῖς βασάζων καὶ μουσικευόμενος ἐν τοῖς πολίταις, λοιπὸν ἐν ἡσυχίᾳ εἶναι, μήτε τινὶ κακὸν προστριψάμενος, καὶ αὐτὸς δὲ ἀβλαβὴς ὢν τὸ λοιπὸν πρὸς τοὺς πολίτας. Ἄλλως. δαιδαλέαν φόρμιγγά, φησι, βασάζων, ὥστε ἀπαγγεῖλαι τὰ ὑπὸ Πινδάρου αὐτῷ δεδομένα ποιήματα. θέλει δὲ εἰπεῖν, ὅτι καὶ μουσικός ἐστι.

530. Καί κε μυθήσαιτο] καὶ δὴ εἴποι ἄν σοι, ὁποίαν εὗρε πηγὴν τῶν θείων ἐπῶν, ὡς πρὸς ἑαυτὸν

Εὗρε παγὰν ἀμβροσίων ἐπέων
Πρόσφατον, Θήβα ξενωθείς.

ἑαυτὸν τοῦτο λέγει, ὅτι θαυμασῶς γράφει.

533. Πρόσφατον Θήβᾳ] ἀρτίως ἐπιξενωθεὶς καὶ ἐπιδημήσας ταῖς Θήβαις. παραγέγονε γὰρ πρὸς τὸν Πίνδαρον ὁ Δημόφιλος, ἵνα αὐτὸν ἀξιώσῃ διὰ τῶν ὕμνων διαλλάξαι αὐτὸν πρὸς τὸν Ἀρκεσίλαον.

Περὶ

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τῶ πέμπτω εἴδους.

Τῆς πέμπτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιγ΄. Τὸ πρῶτον χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ β΄, περιοδικόν· ἢ λέγεται διπλᾶς ἴαμβος. ἔστι δὲ δίμετρον (ἰαμβικὸν) ὑπερκατάληκτον. Τὸ γ΄ ὅμοιον τῶ αὐτῶ. Τὸ τέταρτον τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ε΄, παιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ς΄, ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ζ΄ ὅμοιον τῶ· Τίς σὰς παρῆιρε Φρένας; Τὸ ὄγδοον, χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ θ΄, ὅμοιον τῶ πρώτω (immo ἰαμβικὸν δίμετρον ἀκατάληκτον). Τὸ δέκατον παιωνικὸν δίμετρον ἀκατάληκτον διὰ κρητικῆ, ὅ ἐστι παίων τέταρτος. Τὸ ια΄, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δωδέκατον ἰαμβικὸν δίμετρον καταληκτικόν, ὅ ἐστιν ἐφθημιμερές. Τὸ ιγ΄ τροχαϊκὸν δίμετρον καταληκτικόν.

Περὶ τῶν κώλων τῆς ἐπωδῆς τῶ αὐτῶ εἴδους. Ἡ ἐπωδὴ κώλων ἐστὶ δώδεκα σὺν δύο· Τὸ πρῶτον ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ δεύτερον ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ γ΄ ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ δ΄ περιοδικὸν [δίμετρον], διπλᾶς τροχαῖος, ἀκατάληκτον. Τὸ ε΄ τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ἕκτον περιοδικόν· ἢ λέγεται διπλᾶς ἴαμβος. ἔστι δὲ τρίμετρον καταληκτικόν. Τὸ ζ΄, Γλυκώνειον. Τὸ η΄ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ θ΄ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. ἰδίως δὲ ἐπήνεγκεν αὐτῷ τὰς τροχαίας. Τὸ ι΄ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκ-

τάληκτον. Τὸ ια΄ παιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ΄ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ιγ΄ ὅμοιον τῷ αὐτῷ. Τὸ ιδ΄, χοριαμβικὸν δίμετρον καταληκτικὸν, ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς.

Περὶ τῆς ᾠδῆς. Γέγραπται καὶ αὕτη ἡ ᾠδὴ νικήσαντι τῷ αὐτῷ Ἀρκεσιλάῳ ἅρματι τὴν τριακοστὴν πρώτην Πυθιάδα. ἐπειδὴ δὲ διήγημα μᾶλλον ἐν τῷ πρώτῳ ἐπινίκῳ, ἥπερ ἐγκώμιον, πεποίηται τῷ Πινδάρῳ, καὶ παρέκβασις διηγηματικὴ τῶν κατὰ Ἰάσονα, ἐδέησεν αὐτῷ καὶ δευτέρου γράψαι ἐπίνικον.

Sub finem carminis haec adiecta sunt:

Εἰ τὸ περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τὸ παρόντος εἴδους ἐν ἀρχῇ γεγραμμένον διωρίσατο τὰ κῶλα αὐτῶν εἶναι τριακαίδεκα, ἡμεῖς δὲ εἰκότως ταῦτα ιδ΄ ἐποιήσαμεν, μὴ θαυμάσητε περὶ τούτῳ, ἀλλὰ τὴν μετὰ πολλῆς πόνου ἐπιμέλειαν, ἣν εἰς τὴν τοῦ Πινδάρου ἐπιδιόρθωσιν ἔχων διατελῶ· δι' ἧς τὰ κῶλα τοσαῦτα εὑρὼν, ὀρθῶς διεχώρισα, μὴ πεισθεὶς τῷ παλαιῷ ἀντιγράφῳ, καὶ ἀγαθῷ ὄντι. ἔλεγε γὰρ ἐν τῷ τέλει τῆς ἐξηγήσεως· Γέρας ἐπὶ Βάττου γένει· ἰστέον ὅτι ἀκ ἔχει τὴν ποσότητα τῶν κώλων. ἐγὼ δὲ οὐχ ὅτως, ἀλλ' ὡδὲν ἐκλείπει, ὡς δέδεικται ἐν τῇ ὑφ' ἡμῶν γενομένῃ ἀψευδεῖ τῶν κώλων διαιρέσει τοῦ αὐτοῦ εἴδους.

ARGV-

ARGVMENTVM QVINTI CARMINIS

Multum opes valent, cum pura virtute coniunctae (1 — 5). Tu, Arcesila, eas ab imis vitae gradibus tenes, cum gloria (ex victoriis curulibus) propter Castorem (— 11), qui post tempestatem domum tuam colluſtrat (— 14). Sapientes rectius vtuntur diuinitus concessa potentia. Te iuste incedentem multa cingit opulentia; multis vrbibus praees; vultus habet dignitatem cum prudentia iunctam; iam vero beatus es, quod ob victoriam Pythicam celebraris (— 29). Ne obliuiscaris deo gratias agere, et diligere prae caeteris Carrotum; qui non afferens excusationis praetextum Cyrenen rediit, sed duodecies stadium Pythicum emensus coronam tibi retulit (— 45). Nulla quadrigae pars fracta ei est, sed dedicata in templo pendet, suspensa e cupressino tholo iuxta ligneum Apollinis simulacrum a Cretensibus sacratum (— 56). Beneuole igitur occurrendum est benefactori. Fili Alexibii, (Carrote), te gratiae colluſtrant. Felix es, cui post labores carminum monumentum contingit. Quadraginta aurigis lapsis, tu currum integrum seruasti, reversusque es in patriam (— 70). Nemo laborum expers fuit aut erit. Tibi vero (Arcesila) antiqua adest Battiadarum fortuna moderans omnia, ciuium praesidium, hospitum salus (— 75). Illum (Battum) vel leones fugerunt, cum in Libyam veniſſet. Apollo feras terruit, vt oraculum Cyrenes conditori datum

eueniret, Apollo medicamentorum, citharae, et oraculorum Delphicorum, quae Heraclidas et Doras in Peloponneſum concedere iuſſerunt, auctor (—96). Spartae res mihi honorifica narratur. Inde Aegidae, maiores mei, Theram profecti ſunt; indeque Carnea, tuum feſtum, Apollo, Cyrenen transtulerunt, quam Antenoridae Troiani tenebant, cum Helena, patria exciſa, huc profecti (— 113). Hi viros benigne exceperunt, quos Battus adduxit. Is maiora templa condidit et viam Scyrotam ludis curulibus deſtinatam, iuxta quam ipſe ſepultus eſt, nunc ſemideus (— 129). Ceteri reges ſeorſum habent ſepulcra. In tartaro audiunt hymnos et laudes Arceſilae (— 138). Illum oportet celebrare Apollinem ob victoriam Pythicam. Laudant eum ſapientes; peruulgatum hoc eſt: prudentiſſimus, facundiſſimus, fortiſſimus, ſublimi ingenio, peritus auriga eſt. Tenet omnes domeſticas virtutes. Et nunc deus ei adeſt, et porro, o dii, adeſte factis et conſiliis, ne pereat. Iupiter fortunam moderatur. Eum precor, vt Arceſilae etiam Olympicam victoriam largiatur (— 168).

ΕΙΔΟΣ Ε'.

ΑΡΚΕΣΙΛΑΟΣ ΚΥΡΗΝΑΙΟΣ

ΑΡΜΑΤΙ.

Σ. α'. Κ. ιδ'.

Ὁ πλοῦτος εὐρυσθενής,
Ὅταν τις ἀρετᾷ κεκραμένον καθαρᾷ βροτήσιος ἀνήρ,
Πότμος παραδόντος αὐτὸν, ἀνάγῃ
Πολύφιλον ἐπέταν. —
Ὦ θεόμορ' Ἀρκεσίλα,

1. Ὁ πλοῦτος εὐρυσθενὴς] τὸν μετὰ ἀρετῆς πλοῦτόν φησιν εὐρυσθενῆ εἶναι. τὸ γὰρ ἕτερον ἄνευ τοῦ ἑτέρου οὐκ ἀσφαλές ἐστιν, ὡς καὶ Καλλίμαχός φησιν (Hymn. in Iov. 95 f.)·

Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσατον ἄνδρας ἀέξειν,
Οὔτ' ἀρετὴ ἀφένοιο.

καὶ ἡ Σαπφώ· ὁ πλοῦτος ἄνευ ἀρετῆς οὐκ ἀσινὴς πάροικος. μόνον οὕτως ὁ πλοῦτος εὐρυσθενής ἐστιν ὄντως, καὶ μέγα ἰσχύει, ἐὰν κεκραμένος ἀρετῇ ὑπάρχῃ. Πολύφιλον δέ φησιν αὐτὸν ἑπέταν, ἐπειδὴ τῷ πλουτοῦντι πολλοὶ ἕπονται. ὕτω δὲ Ἀρίσταρχος. ἔστι μὲν χωρὶς τὸ, πολύφιλον, λέγειν, χωρὶς δὲ τὸ, ἑπέταν. τοιοῦτός ἐστι τῷ ἔχοντι ὀπαδὸς, ὥστε πολλοὺς φίλους ποιεῖν. ἔστι δὲ καὶ συναμφότερα ἀκούειν· ᾧ πολλοὶ φίλοι ἑπονται. τὸ δὲ ἀνάγῃ τὸ αὐτὸ τῷ αὔξει· ἢ ἐν τῷ καθόλου, τὸν πολύφιλον πλοῦτον, ἢ ὅταν πολυφίλως αὐτὸν ἀνάγῃ, ὅτι πολύφιλοι οἱ πλούσιοι. Τὸ δὲ ἑπέταν, τὸν τοῖς ἐν χρείᾳ καθεσηκόσιν ἑπόμενον. ὁ δὲ νῦς· ὁ πλοῦτος ἄγαν ἰσχυρότατός ἐστιν, ὅταν τις ἀνθρώπων ἀρετῇ συγκεκραμένον καθαρᾷ τῆς τύχης αὐτὸν παραδιδύσης ἀνάγῃ, πολύφιλον ὄντα, καὶ διδῷ τοῖς ἐν χρείᾳ καθεσηκόσιν.

6. Ὦ θεόμοις' (sic) Ἀρκεσίλα, σὺ τοί νιν] σύ, φησιν, ὦ ἐκ θεῶν ταύτην ἔχων τὴν μοῖραν, Ἀρκεσίλαε, ὅ ἐστιν, ἐκ θεῶν εἰληφὼς τὴν βασιλείαν, αὐτὸν τὸν πλοῦτον ἀπ' ἄκρων βαθμίδων τῆς αἰῶνος,

Σὺ τοί νιν, κλυτᾶς
Αἰῶνος ἀκρᾶν βαθμίδων
Ἄπο, ξὺν εὐδοξίᾳ
Μετανίσσεαι ἔκατι χρυ-
σαρμάτᾳ Κάστορος·
Εὐδίαν ὃς μετὰ χειμέριον
Ὄμβρον τεὰν καταιθύσ-
σει μάκαιραν ἑστίαν. —

Α. ά. Κ. ιδ'.

Σοφοὶ δέ τοι κάλλιον
Φέροντι καὶ τὰν Θεός-

δοτον

νος, τυτέσιν, ἀπ' ἀρχῆς τᾷ βίᾳ, καὶ ἀφ' ᾧ ἐγνωρίσθης τῷ κόσμῳ ἢ βίᾳ, σὺν εὐδοξίᾳ μετέρχῃ, ὅτι μὴ εἰς ῥᾳδυμίαν αὐτῷ χρώμενος εἶ, ἀλλ' εἰς τὰ δοξάζειν δυνάμενα, ἱπποτροφίας καὶ τὰ τοιαῦτα. Διατί δὲ σὺν Κάστορι; ἢ ὅτι ἱππικὸς ὁ θεός· Ὅμηρος (Il. III, 237.)· Κάστορά θ' ἱππόδαμον· ὁ δὲ Ἀρκεσίλαος ἱπποτρόφει· ἢ ὅτι δοκεῖ πρῶτος συνωρίδα καταζεῦξαι Κάστωρ· ἢ ὅτι ἄνωθεν οἱ Βαττιάδαι καὶ Ἀριστοτέλης Λάκωνες ἦσαν, ὅθεν καὶ οἱ Τυνδαρίδαι· ἀπὸ γὰρ Λακώνων εἰς Θήραν ἦλθον, ἀπὸ δὲ τῆς Θήρας εἰς Κυρήνην· ἢ ὅτι ἐπιφανῶς ἄγκει Κυρηναῖοι τὰ Διοσκούρεια, βάττα πρώτη καταδείξαντος τὴν εὐχήν. Ἄλλως. κέλητα καὶ χαλινὸν πρῶτος Βελλεροφόντης κατεζεύξε, συνωρίδα Κάστωρ, ἅρμα Ἐριχθόνιος ὁ Ἀθηναῖος, ἁρπάβην Ὄξυλος ὁ Αἰτωλός.

12. Εὐδίαν ὃς μετὰ χειμέριον] ὁ Κάστωρ σοι εὐδίαν παρασκευάζει. ἐπαινίττεται δὲ τὸν τῶν Κυρηναίων νεωτερισμόν (πάσις γὰρ ἐνέπεσεν αὐτῷ πρὸς τὸν δῆμον), ὃν δὴ χειμῶνα ἔφη. διχόθεν ὁ Κάστωρ εὐμενής σοι ἐστὶν, εἴς τε τὴν εὐδαιμονίαν ἐκ χειμῶνος κατάστασιν, καὶ εἰς τὴν ἱππικὴν νίκην. Ἄλλως. Εὐδίαν ὅς. Ὅσις ὁ Κάστωρ μετὰ τὸν χειμερινὸν ἐκεῖνον ὄμβρον τῶν πραγμάτων περὶ τὴν σὴν μακαρίαν ἑστίαν καταλάμπει, τοῦτο δὲ φησιν, ὅτι ἐσασίαστο τὰ περὶ τὴν Κυρήνην πράγματα τῷ Ἀρκεσίλᾳ, κατ' ἐκεῖνο.

15. Σοφοὶ δ' ἔτι (sic) κάλλιον] τοῦτο φησιν, ὅτι διδόασιν οἱ θεοὶ τοῖς ἀνθρώποις ἀγαθὰ, οἱ δὲ σοφοὶ καλλίονα ποιοῦσιν αὐτὰ προσεπικοσμοῦντες διὰ τὴν αὐτῶν ἀρετήν.

16. Φέροντι καὶ τὰν Θεόδοτον] ἀντὶ τοῦ φέρασι καὶ ποιῆσι. τὸ δὲ Θεόδοτον, ἀντὶ τοῦ Θεόδοτον εἶπε.

17. Σὲ

δοτον δύναμιν. — σὲ δ' ἐρχόμενον ἐν
Δίκᾳ πολὺς ὄλβος ἀμφινέμεται·
Τὸ μὲν, ὅτι βασιλεὺς
Ἐσσὶ μεγαλᾶν πολίων,
Ἔχει συγγενὴς
Ὀφθαλμὸς αἰδοιότατον
Γέρας τεᾷ τῶτο μι-
γνύμενον φρενί γε· μάκαρ δὲ καὶ
Νῦν, κλεεννᾶς ὅτι
Εὖχος ἤδη παρὰ Πυθιάδος
Ἵπποις ἑλὼν δέδεξαι
Τόνδε κῶμον ἀνέρων,

Ε. ά. Κ. ιδ'.

Ἀπολλώνιον ἄθυρμα. Τῷ σε
Μὴ λαθέτω Κυράνα
Γλυκὺν ἀμφὶ κᾶπον

Κ 3 Ἄφρο-

17. Σὲ δ' ἐρχόμενον ἐν δίκᾳ] σὲ δὲ δικαίως βαδίζοντα καὶ ζῶντα πολὺς σὺν εὐδαιμονίᾳ πλῶτος περιέχει.

19. Τὸ μὲν, ὅτι βασιλεὺς ἐσσὶ] τῶτο Ἀττικὸν τὸ σχῆμα. τῶτο μὲν, ὅτι βασιλεὺς εἶ μεγάλων πόλεων, ἔχει σε ὁ συγγενὴς ὀφθαλμὸς γέρας αἰδοιέστατον, τυτέστιν, ὁ ἴδιός σε ὀφθαλμὸς βλέπει περισσὸν τὸ γέρας τῆς βασιλείας αἰδοιέστατον, οἷον, βλέπει σεαυτὸν τιμώμενον. δύναται γὰρ ἀπὸ τῦ ὀφθαλμῦ τὸ ὅλον σῶμα σημαίνεσθαι· καὶ κατὰ τῶτο δὲ μακάριος εἶ, ὅτι τὰ Πύθια ἐνίκησας.

24. Μάκαρ δὲ καὶ νῦν κλεεννᾶς] μακάριος δὲ τυγχάνοις καὶ ἐπὶ τῦ παρόντος, ὅτι τῆς εὐδόξε Πυθιάδος τὴν δόξαν τοῖς ἵπποις λαβὼν ἐδέξω καὶ τῶτον τὸν κῶμον καὶ ὕμνον παρὰ τῶν χορευτῶν, ὄντα Ἀπόλλωνος παίγνιον· ἤτοι ὅτι μυσηγέτης ὁ θεὸς· παιδιὰ γὰρ Ἀπόλλωνος ἡ χορεία· ἢ Ἀπόλλωνος ἄθυρμα, τὴν νίκην· Ἀπόλλωνι γὰρ ἀνιέρωται ὁ ἀγών. λέγει δὲ, ὅτι Πύθια νενίκηκε.

29. Τῷ μή σε (lic) λαθέτω Κυράνα] διὸ μή σε λανθανέτω ἡ Κυρήνη ἀνυμνυμένη.

31. Ἀμφὶ κᾶπον] κῆπον Ἀφροδίτης τὴν Κυρήνην φησὶν, ὡς καλλίκαρπον καὶ διὰ τῶτο ἐράσμιον καὶ ἐπαφρόδιτον, εἰ μὴ ἄρα τὸν τῶν Χαρίτων λόφον ὠνόμασεν ὕτως Ἀφρο-

Ἀφροδίτας ἀεισόμενον,
Παντὶ μὲν Θεὸν αἴτιον ὑπερτιθέμεν,
Φιλεῖν δὲ Κάρρωτον ἔξοχ' ἑταίρων.
Ὅς ὲ τὰν Ἐπιμηθέος
Ἄγων

Ἀφροδίτης κῆπον. Καλλίμαχος (Fragm. 266.)· Ἡ ὑπὲρ αὐσταλέου Χαρίτων λέφον.

33. Παντὶ μὲν θεὸν αἴτιον ὑπερτιθέμεν] ἐπὶ παντὸς πράγματος δεῖ, φησὶ, τῷ θεῷ τὴν αἰτίαν ἀνάπτειν, ὑπερτιθεῖν τε καὶ φιλεῖν· ὥστε Ἀρίσαρχος ἀντὶ τοῦ, φίλει· καὶ σὲ τοίνυν περὶ μὲν πάντων τῷ θεῷ ἀνατιθένου, προσήκει δὲ φιλεῖν παρὰ τὰς ἄλλας ἑταίρας Κάρρωτον. ἐστὶ δὲ ὄνομα κύριον, περὶ οὗ μέμνηται πρὸς τὸν Ἀρκεσίλαον· οἱ δὲ τὸν ἡνίοχον τύτε, ὃν φησιν ὁ Πίνδαρος τῆς Πυθικῆς νίκης αἴτιον γενέσθαι τῷ Ἀρκεσιλάῳ, κατάγειν δὲ αὐτῷ καὶ στρατιωτικὸν ἀπὸ τῆς Ἑλλάδος ἀθροίσαντα. ταῦτα δὲ πυθόμενος παρατιθέμενος τὰ Θεοτίμου ἐκ τοῦ πρώτου περὶ εἰρήνης, ἔχοντος ὕτως· διαπίπτουσαν δὲ τὴν πρᾶξιν αἰσθόμενος ὁ Ἀρκεσίλαος καὶ βουλόμενος δι' αὐτοῦ τὰς Ἑσπερίδας σώσασθαι, πέμπει μὲν εἰς τὰς πανηγύρεις ἵππους ἀθλήσοντας, Εὔφημον ἄγοντα. νικήσας δὲ τὰ Πύθια καὶ τὴν ἑαυτοῦ πατρίδα ἐξεφάνωσε, καὶ ἐποίκους εἰς τὰς Ἑσπερίδας συνέλεγεν. Εὔφημος μὲν οὖν ἐτελεύτα. Κάπωτος δὲ, τῆς Ἀρκεσιλάου γυναικὸς ἀδελφὸς, διεδέξατο τὴν τῶν ἐποίκων ἡγεμονίαν. ὁ τοίνυν Πίνδαρος, τοῖς ἑταίροις καθομιλῶν, τὸ καταπραχθὲν τῷ Εὐφήμῳ, τῷ Καρρώτῳ προσῆψε· μόνῳ γὰρ κατῴκητό, φησιν, αὐτῷ ἀγαγεῖν τὸ στρατιωτικόν. δόξειε δ' ἂν τύτοις συνᾴδειν καὶ τὸ μείζοσιν ἢ κατ' ἡνίοχον τοῖς περὶ αὐτοῦ λόγοις τὸν Πίνδαρον κεχρῆσθαι. ἑταῖρον γάρ φησι καὶ εὐεργέτην τοῦ βασιλέως· ὅπερ ἂν εἰκότως ἐπὶ κηδεστοῦ λέγοιτο ἢ ἐπὶ ἡνιόχυ. φησὶ γάρ· Ἑκόντι τοίνυν πρέπει νόῳ τὸν εὐεργέτην ἀντιάσαι· αὐτεργόν τινα τὸν Κάρρωτον γενόμενον ἡνιοχῆσαι τὸ ἅρμα, διὰ τὸ ἐπικῶς τὰς Κυρηναίας ἁρματηλάτας εἶναι καὶ ἱππικὰς, ὥστε ἀμφότερα τῷ Ἀρκεσιλάῳ αὐτὸν κατεργάσασθαι, ἡνιοχῆσαί τε καὶ στρατολογῆσαι.

35. Ὅς ὅτ' ἄν (sic) Ἐπιμηθέος ἄγων] Ἐπιμηθέως λέγουσιν ἐπίκαιραν θυγατέρα τὴν Μεταμέλειαν καὶ τὰ παραπλήσια, καθάπερ καὶ Προμηθέως τὴν Προμήθειαν. νῦν οὖν ὁ Πίνδαρος τὴν Προφάσιν αὐτὴν Ἐπιμηθέως εἶπε θυγατέρα. οὐκ ἐκόμισεν οὖν σοι, ὦ Ἀρκεσίλαε, φησὶν ὁ Κάρρωτος λόγος καὶ προφάσεις, ἀλλὰ νίκην. εἰώθασι γὰρ οἱ ἡττηθέντες σκήπτεσθαι ποριζόμενοι προφάσεις τῆς ἥττης. Ἄλλως. παρεισῆκτο ὁ Ἐπιμηθεὺς ἀνόητος καὶ ἀπὸ τῶν ἀποβαινόντων συμπτωμάτων καὶ παθῶν διδασκόμενος τὰ ἀσύμφορα καὶ μεταμελόμενος, ὁ δὲ τύτε

Ἄγων ὀψινόα θυγατέρα Πρό-
Φασιν Βαττιδᾶν
Ἀφίκετο δόμως θεμισκρεόντων·
Ἀλλ' ἀρισθάρματον,
Ὕδατι Καταλίας
Ξενωθεὶς, γέρας ἀμφ-
έβαλε τεαῖσιν κόμαις,

Σ. β'. Κ. ιδ'.

Ἀκηράτοις ἀνίαις
Ποδαρκέων δωδεκά-
δρομον τέμενος. κατέκλασε γὰρ ἐν-
τέων

τότε ἀδελφὸς, Προμηθεὺς, καὶ σοφὸς καὶ προορώμενος. διὸ καὶ τέκνομα ἀπὸ τῦ προμαθεῖν ἔσχε. καὶ Σοφοκλῆς δὲ ἐν τῷ Προμηθεῖ, τῦ Προμηθέως, θέλων λέγειν τῆς φρονήσεως, ἀντέχεσθαι καὶ μὴ τῆς μεταμελείας. ὀψινοον δὲ τὴν Πρόφασιν εἶπε, διὰ τὸ ὀψέ ποτε καὶ βραδέως τὰ συμφέροντα καὶ ἀσύμφορα καταλαμβάνειν. ὁ δὲ νῦς ὅτως· ὅς τις Κάρβωτος ὑ τὴν τῦ βραδέως βαλευσαμένη θυγατέρα Ἐπιμηθέως Πρόφασιν ἄγων εἰς τὰς εἴκας τῶν Βαττιαδῶν, τυτέστι τῶν Κυρηναίων, παρεγένετο, τυτέστιν ὡχ ἥττηθεὶς καὶ προφασισάμενος αἰτίαν τῆς ἥττης ἦλθεν εἰς Κυρήνην, ἀλλὰ νικήσας.

39. Ἀλλ' ἀρισθάρματον ὕδατι Καταλίας] ἀλλ' ἐξοχώτατον ἐκ τῶν ἁρμάτων γέρας, ἐν Πυθῶνι παραγεγονὼς (ἀπὸ γὰρ τῆς πηγῆς τὸ χωρίον ἀκηκόει) περιέβαλεν ὁ Κάρβωτος ταῖς σαῖς κόμαις, ἀφθάρτοις ἡνίαις κατὰ τὸ τέμενος τῶν δωδεκαδρόμων ἁρμάτων ἐπαρκῶν, τυτέστι, τὸ τάδιον τοῖς ποσὶν ἐπαρκέσας, καὶ τὴν νίκην ἀπενεγκάμενος. φασὶ δέ τινες, ὅτι δώδεκα δρόμως ἀνύει τὸ τέλειον ἅρμα, τὸ δὲ πωλικὸν ὀκτώ. τῦτο δὲ μαρτυρήσει καὶ ὁ Καλλίμαχος λέγων (p. 394. T. 1. Ern).

Δωδεκάκις περὶ δίφρον ἐσήγαγεν ὄθματα δίφρυ.

43. Ἀκηράτοις ἀνίαις] ἀκηράτως ἀνίας παρὰ τὸ ἀδιαφθόρως εἶναι ἔφη· ὑ γὰρ διεφθάρησαν κατὰ τὸν δρόμον, ἀλλὰ διέμενον ὑγιεῖς. ἔξωθεν δὲ προσληπτέον τὴν κατὰ, ἵν' ᾖ, κατὰ τὸ τέμενος.

45. Κατέκλασε γὰρ ἐντέων σθένος ὐδὲν] ὐδὲν γὰρ τῶν αὐτῷ ἁρμάτων ὁ Κάρβωτος κατέκλασεν. ἐν γὰρ τοῖς ἑξῆς αὐτὸς ἰσορρεῖ τεσσαράκοντα δίφρως τὰς συναγωνιζομένως τῷ τῦ Ἀρκεσιλάυ ἅρματι κατεάγθαι

κατ

τέων σθένος ἀδὲν· ἀλλὰ κρέματι,
Ὁπόσα χεριαρᾶν
Τεκτόνων δαίδαλ' ἄγων
Κρισαῖον λόφον
Ἄμειψεν, ἀν' κοιλόπεδον
Νάπος Θεᾶ· τόσσ' ἔχει
Κυπαρίσσινον μέλαθρον ἀμ-
φ' ἀνδριάντι σχεδὸν,
Κρῆτες ὀν τοξοφόροι τέγεϊ
Παρνασσίῳ κάθεσσαν
Τῶ μονόδροπον φυτόν.

Α. β'. Κ. ιδ'.

Ἑκόντι τοίνυν πρέπει
Νόῳ τὸν εὐεργέταν
Ὑπαντιάσαι. — Ἀλεξιβιάδα,
Σὲ δ' ἠύκομοι φλέγοντι Χάριτες.

Μακά-

κατὰ τὸν δρόμον, μόνον δὲ τὸ τῆ Καρθώτη ὄχημα ἀπήμαντον ἀνύσαι τὸ τάδιον, καὶ διὰ τῦτο ἀνατεθῆσθαι τῷ Ἀπόλλωνι. ὁ δὲ νῦς ὕτως· ἡδαμῶς δὲ συνέτριψε τῆς τῦ ἅρματος σκευῆς ἡδὲν, ἀλλὰ κρέματι καὶ ἀνιέρωτι τῷ Ἀπόλλωνι, ὁπόσα τῶν ταῖς χερσὶν ἁρμοζόντων τεκτόνων ποικίλματα ἄγων, τὸν Κρισαῖον λόφον κατὰ τὸ κοιλόπεδον πεδίον ἔδραμε τῦ Ἀπόλλωνος.

51. Τὸ σφ' ἔχει (sic) κυπαρίσσινον μέλαθρον] ὅπερ τὸ ὄχημα ἔχει τὶς οἶκος ἐτεγανωμένος κυπαρισσίνοις δοκοῖς πλησίον τῦ ἀνδριάντος, ὅν τινα μονόβελον ὄντα οἱ Κρῆτες παρὰ τῷ Παρνασσίῳ ὄρει καθίδρυσαν, τυτέστιν, ἐν τῇ Πυθοῖ. Μονόδροπον γὰρ τὸ μονόβελον ἢ μονόξυλόν φησι, παρὰ τὸ μόνον αὐτὸ εἰλῆφθαι. δρέπεσθαι γὰρ τὸ λαμβάνειν.

57. Ἑκόντι τοίνυν πρέπει νόῳ] ὁ λόγος πρὸς τὸν Ἀρκεσίλαον. προσήκει σέ, φησιν, ἑκοντὶ τὸν εὐεργέτην Κάρθωτον ἀμείβεσθαι, ἀφ' ὧν εἰς σὲ διεπράξατο.

59. Ἀλεξιβιάδα, σὲ δ' ἠύκομοι] ὦ Ἀλεξιβία υἱὲ Καρθώτε, σὲ δὲ αἱ εὔκομοι ἐκ τῆς μνήμης καταλαμβάνυσι Χάριτες.

61. Μακάριος, ὅς ἔχεις] μακάριος δὲ καὶ εὐδαίμων τυγχάνεις, ὅτις καὶ μετὰ τὸν μέγαν κάματον διὰ τῶν ἐμῶν φερτάτων λόγων, τυτέστι

Μακάριος, ὃς ἔχεις
Καὶ πεδὰ μέγαν κάματον
Λόγων Φερτάτων
Μναμήϊον. ἐν τεσσαράκον-
τα γὰρ πετόντεσσιν ἀ-
νιόχοις ὅλον δίφρον κομί-
ξαις ἀταρβεῖ Φρενὶ
Ἦλθες ἤδη Λιβύας πεδίον
Ἐξ ἀγλαῶν ἀέθλων
Καὶ πατρωΐαν πόλιν. —

Ε. β΄. Κ. ιδ΄.

Πόνων δ' ὅ τις ἀπόκλαρός ἐσιν,
Οὔτ' ἔσεται. — ὁ Βάττε
Δ' ἔπεται παλαιὸς
Ὄλβος ἔμπας τὰ καὶ τὰ νέμων,

Κ 5 Πύ-

τετέσι τῶν ὕμνων, ἔχεις μνημεῖα τῶν καμάτων. ταῦτα δὲ ἤτοι πρὸς τὸν Ἀρκεσίλαον λέγει, διὰ τὸ σάσεσι κεχρῆσθαι πρὸς τὰς ὑπηκόους, ἢ πρὸς τὸν Κάρβωνον, διότι περὶ τὴν τῶν ἐποίκων συλλογὴν πολλὰ ἐταλαιπώρησεν.

64. Ἐν τεσσαράκοντα γὰρ πετόντεσσιν] ὁ νῦς· ἐν γὰρ τεσσαράκοντα καταπεσοῦσιν ἡνιόχοις ἄθραυστον καὶ ὑγιᾶ τὸν δίφρον ἤγαγες ἀταράχῳ διανοίᾳ, καὶ παρεγένου εἰς τὸ Λιβύης πεδίον ἐκ τῶν ἐνδοξοτάτων ἀγωνισμάτων, καὶ εἰς τὴν ἐπίδοξον πόλιν Κυρήνην.

71. Πόνων δ' ὅ τις ἀπόκλαρός ἐσι] τοῦτο καθολικῶς φησὶ, παραμυθούμενος αὐτόν. ὁ δὲ νῦς· ὠδεῖς δὲ ἀνθρώπων ἄμοιρός ἐσι πόνων καὶ καμάτων, οὔτε ἔσῃ ποτέ. ἴσως δὲ τοῦτο εἶπεν, ὡς τῷ Καρβώτῳ κεκμηκότος ἀβλαβὲς διασῶσαι τὸ ἄρμα.

74. Ἔμπας τὰ καὶ τὰ νέμων] τετέσι τὰ ἀγαθὰ καὶ τὰ κακά. ἀμήχανόν γάρ, φησιν, ἄνθρωπον ὄντα, τὰ πάντα ἀγαθὰ λαβεῖν. Ὅμηρος (Il. XXIV, 327.)·

Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὐδει.

καὶ αὐτὸς ὁ Πίνδαρος (Pyth. III, 145.)·

Ἓν παρ' ἐσλὸν πῆματα σὺν
Δύο δίδοντοι βροτοῖς.

χρῶντοι δὲ τῷ ἔμπας ἀντὶ περισπωμένῳ τῷ, ὁμῶς, ὅ ἐσιν ἴσον τῷ ὁμοίως· καὶ γὰρ τὸ ἔμπης ἀντὶ περι-

75 Πύργος ἄστεος ὄμμα τε Φαεννότατον
Ξένοισι. κεῖνόν γε καὶ βαρύκομποι
Λέοντες περὶ δείματι
Φύγον, γλῶσσαν ἐπεί σφιν ἀπένεικεν
Ὑπερποντίαν·
80 Ὁ δ' ἀρχαγέτας ἔδωκ' Ἀπόλλων
Θήρας αἰνῷ φόβῳ

Ὄφρα

περισπωμένως τῇ ὁμῶς τάσσει Ὄμηρος (Od. XVIII, 353.)·

Ἔμπης μοι δοκέει δαίδων σέλας ἔμμεναι αὐτῇ
Καὶ κεφαλῆς.

Καὶ πάλιν (Il. XIV, 174.)· Ἔμπης ἐς γαῖάν τε καὶ ἠρανόν. καὶ ἐπὶ τῶν ὁμοίων.

76. Κεῖνόν γε καὶ βαρύκομποι λέοντες] Ἀρίσταρχος κατὰ τὸν τόπον φησὶ τοῦτον, καθ' ἕν ἔκτισαι ἡ Κυρήνη, λέοντας διατρίβειν πολλοὺς, τῷ δὲ Βάττῳ τὸν Ἀπόλλωνα δᾶνόν τινας ἐπῳδὰς, δι' ὧν αὐτὸς ἔμελλεν ἀπορροβήσειν, καὶ τὸν τόπον ἡμερώσειν. Ὑπερποντίαν δὲ αὐτὸν ἐπενέγκαι γλῶσσάν φησι, παρόσον τὴν τοῦ Ἀπόλλωνος φωνὴν ἐκ Δελφῶν εἰς Λιβύην μετήνεγκε. μήποτε δὲ τοπικῇ κατείληπται φράσει, καὶ ἔστιν ὃ βλέπεται λέγειν, ὅτι ἐνθήρας τῆς Λιβύης ὄσης, ὁ Βάττος οἰκίσας τὴν Κυρήνην παρεσκεύασε φυγεῖν τοὺς λέοντας, δέει τῷ αὐτοῦ. ὁ δὲ νῦς· ἐκεῖνον δὲ τὸν Βάττον καὶ οἱ χαλεποὶ λέοντες τῆς Λιβύης ἔφυγον, γλῶσσαν ἐπεί σφισιν ἀπένεικεν ὑπερποντίαν. ἠχ ὅτι, φησὶν ὁ Δίδυμος, οἱ λέοντες ἐκ φωνῆς ἔφυγον, ἀλλ' ἐπεὶ τὴν ἀπόφασιν ἐκ Πυθίας ὑπὲρ τὸν πόντον διεκόμισεν. ἐλθόντι γὰρ αὐτῷ εἰς Δελφοὺς, καὶ χρωμένῳ, πῶς ἀποκατασήσει φωνήν, παραλιπεῖσα τὸ ἐρωτηθὲν ἐκέλευσεν αὐτῷ πόλιν κτίζειν ἐπὶ τῆς Λιβύης. τοιοῦτον δ' ἦν ἐπὶ τὸ, γλῶσσαν ἐπεί σφιν ἀπένεικεν, ἐπεὶ τὸν χρησμὸν διεκόμισε. κατὰ γὰρ τὸν χρησμὸν διεβίβασεν ὄχλον, καὶ ἔκτισε τὴν Κυρήνην. ἔφυγον δὲ οἱ λέοντες φοβηθέντες τὸ πλῆθος, ἢ τὴν φωνὴν τοῦ Βάττου. οἱ δὲ τὸ, γλῶσσαν ἐπεί σφιν ἀπένεικεν ὑπερποντίαν, ὕπως ἀποδιδόασιν· ὅτι τοσοῦτον ἐφώνησεν, ὥστε τὴν πρότερον ἐνδεδωκυῖαν αὐτῷ ὑπερποντίαν γενέσθαι.

80. Ὁ δ' ἀρχαγέτας δῶκεν (sic) Ἀπόλλων] ὁ δὲ τῆς ἀποικίας ἀρχηγέτης Ἀπόλλων τὰς Θήρας εἰς φυγὴν παρώρμησεν, ὅπως ἂν μὴ τῷ βασιλεῖ τῆς Κυρήνης, τῷ Βάττῳ, ἀτελὴς γένοιτο καὶ ἀνοικισθῇ ἡ Κυρήνη. καὶ τοῦτο ἑαυτῷ συνᾴδων ὁ Δίδυμος ὕπως ἀποδίδωσιν· ἐπεὶ ὁ Ἀπόλλων ἔχρησεν οἰκίσαι τὴν Κυρήνην, αἴτιος ἐγένετο τοῦ φυγεῖν τὰς Θήρας. οἰκιζομένης γὰρ τῆς πόλεως ἔφυγον· μενόντων δὲ τῶν Θηρίων οὐκ ἂν ᾠκίσθη ἡ Κυρήνη.

85. Ὁ

Ὄφρα μὴ ταμίᾳ
Κυράνας ἀτελὴς
Γένοιτο μαντεύμασιν.

Σ. γ'. Κ. ιδ'.

85 Ὁ καὶ βαρειᾶν νόσων
Ἀκέσματ' ἀνδρεσσι καὶ
Γυναιξὶ νέμει· πόρεν τε κίθαριν·
Δίδωσί τε Μοῖσαν οἷς ἂν ἐθέλῃ,
Ἀπόλεμον ἀγαγὼν
90 Ἐς πραπίδας εὐνομίαν·
Μυχόν τ' ἀμφέπει
Μαντήϊον, τῷ Λακεδαί-
μονί τε καὶ Ἄργει

Ζαθέᾳ

85. Ὁ καὶ βαρειᾶν νόσων] ὅς τις, φησὶν, ὁ Ἀπόλλων καὶ τῶν βαρειῶν νόσων τοῖς τε ἀνδράσι καὶ ταῖς γυναιξὶν ἄκεσιν δίδωσι· καὶ γὰρ ταῦτα διὰ χρησμῶν θεραπεύει.

87. Πόρεν τε κίθαριν] τὴν κιθαριστικὴν ἐμπειρίαν. Ὅμηρος (Il. II, 827.)· Ὦι τόξον Ἀπόλλων, ἀντὶ τοῦ, τὴν τοξικήν. ὁ δὲ νῦν λόγος· ἐχαρίσατο δὲ τῷ τῶν ἀνθρώπων γένει καὶ τὴν κιθάραν, καὶ δωρεῖται τὴν μουσικήν, οἷς ἂν βούληται, ἀσκίαστον ἄγων εἰς τὰς φρένας τῶν ἀνθρώπων δικαιοσύνην.

91. Μυχὸν μαντήϊον λέγει, ἐπειδὴ καὶ τὸ ἄδυτον αὐτοῦ μαντικόν.

92. Τῷ καὶ Λακεδαίμονι] ὦ, τῷ χρησμῷ, καὶ τοὺς Ἡρακλείδας καὶ τοὺς Αἰγιμιοῦ παῖδας κατῴκισεν ἐν Λακεδαίμονι, καὶ Ἄργει, καὶ Πύλῳ. ἀπὸ δὲ τῆς Πύλου τὴν Μεσσήνην διδόασι. τριμερὴς δὲ ἡ τῶν Ἡρακλειδῶν διαίρεσις. οἱ μὲν γὰρ Ἀριστοδήμου παῖδες Προκλῆς καὶ Εὐρυσθένης ἔσχον τὴν Λακωνικήν, ὁ δὲ Τήμενος τὸ Ἄργος, ὁ δὲ Κρεσφόντης τὴν Μεσσήνην. χρησμῷ δὲ ὕστοι κατῆλθον, προστάξαντος τοῦ Ἀπόλλωνος. δῆλον δὲ ὅτι καὶ οἱ Αἰγιμιοῦ παῖδες Δύμας καὶ Πάμφυλος συγκατῆλθον τοῖς Ἡρακλείδαις. συνῴκησαν δὲ οἱ Θηβαῖοι τοῖς Λακεδαιμονίοις.

93. Καὶ ζαθέᾳ Πύλῳ] ἀπὸ οὗ τῆς Πύλης τὴν Μεσσήνην σημαίνει. οἱ γὰρ νεώτεροι τὴν Πύλον, ἧς ὁ Νέστωρ ἦγειτο, ὑ περὶ τὴν Τριφυλίαν τῆς Ἀρκαδίας, ἀλλὰ περὶ τὴν Μεσσήνην διδόασι.

96. Το

Ζαθέᾳ Πύλῳ τ' ἔνασσεν ἀλ-
κᾶντας Ἡρακλέος
Ἐκγόνους Αἰγιμιῆ τε. — τὸ δ' ἐ-
μὸν γαρύοντ' ἀπὸ Σπάρ-
τας ἐπήρατον κλέος·

Α. γ'. Κ. ιδ'.

Ὅθεν γεγενναμένοι
Ἵκοντο Θήρανδε Φῶ-
τες Αἰγείδαι, ἐμοὶ πατέρες, ἃ

Θεῶν

96. Τὸ δ' ἐμὸν, γαρύοντ' (sic) ἀπὸ Σπάρτας] ὁ λόγος ἀπὸ τῆ χορῆ τῶν Λιβύων, ἢ ἀπὸ τῆ ποιητῆ. ὁ δὲ νῦς· τὸ δὲ ἐμὸν κλέος καυχᾶται εἶναι ἀπὸ Σπάρτης, ὅπω γεγεννημένοι οἱ πρόγονοι ἡμῶν οἱ Αἰγείδαι εἰς τὴν Θήραν ἀφίκοντο. ἐκ Λακεδαίμονος γὰρ εἰς τὴν Θήραν ἡ ἀποικία ἐγένετο, ἐκ δὲ Θήρας εἰς Κυρήνην. Αἰγείδας δ' ἂν κέκληκε τὰς Λακεδαιμονίας, διὰ τὸ κατοικισθῆναι τὰς παρὰ Θηβαίοις καλυμένας Αἰγείδας ἐν Λακεδαίμονι. συνῴκησαν γὰρ οἱ Θηβαῖοι τοῖς Λακεδαιμονίοις. χρόνῳ δὲ οἱ Λακεδαιμόνιοι συνεξῆλθον τοῖς εἰς Θήραν ἀπῳκικόσι, φημὶ δὴ τοῖς ἀπὸ τῶν Λημνιάδων καὶ τῶν Ἀργοναυτῶν. ἀπὸ δὲ Θήρας γεγένηται ἀποικία εἰς Κυρήνην. Ἔστιν δ' ἐν τῷ πᾶν ἐσπεδασμένον τῷ Πινδάρῳ, ὥστε δεῖξαι αὐτὸν συγγενῆ τῶν Λακεδαιμονίων καὶ Κυρηναίων, ὅτω δὲ καὶ τῆ νικηφόρῳ.

99. Ὅθεν γεγεναμένοι (sic)] ἐπεὶ ἐκ Λακωνικῆς ἐλθόντες οἱ περὶ Θήραν, Καλλίσην ᾤκησαν. Καλλίμαχος (H. in Apoll. 74.)· Ἐκ μέν σε Σπάρτης ἕκτον γένος.

101. Αἰγείδαι ἐμοὶ πατέρες] θέλει δεῖξαι τὸν Ἀρκεσίλαον τὸ γένος κατάγοντα ἀπὸ τῶν Ἡρακλειδῶν. διττοὶ δὲ αἱ τῶν Θηβηθεν Αἰγειδῶν εἰς Σπάρτην ἀφίξεις, προτέρα μὲν ἡ σὺν τοῖς Δωριεῦσι καὶ Ἀριστοδήμῳ, ἧς μέμνηται Ἔφορος ἐν τῇ πρώτῃ, λέγων, Ἄλλον καὶ τὰς ἄλλας, τὰς ἀποτυχόντας τῆς ἐπὶ τὴν Σπάρτην στρατείας ἐπερωτᾶν τὸν θεὸν, τίνας τῶν Ἑλλήνων ποιήσονται πρὸς τὴν κάθοδον συμμάχους. τὸν δὲ ἀνελεῖν, τὰς ὑπὸ Ἡρακλέους εὐεργετηθέντας, πρώτους δὲ τούτους κελεῦσαι Αἰγείδας παρακαλεῖν. Ὑπολαμβάνοντας δὲ ταῦτα εὐλόγως προστεταχέναι τὸν θεὸν, ἐλθεῖν εἰς τὰς Ἀθήνας πρῶτον, εἰδότας Θησέα τὸν Αἰγέως μέγιστα πάντων ὑφ' Ἡρακλέους εὐεργετήμενον, εὖ δὲ ἔχειν τὴν μαντείαν νομίζοντας, καὶ πρώτους τοὺς Θησέως τῆ Αἰγέως ἀπογόνους ἑκάλεσε, πρὸς τὸ μὴ τῆς καθόδου

Θεῶν ἄτερ· ἀλλὰ μοῖρά τις ἄγεν,
Πολύθυτον ἔρανον
Ἔνθεν ἀναδεξάμενοι,
Ἄπολλον, τεὰ
Καρνεῖα ἐν δαιτὶ σέβι-
ζον ἀν' Κυράνας ἀγα-
κτιμέναν πόλιν, ἔχοντι τὰν

Χαλκο-

καθόδῳ διαμαρτεῖν. ἔπειτα φασὶ, τὸν Ἀριστόδημον διὰ τῆς Βοιωτίας πορευόμενον καταλαβεῖν θύοντάς τινας τῶν Θηβαίων παρὰ τὴν ὁδὸν, καὶ τὸ κήρυκος ἀκούσαντα τοῖς Αἰγείδαις εὐχομένης τὰ ἀγαθὰ, λαβεῖν περὶ τῆς μαντείας ἔννοιαν, καὶ νομίσαντα δεῖν, ἐπειδὴ τὰς Ἀθήνηθεν Αἰγείδας πρώτας παρακαλοῦντες διημάρτανον, τὰς ἐκ τῶν Θηβῶν συμμάχας μετελθεῖν πρότερας· κατὰ τύχην δὲ ταύτῃ τῇ στρατείᾳ τῶν Ἡρακλειδῶν τὴν Πελοπόννησον κατασχόντων, ἡγεῖτο τὸ μαντεῖον εἰρῆσθαι περὶ τῶν ἐν Θήβαις Αἰγειδῶν. ἑτέρα δὲ ἡ σὺν Τισαμάχῳ, ἐν ᾧ πρὸς Ἀμυκλαεῖς Λακεδαιμονίοις καθειστήκει πόλεμος. τινὲς δὲ Αἰγέα, ἀφ' οὗ ἡ τῶν Αἰγειδῶν ἐν Θήβαις φατρία τοὔνομα ἔλαβε, Σπαρτὸν εἶναι τὸν ἀπὸ Κάδμου.

104. Ἔνθεν ἀναδεξάμενοι] ὅθεν, ἀπὸ τῆς Θήρας διαδεξάμενοι τὰ πάτρια ἔθη τῆς πανημερίας· ἢ ὅθεν τὸ γένος κατάγοντες ἡμεῖς οἱ Θηβαῖοι, ἐπαινοῦμεν τὴν Κυρήνην, ὦ Ἄπολλον.

106. Καρνεῖ' ἐν δαιτὶ σεβίζομεν (sic)] τὰς γὰρ Αἰγείδας κατὰ χρησμὸν ἀπὸ Θηβῶν λαβόντες, ἀπὸ ἑορτῆς Καρνείης Ἀπόλλωνος δειπνοῦντας ἐπήγαγον.

108. Τὰν χαλκοχάρμαν ξένοι] περὶ τῆς εἰς Κυρήνην ἀφίξεως τῶν Ἀντηνοριδῶν Λυσίμαχος ἐν πρώτῳ τῶν νόστων ἱστορεῖ, παρ' Ἄμμωνι, βασιλεῖ Λιβύων, αὐτὸς οἰκήσειν, μὴ βουλόμενος συνοικεῖν τοῖς τὸ Ἴλιον πεπορθηκόσι, καὶ ὅτι ἐκτισε μετ' ἰκανὸν χρόνον τὸν μεταξὺ Κυρήνης καὶ τῆς θαλάσσης κείμενον λόφον, Ἀντηνοριδῶν ἐπικεκλημένον. τινὲς δὲ οὕτω τὴν ἱστορίαν ἐκτίθενται· οἱ Ἀντηνορίδαι φιλοφρονητικώτερον διέκειντο πρὸς τοὺς Ἕλληνας. φησὶ γὰρ καὶ αὐτὸς ὁ Ἀντήνωρ (Hom. Il. III, 205.)·

Ἦλθ γὰρ καὶ δεῦρο ποτ' ἦλυθεν.
καὶ ὑποβαίνων (ibid 207.)·

Τὰς δ' ἐγὼ ἐξείνισσα καὶ ἐν μεγάροισι φίλησα.

καὶ οἱ Ἕλληνες δὲ κατὰ τὴν πόρθησιν παρδαλέᾳ τῷ Ἀντήνορος οἴκῳ παρεφύλαξαν, σημεῖον ποιούμενοι τοῖς οἰκείοις στρατιώταις, τὸ μηδένα ὡς πολέμιον οἶκον πορθῆσαι. διαφυγόντες δὲ τὸν πόλεμον συνάραν μὲν τῷ Μενελάῳ, κατὰ δὲ τὴν πλάνην τὰ Μενελάου εἰς Λιβύην ἐλθόντες οἱ Ἀντηνορίδαι, καταπονηθέντες τῷ χειμῶνι καὶ τῇ πολυ-

Χαλκοχάρμαι ξένοι
Τρῶες Ἀντανορίδαι. σὺν Ἑλέ-
να γὰρ μόλον, καπνωθεῖ-
σαν πάτραν ἐπεὶ ἴδον

Ε. γ΄. Κ. ιδ΄.

Ἐν Ἄρει. τὸ δ' ἐλάσιππον ἔθνος
Ἐνδυμέως δέκονται
Θυσίαισιν ἄνδρες
Οἰχνέοντες σΦε δωροΦόροι,
Τὸς Ἀριστοτέλης ἄγαγε, ναυσὶ θοαῖς
Ἅλὸς βαθεῖαν κέλευθον ἀνοίγων,
Κτίσεν δ' ἄλσεα μείζονα
Θεῶν, εὐθύτομόν τε κατέθηκεν

Ἀπολ-

πολυχρονίῳ πλάνῃ, ᾤκησαν αὐτόθι. ὁ δὲ νῆς ὅτως· ἦν τινα Λιβύην οἰκοῦσι καὶ κατέχουσιν οἱ πολεμικώτατοι ξένοι, οἱ τῆ Ἀντήνορος παῖδες. σὺν γὰρ τῇ Ἑλένῃ καὶ τῷ Μενελάῳ παρεγένοντο, ἐπειδὴ τὴν πατρίδα πορθηθεῖσαν ἐθεάσαντο κατὰ τὸν πόλεμον.

113. Τὸ δ' ἐλάσιππον ἔθνος] ἀντὶ τῆ, οἱ Κυρηναῖοι. ἐτίμων, Φησὶ, τὺς Ἀντηνορίδας οἱ Κυρηναῖοι οἵδε, ὥς ὁ Βάττος ἦγαγεν εἰς τὴν Λιβύην. οἱ γὰρ ἐρχόμενοι πρὸς αὐτὺς μετὰ τῆ Φέρειν δῶρα, καθαγίζουσιν ἐπιμελῶς καὶ προσδέχονται καὶ θεραπεύουσιν, ὥς διεπέρασε, τὴν τῆ πλάτυς θαλάσσης ὁδὸν ἀνοίγων, τετέτι σχίζων διὰ τὸν πλεῖν, ἢ ἀντὶ τῆ, συνήθη ποιῶν. Τὸ μὲν γὰρ πρῶτον ἐκ ἐπλεῖτο, ὡς ἂν τῆς Κυρηναϊκῆς ἐρήμυ ὕσης· ὕτε δὲ ᾤκισεν αὐτὴν, πλωίμη ἐγένετο διὰ τὴν ἐπιμιξίαν. ὁ δὲ νῆς ὅτως· τὸ δὲ ἱππικώτατον ἔθνος τῶν Κυρηναίων μετ' ἐπιμελείας τὺς Ἀντήνορος παῖδας τεθνηκότας δεξιῶνται θυσίαις. παραγίνονται δὲ μετὰ δώρων καὶ ἐναγισμάτων.

117. Τὺς Ἀριστοτέλης ἄγαγεν] ὅτι ὁ Ἀριστοτέλης ἦν, Φησὶν, ὁ κτίσας τὴν Κυρήνην, ὁ καλούμενος Βάττος, ὁ καὶ τὴν λεγομένην Σκυρωτὴν πλατεῖαν αὐτοῖς κατασκευάσας. τὸ δὲ μείζονα ἀντὶ τῆ μεγάλα ἁπλῶς, ἢ πρὸς ἄλλα συγκρίνων. Ἅλση δὲ, τὰ τῶν θεῶν τεμένη.

120. Εὐθύτομόν τε κατέθηκεν] κάθοδον ἐποίησέ, Φησὶν, εὐθυτενῆ καὶ λείαν. τῶν γὰρ χωρίων τραχυτάτων ὄντων, λείαν ἀπειργάσατο ὁδόν.

121. Ἀ-

Ἀπολλωνίαις
Ἀλεξιμβρότοις πεδιάδα πομπαῖς
Ἔμμεν ἱππόκροτον
Σκυρωτὰν ὁδὸν, ἔν-
Θα πρυμνοῖς ἀγορᾶς
Ἔπι δίχα κεῖται θανών.

Σ. δ'. Κ. ιδ'.
Μάκαρ μὲν ἀνδρῶν μέτα

Ἔναισεν.

121. Ἀπολλωνίαις] ταῖς τῦ Ἀπόλλωνος τοίνυν ἀλεξιμβρότοις θαλείαις καὶ ἵππους, πεδίον εἶναι καὶ βαδισὴν, ἀπὸ κοινῦ ἐποίησεν. Ἀλεξιμβρότοις δὲ, ταῖς ἀπαλεξούσαις τὰ τῶν ἀνθρώπων φαῦλα. τὰς γὰρ θεὰς θεραπεύομεν πρὸς ἀλέξησιν τῶν φαύλων. ἀλεξιμβρότης φησὶ τὰς πομπὰς, παρὰ τὸ ἀλέγειν, ὅ ἐστι φροντίζειν· ὧν φροντίζουσιν, ὡς συντελεσθῶσιν· ἢ ἐπεὶ εἰς ἀλέξησιν τῶν κακῶν ὑπὸ τῶν βροτῶν γίνονται. πομπαῖς γὰρ καὶ θυσίαις ἱλάσκονται τὸ δαιμόνιον. τὸ δὲ ὅλον· τὴν Σκυρωτὴν ὖν, φησὶν, ὁδὸν κατεσκεύασεν ὁ Βάττος δι' ἧς αἱ τῶ Ἀπόλλωνι γινόμεναι πομπαὶ κομίζονται εἰς τὸ ἱερόν. Πεδιάδα δὲ κέκληκε τὴν ὁδὸν, ὡς ἐπίπεδον καὶ λείαν. ὕτως ἔν καλεῖται πλατεῖα Σκυρωτὴ ἐπὶ τῆς Κυρήνης. λέγεται δὲ καὶ τὸ ἱερὸν τῶν Διοσκούρων ἐν ἐκείνῃ τῇ πλατείᾳ εἶναι. λέγεται δὲ Σκυρωτὴ ἀντὶ τῦ λιθόστρωτος.

124. Σκυρωτὰν ὁδὸν] ἀντὶ τῦ λιθόστρωτον. Σκύρον γὰρ λέγουσι τὴν λατύπην, τὴν ἀπὸ τῆς κατεργασίας τῶν λίθων ἀποπίπτουσαν. Πρυμνοῖς δὲ ἀγορᾶς εἶπεν, ἀντὶ τῦ, τοῖς ἐσχάτοις ἄκροις. τὸ δὲ ἐπίδιχα, ἀντὶ τῦ, ἐπὶ θάτερα μέρη.

Ἔνθα πρυμνοῖς ἀγορᾶς] τὸν τάφον αὐτῦ συνίστησιν, ἐπὶ τοῖς τῆς ἀγορᾶς ὁρίοις ὄντα. φησὶ γὰρ, ἐπ' ἐσχάτοις τῆς ἀγορᾶς δίχα κεῖται θανὼν, ἐπὶ τῷ διορίζοντι τὴν ἀγορὰν ἄκρῳ. ἔστι δὲ καὶ ὕτω διελέσθαι· ἐπὶ πρυμνοῖς τῆς ἀγορᾶς κεῖται θανὼν, δίχα τῶν ἄλλων ἡρώων, ἢ διακεχωρισμένος τῶν ἄλλων βασιλέων, ἐν τῇ Κυρήνῃ πρὸς τὰ τελευταῖα τῆς ἀγορᾶς κεῖται τεθνηκὼς ὁ Βάττος.

127. Μάκαρ μὲν ἀνδρῶν μέτα] μακάριος μὲν, ὅτε ἐν ζῶσιν ἦν, καὶ μετὰ τῦτό, φησιν, ὡς ἥρως τιμᾶτου σεπτὸς ὢν παρὰ Κυρηναίοις. Το δὲ, ἄτερθε πρὸ δωμάτων, φησὶν, ἤτοι τῦ ἥρωος Βάττου. ἢ τῶν βασιλείων, ἢ καὶ πρὸ τῶν τῆς πόλεως πυλῶν. καὶ κατὰ τῦτο δυκεῖ τῶν ἄλλων δικ-

φέρειν

Ἔναιεν· ἥρως δ' ἔπει-
τα λαοσεβής. ἄτερθε δὲ πρὸ δω-
μάτων ἕτεροι λαχόντες ἀίδαν
Βασιλέες ἱεροὶ
Ἐντί. μεγάλαν δ' ἀρετὰν
Δρόσῳ μαλθακᾷ
Ῥανθεῖσαν ὕμνων ὑποχεύ-
μασίν τ' ἀκμόντί ποι
Χθονία Φρενὶ, σφὸν ὄλβον υἱ-
ῶ τε κοινὰν χάριν
Ἐνδικόν τ' Ἀρκεσίλα· τὸν ἐν ἀ-
οιδᾷ νέων πρέπει χρυ-
σάορα Φοῖβον ἀπύειν,

A. δ'.

φέρειν ὁ Βάττος, ὅτι ὁ μὲν ἄκρα ἀγορᾷ τέθαπται, οἱ δὲ πρὸ τῆς πόλεως.

132. Μεγάλαν δ' ἀρετᾶν (sic)] τῶν δὲ ἐπισήμων σε, φησὶν, ἀρετῶν κατακύσιν, ὦ Ἀρκεσίλαε, οἱ πρόγονοι τῇ ἑαυτῶν φρενὶ τῇ ὑπογείῳ. τῶν ἀρετῶν δὲ, τῶν ὑσῶν αὐτῷ ὄλβον. ὄλβον δὲ λέγει τὸν κῶμον, ὅς ἐστιν αὐτῶν ὄλβος. τί γὰρ κατέλιπε τοῖς τεθνεῶσιν, ἢ ὄλβον ἔχειν τὰς ἐπαίνες τὰς διὰ τῶν ποιημάτων, τυτέσι, πλυτεῖν ἐπαίνοις. χθονίᾳ δὲ φρενί φησι, παρόσον τεθνήκασι καὶ ἐν τῇ γῇ κείνται.

136. Τιῷ τε κοινὰν χάριν] τὸν Ἀρκεσίλαον υἱὸν εἶπεν, καθὸ ἀπόγονος ἦν τῷ Βάττῳ. ἀκμόντες ὖν τῶν ὕμνων τῶν εἰς Ἀρκεσίλαον κοινὴν ἔχουσι τὴν χάριν οἱ πρόγονοι. ἤ ὕτω· τὴν μεγάλην τῶ Ἀρκεσιλάᾳ ἀρετὴν τοῖς ποιήμασιν ἐπικοσμημένην ἀκούσι πε οἱ πρόγονοι τῇ χθονίᾳ αὐτῶν φρενί.

138. Ἐνδικόν τ' Ἀρκεσίλαν (sic)] πρέπει τον Ἀπόλλωνα εὐχαριστεῖσθαι ὑπὸ Ἀρκεσιλάᾳ, καὶ ὑμνεῖσθαι αὐτὸν ἐν τῇ ᾠδῇ τῶν νέων, διότι ἐκ Πυθῶνος εἴληφε τὴν νίκην, καὶ τὸ μέλος, ὅ νῦν γέγραφεν, ὅ ἐστι λυτήριον τῶν δαπανῶν. ἤ ὕτω· Τὸν ἐν ἀοιδᾷ νέων, ὃν τινα τὸν Ἀρκεσίλαον ἐν τῷ χορῷ καὶ τῇ τότε ᾠδῇ προσήκει ἀνυμνεῖν τὸν Ἀπόλλωνα, ἔχοντα τὸν Ἀρκεσίλαον καλλίσην παραμυθίαν τῶν δαπανῶν, τὴν ἐκ Πυθῶνος. λέγει δὲ τὴν νίκην καὶ τὸ τῇ ἐπινίκιε μέλος. ἐδαπάνησε μὲν γὰρ πολλὰ καὶ ἐπόνησεν, ὐκ εἰς κενὸν δὲ, ἀλλὰ τυχὼν τῆς νίκης ἀμοιβὴν ἔσχε τῆς δαπάνης. ταῦτα δὲ εἶπεν, ὡς πολλὰ δεδωκότος καὶ ἀναλώσαντος Ἀρκεσιλάε.

146. Κρέσ-

Α. δ'. Κ. ιδ'.

Ἔχοντα Πυθωνόθεν
Τὸ καλλίνικον λυτή-
ριον δαπανᾶν, μέλος χαρίεν. ἀν-
δρα κεῖνον ἐπαινέοντι συνετοί. —
Λεγόμενον ἐρέω·
Κρέσσονα μὲν ἀλικίας
Νόον φέρβεται
Γλῶσσαν δὲ θάρσος τε ταυ-
πτερός γ' ἐν ὄρνιξιν αἰ-
ετὸς ἔπλετο· ἀγωνίαις
Δ', ἔρκος οἷον, σθένος·
Ἔν τε Μοίσαισι ποτηνὸς ἀπὸ
Ματρὸς φίλας, πέφανταί
Θ' ἁρματηλάτας σοφός·

Ε. δ'. Κ. ιδ'.

Ὅσαι τ' εἰσὶν ἐπιχωρίων κα-
λῶν

146. Κρέσσονα μὲν ἀλικίας] τυτέτι, κρείττονα τῆς ἡλικίας νοεῖ καὶ λέγει, ὑπὲρ τὴν ἡλικίαν δὲ τὸν νοῦν ἔχει καὶ τὴν φρόνησιν, κατὰ δὲ τὸ θάρσος καὶ τὴν ἀνδρείαν τοσοῦτός ἐστιν, ὅσος ὁ ἀετὸς πρὸς τὰς ἄλλας ὄρνεις συγκρινόμενος.

151. Οἷον σθένος] θαυμαστικῶς· ὁποῖον δὲ ἐν ταῖς ἀγωνίαις καὶ τοῖς ἀγῶσιν ἔχει τὸ ἑαυτοῦ σθένος, ὡς ἂν ὀχύρωμα καὶ τεῖχίον.

152. Ἔν τε Μοίσαισι ποτηνὸς ἀπὸ ματρὸς φίλας] ἀμφίβολον, πότερον ἀπὸ μητρὸς πεπαιδευμένος, ἢ ἀπὸ τῆς πρώτης ἡλικίας ἔνδοξος ἦν καὶ πτηνός, τυτέτι, τῇ δόξῃ μετεωριζόμενος· ἤτοι περὶ τὴν παίδευσιν, ἢ ἐχ' ὑπὸ μητρὸς ἐδιδάσκετο, ἀλλὰ φύσει τέλειος ἦν κατ' ἀρετήν, ὃ νεοσσὸς ἀλλὰ πτηνός, τυτέτι, ὃ τῶν διδασκόντων ἔχρῃζεν. Ἄλλως. ἐν δὲ λόγῳ καὶ ἀρετῇ ὀξὺς καὶ ταχὺς ἀφ' ἑαυτοῦ εὐθὺς τεχθεὶς γέγονεν, ἀντὶ τοῦ εἰπεῖν, ἐκ νέας ἡλικίας περὶ παίδευσιν ἐπιθυμητικῶς ἔχειν.

155. Ὅσαι τ' (sic) εἰσὶν ἐπιχωρίων] ὅσα τέ ἐστι παρὰ Κυρηναίοις τῶν καλῶν ἔθη, ταῦτα ὑπέμεινε καὶ κατώρθωσε πρῶτος. τὸ γὰρ δαιμόνιον, φησιν, αὐτῷ ἐπί τε τοῖς παρόντος προθύμως τελεῖται κατὰ

λῶν ἔσοδοι, τετόλμα-
κε· Θεός τε ῥ' τὸ
Νῦν γε πρόφρων τελεῖ δύνασιν,
Καὶ τὸ λοιπὸν αἰεί γε, Κρονίδαι Μάκαρες,
Διδοῖτ' ἐπ' ἔργοισιν ἀμφί τε βλαῖς
Ἔχειν· μὴ φθινοπωρὶς ἀ-
νέμων χειμερία καταπνοὰ δα-
μαλίζοι χρόνον.
Διός τοι νόος μέγας κυβερνᾷ
Δαίμον' ἀνδρῶν φίλων.
Εὔχομαί νιν Ὀλυμ-
πία τῦτο δόμεν
Γέρας ἔτι Βάττῳ γένει.

δύναμιν, καὶ εἰς τὸν μέλλοντα ταὐτὰ χρόνον. Ἄλλως. ἐπεὶ εὐκταίως νῦν ἔχει αὐτῷ τὰ παρὰ τῶν θεῶν, ὕτω καὶ εἰς τὸ μέλλον· ὦ Κρονίδαι ἔν, φησὶ, μὴ ἐάσητε τοιῦτον ἐλάττωμα περὶ τὸν βίον αὐτῷ γενέσθαι, ὥστε, καθάπερ ὑπὸ φθινοπώρου πνοῆς τὰ φύλλα κεῖται ἐπὶ τὴν γῆν τῶν δένδρων, ὕτω καὶ τὰ πράγματα αὐτῷ μαραθῆναι, ἀλλ' ἀειθαλὴς αὐτῷ μένοι ὁ βίος, μηδέποτε φθίνων, μηδὲ φυλλοβροῶν.

164. Διός τοι νόος] ὁ δὲ τῷ Διὸς νῷ τὴν ἑκάστε τύχην κυβερνᾷ καὶ ἐπὶ τὰ βελτίονα ἄγει.

166. Εὔχομαί νιν] εὔχομαί, φησιν, αὐτὸν τὸν Δία, ὥσπερ νῦν ἐν τῇ Πυθῶνι δέδωκε γέρας καὶ τιμὴν τὴν ἀπὸ τῆς νίκης, ὕτω καὶ ἐν Ὀλυμπίᾳ δῶναι αὐτῷ νίκην, ἤτοι τῷ Ἀρκεσιλάῳ, ὅς τις ἦν Βάττε γένος.

Περὶ τῶν κώλων ταυτησὶ (VI.) τῆς ᾠδῆς.

Τῆ ς΄ εἴδος ἡ ᾠδὴ μονόστροφός ἐστι κώλων ἑννέα. Τὸ α΄ σύνθετον ἐκ πενθημιμερῆς καὶ ἑφθημιμερῆς ἰαμβικόν. Τὸ β΄ τρίμετρον ἐπιωνικὸν ἀκατάληκτον. ἄδηλον δὲ πότερον ἐκ β΄ ἰωνικῆ, ἢ α΄. Τὸ γ΄ ὅμοιον τῷ· τίς σὰς παρῆειρε Φρένας; Τὸ δ΄ τρίμετρον ἐπιχοριαμβικὸν ὑπερκατάληκτον. Τὸ ε΄ ὅμοιον τῷ γ΄. Τὸ ς΄ τρίμετρον τροχαϊκὸν καταληκτικόν. Τὸ ζ΄ ἰαμβικὸν πενθημιμερές. Τὸ η΄, ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ θ΄ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν Πινδαρικόν.

Περὶ τῆς ἐπιγραφῆς αὐτῆ. Γέγραπται ἡ ᾠδὴ αὕτη Ξενοκράτει Ἀκραγαντίνῳ νενικηκότι κατὰ τὴν κδ΄ Πυθιάδα. Φανερὸν δὲ, ὅτι αἱ ᾠδαὶ ὁ κατὰ χρόνον διάκεινται. ἡ γὰρ πρὸ ταύτης ᾠδὴ Ἀρκεσίλα γέγραπται νικήσαντι τὴν λά Πυθιάδα. ὁ δὲ Ξενοκράτης Θήρωνος ἦν ἀδελφός. Ἔστι δὲ ἡ ᾠδὴ μονόστροφος, αἱ δὲ μονόστροφοι ἀντιστρεφόσας ἔχουσι τὰς στροφὰς ἀλλήλαις, ὥστε ἴσα εἶναι τά τε τῆς στροφῆς καὶ ἀντιστρόφε. διὸ ᾠδὲ κορωνίσι χρῶνται ἐπ᾽ αὐτῶν διὰ μέσε. αἱ δὲ πρὸς τριάδα γεγραμμέναι ἴσας ἔχουσι τὰς στροφὰς καὶ ἀντιστρόφες, τὴν δὲ ἐπῳδὸν διαλλάττουσαν τύτων.

ARGVMENTVM SEXTI CARMINIS.

Audite! Nam carmine celebrabo victoriam Xenocratis Agrigentini, cui thesaurus hymnorum largus Delphis paratus est, quem nec imbres nec turbines possunt delere (— 13). Splendida patri tuo, Thrasybule, nunciatur victoria curulis Pythica, quam reportasti, memor tamen praecepti, quod Chiron Iasoni alumno dedit, maxime deorum omnium Iouem esse colendum, tum parentes (— 27). Talis olim Antilocho fuit animus, qui pro patre (Nestore) obiit in certamine cum Memnone Aethiope. Nam currus Nestoris tenebatur equo per Paridem vulnerato; tum Memnon immisit hastam; Nestor vero filii opem implorauit, qui salutem patris sua redemit vita; vnde visus est posteris summa in patrem fuisse pietate (— 42). Verum haec antiqua sunt. Etiam Thrasybulus inter aequales ad patris regulam maxime incedit; auunculum aemulatus gloriam captat; prudenter opibus vtitur, ab iniustitia et insolentia alienus, sapientiae studiosus (— 49). Tibi, Neptune, equestris cursus auctori, lubenter adhaeret; indoles eius et conuictus dulcissimus est (— fin.).

ΕΙΔΟΣ ε'.

ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι.

ΑΡΜΑΤΙ.

Σ. ά. Κ. θ'.

Ἀκούσατ'· ἢ γὰρ ἑλικώπιδος Ἀφροδίτας
Ἄρμαν, ἢ Χαρίτων ἀναπολίζομεν,
Ὀμφαλὸν ἐριβρόμου χθονὸς

1. Ἀκούσατ'· ἢ (sic) γὰρ ἑλικώπιδος Ἀφροδίτας] ὁ λόγος ἤτοι ἀπὸ τοῦ χοροῦ ἐστιν, ὡς ἐγκωμιάζοντος τὴν πόλιν ὡς εὔφορον, ἤτοι παρὰ τοῦ Πινδάρου πρὸς τοὺς μέλλοντας διακομίζειν τὸν ὕμνον. ἀμφιβάλλεται δὲ τὰ τῆς φράσεως, καὶ οἱ μὲν Χαρίτων καὶ Ἀφροδίτας ἅρμαν τὴν Ἀκράγαντα ἀκούσαι, διὰ τὸ ἐπιτερπῆ τὴν πόλιν εἶναι καὶ ἐράσμιον· οἱ δὲ τὸν Πύθιον ναόν. δύναται δὲ καὶ ἀλληγορῶν ὁ Πίνδαρος τὴν ἑαυτοῦ ποίησιν λέγειν ἅρμαν Χαρίτων καὶ Ἀφροδίτης, ἤτοι τὴν ποιητικήν, ἀφ' ἧς δρέπεται τὰ μέλη ὁ Πίνδαρος. ὁ δὲ λόγος ἐκ τῶν χορευτῶν, ἤτοι πρὸς ἀλλήλους διαλεγομένων, ἢ πρὸς τοὺς ἀναληψομένους τὸ ποίημα. ὁ δὲ ἢ σύνδεσμος ἀντὶ τοῦ δὴ κεῖται. ὃ δὲ βούλεται λέγειν, τοιοῦτόν ἐστιν· ἀκούσατε· ἑλικώπιδος γὰρ Ἀφροδίτης ἢ Χαρίτων ἅρμαν ἀναπολοῦμεν εἰς τὴν Πυθὼ παριόντες, ἥ ἐστιν ὀμφαλὸς τῆς γῆς. ὁ δὲ λέγει· ἀκούσατε· καὶ γὰρ δὴ τῆς εὐσφύρου Ἀφροδίτης καὶ τῶν Χαρίτων αὐτῶν ὑπὸ τὸ χωρίον ἀναστρεφόμεθα, τουτέστιν, ἀνυμνοῦμεν τὴν Ἀκράγαντα εἰς τὸν ναὸν παραγινόμενοι, τὸν τῆς ἐριβρόμου γῆς ὄντα ὀμφαλόν, τουτέστιν, εἰς τὴν Πυθῶνα.

4. Πυθιόνικος ἔν θ' ὀλβίοισιν] ἐκ γὰρ φυλῆς ὁ Ἀρίσταρχος, τῆς κυρίως γὰρ ἦν τὸ Ἐμμενίδη, ἐκ δὲ γένοιτο Ἐμμενίδας. ἡ δὲ ποιητικὴ παρέκτασις καὶ οἱ σχηματισμοὶ ἐπὶ τῶν κυρίως πατρωνυμικῶν ἐπὶ τὰ αὐτῶν τρεπόμενα ὀνόματα. οἷον Ἡρακλείδης καὶ Ἀσκληπιάδης ἐστὶ μὲν σχήματι πατρωνυμικά, κύρια δέ τινων. εἴ τις ἂν τὸν τοῦ Ἡρακλείδου υἱὸν πατρωνυμικῶς βούλοιτο σημῆναι, ὁμωνύμως ἂν πάλιν πατρὸς Ἡρακλείδα καλοῖ.

Ἐς ναὸν παροιχόμενοι· Πυθιόνικος
Ἔνθ' ὀλβίοισιν Ἐμμενίδαις
Ποταμίᾳ τ' Ἀκράγαντι καὶ μὰν Ξενοκράτει
Ἑτοῖμος ὕμνων
Θησαυρὸς ἐν πολυχρύσῳ
Ἀπολλωνίᾳ τετείχισται νάπᾳ·

Α. ά. Κ. Θ'.

Τὸν ἄτε χειμέριος ὄμβρος ἐπακτὸς ἐλθὼν, Ἐριβρό-

καλοίη. Ἱππόστρατος δὲ, ὁ τὰ περὶ Σικελίας γενεαλογῶν φησὶν, ὅτι Ἐμμενίδης καὶ Ξενόδικος, Τηλεμάχου υἱοί· καὶ Ἐμμενίδη μὲν οἱ περὶ Θήρωνα καὶ Ξενοκράτην, Ξενοδίκη δὲ Ἱπποκράτης καὶ Κάπυς, οἱ φυγαδευθέντες ὑπὸ Θήρωνος, ὕστερον Κάμικον κατασχόντες Σικελιώτικὸν πόλισμα· καθ' ἣν καὶ ὁ Μίνως ὑπὸ ταῖς Κωκάλα θυγατράσιν ἀπώλετο, κατὰ ζήτησιν Δαιδάλου ἐλθών. ὁ δὲ νῦς· ἔνθα, ἐν τῇ Πυθῶνι, τοῖς εὐδαίμοσιν Ἐμμενίδαις, καὶ τῇ Ἀκράγαντι, καὶ τῷ Ξενοκράτει, ὁ ὑπὲρ τῆς τῶν ἵππων νίκης Πυθιόνικος θησαυρὸς, τυτέειν, ὁ ὕμνος πρόχειρος καὶ ἕτοιμος ἵσταται καὶ ἀνάκειται ἐν τῇ πολυχρύσῳ Ἀπολλωνίᾳ νάπῃ, τῇ Πυθοῖ. ἢ ὅτως· ἔνθα, ἐν τῷ ναῷ τῷ ἐν Πυθοῖ. ἐκεῖ γὰρ ἡ Ἀπολλωνία νάπη, περὶ ἣν ἐν παισὶν ἀγῶνες ἐτελοῦντο. ἔνιοι δὲ νάπην τὸ πεδίον ἤκουσαν ἐν ᾧ οἱ ἱππικοὶ ἀγῶνες ἐτελοῦντο. τινὲς δὲ φασιν, εἰς τρεῖς μοίρας διηρῆσθαι τὰς Δελφούς· καὶ τούτων ἡ μὲν λέγεται ὑπάτη, ἡ δὲ μέση, ἐν ᾗ ἐστι καὶ αὐτὴ ἡ καλουμένη νάπη.

10. Τὸν δ' (sic) χειμέριος ὄμβρος] ὄμβρον τὸν ὕμνον φησὶν, ὃν καὶ θησαυρὸν εἶπε, σκληρᾷ μεταφορᾷ χρησάμενος διὰ τὸ ὑραμβωδῶς, παρόσον πολλῶν νεφῶν εἰς ταυτὸ συναγομένων ῥήγνυνται οἱ ὄμβροι. τὸν ἓν τῶν ὕμνων θησαυρὸν ὑπ' ᾠδενὸς ἀπαχθήσεσθαι, ἄτε ὑπ' ὄμβρου, ἄτε ὑπ' ἄλλου τινός. ὁ δὲ νῦς· ὃν τινα τὸν ὕμνον ἄτε ὁ χειμὼν τῆς μεγαλοήχου νεφέλης ἀπηνὴς τρατὸς ἐπελθὼν, ἄτε ἄνεμοι ταῖς πνοαῖς τύπτοντες καὶ τρέφοντες τῇ πολυφόρῳ χεράδι ἄξουσι καὶ ἐμβαλοῦσιν εἰς τὰ βάθη τῆς θαλάσσης. Ἄλλως. Πολυφόρῳ χεράδι, ἤτοι τῷ κοπρώδει φορυτῷ· φορυτὸς δὲ κυρίως, ἡ ἐκ τῆς χαράδρας ἀκαθαρσία. Ὅμηρος (Il. XXI, 319.)·

Εἰλύσω ψαμάθοισιν, ἅλις χεράδος περιχυσας.

χεραὸς δὲ ὁ μετὰ ἰλύος καὶ λίθων συρφετός.

Ἐριβρόμᾳ νεφέλας στρατὸς ἀμείλιχος,
Οὔτ' ἄνεμος ἐς μυχὰς ἁλὸς
Ἄξει, παμφόρῳ χεράδει γε σποδέων· φάει δὲ πρόσωπον ἐν καθαρῷ,
Πατρὶ τεῷ, Θρασύβυλε, κοινάν τε γενεᾷ
Λόγοισι θνατῶν
Εὔδοξον ἅρματι νίκαν
Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ.

Σ. β. Κ. θ'.

Σύ τοι σχέθων νιν ἐπὶ δεξιὰ χειρὸς, ὀρθὰν
Ἄγεις ἐφημοσύναν, τάν ποτ' ἐν ὄρεσι

13. Φάει δὲ πρόσωπον] ἔξωθεν προσληπτέον τὸ, ἔχων, ἵν' ᾖ, ἔχων τὸ πρόσωπον ἐν φωτὶ καθαρῷ, τουτέστι, λελαμπρυσμένος τῷ προσώπῳ καὶ ἐπιφανὴς ὢν ὁ θησαυρός. ὁ δὲ Θρασύβυλος υἱὸς ἦν Ξενοκράτους. τὰς γὰρ Χείρωνος ὑποθήκας αὐτῷ διὰ τοῦτο λέγει, ἐπειδὴ τὰς παρὰ πατέρων εὐσεβείας περιέχων ἐπίστατεῖ, ὡς εἰκὸς, τῶν ἱππικῶν ἀγώνων, παρὸ καὶ προσδιαλέγεται αὐτῷ ὁ Πίνδαρος, καὶ φησιν· ὦ τᾶ Ξενοκράτες παῖ· τοῦτον δὲ ὡς φιλοπάτορα καὶ προεσῶτα τῆς ἱππικῆς ἐπαινεῖ, ἢ, ὡς τινες ἐβιλήθησαν, ἡνίοχον. ὁ γὰρ ἡνίοχος Νικομάχους ἐστὶν, ὃς ἐκ τῶν Ἰσθμιονικῶν δῆλός ἐστιν. ὁ δὲ νῦς· ὁ δὲ τῶν ὕμνων ἐν καθαρῷ φωτὶ λελαμπρυσμένος τὸ πρόσωπον τῷ σῷ πατρὶ Ξενοκράτει, ὦ Θρασύβυλε, καινὴν τῷ φέρει σε τοῖς πολυθρυλλήτοις τῶν ἀνδρῶν λόγοις ἀπαγγελεῖ τὴν ἐπίδοξον τῷ ἅρματος νίκην, τὴν εὐτυχηθεῖσαν ἐν Δελφοῖς. ἡ γὰρ Κρίσα τῶν Δελφῶν.

19. Σύ τοι σχέθων νιν ἐπιδέξια] σὺ τοίνυν, ὦ Θρασύβυλε, δεξιῶς καὶ ἀληθῶς ἄγεις τὴν ἐντολὴν καὶ παραίνεσιν, ἣν ποτε ἐν τοῖς ὄρεσι μανθάνοντι τῷ Ἀχιλλεῖ τὸν τῆς Φιλύρας υἱὸν Χείρωνα εἰπεῖν φασιν, ἐξαιρέτως μὲν τὸν μεγαλόφωνον καὶ ἀστραπῶν καὶ κεραυνῶν δεσπόζοντα Δία παρὰ τοὺς ἄλλους θεοὺς τιμᾶν καὶ σέβεσθαι, ταύτης δὲ τῆς τιμῆς τῆς πρὸς τοὺς θεοὺς μὴ περίσκειν τῶν γεγεννημότων, τοὺς τὸν εὐδαίμονα βίον, ἐφ' ὧν ζῶσι χρόνων, μετιόντας. καὶ ἔστιν ἡ ἀπόδοσις τοιαύτη· οὕτω καὶ σύ, Θρασύβυλε, περὶ τοὺς θεοὺς καὶ τοὺς γονεῖς φυλάττεις τὴν εὐσέβειαν. τὸ δὲ, ὀρφανιζομένῳ, ἀντὶ τοῦ χωριζομένῳ, ἢ ὀρφανῷ γονέων ὄντι παρὰ τῷ Χείρωνι. τὰς δὲ Χείρωνος ὑποθήκας Ἡσιόδῳ ἀνατιθέασιν, ὧν ἡ ἀρχή·

Φαντὶ μεγαλοσθενεῖ Φιλύ-
ρας παῖδ' ἐρφανιζομένῳ Πηλείδᾳ παρ-
αινεῖν· μάλιστα μὲν Κρονίδαν,
Βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν,
Θεῶν σέβεσθαι·
Θείας δὲ μή ποτε τιμᾶς
Ἀμείρειν γονέων βίον πεπρωμένον. —

Α. Β'. Κ. Θ'.

Ἤγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς
Νόημα τῦτο φέρων, ὃς ὑπερέφθιτο
Πατρὸς, ἐναρίμβροτον ἀναμεί-
νας τραταρχον Αἰθιόπων Μέμνονα. Νεστόρειον γὰρ ἵππος ἄρμ' ἐπέδα,
Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ' ἔφεπε
Κραταιὸν ἔγχος·
Μεσσανίᾳ δὲ γέροντος

Δονα-

ἀρχή· Εὖ νύ τοι τάδ' ἔκαστα μεταλλᾷ θεοῖς ἀειγενέτῃσιν. (Fragm. Hes. p. 444. Lips.)

28. Ἤγενετο (sic) καὶ πρότερον Ἀντίλοχος] τὸ δεῖν περὶ τὰς πατέρας σπιδαῖον εἶναι παράδειγμα τὸν Ἀντίλοχον παρήγαγεν, ὁ δὲ νῦς τοιῦτος· ἐγένετο καὶ τοπαλαιόν, φησιν, γενναῖος ὁ Ἀντίλοχος, τὸ φρόνημα τῦτο φέρων τὸ περὶ τὰς γονέας εὐσεβὲς καὶ δίκαιον, ὃς τις ὁ Ἀντίλοχος ὑπεραπώλετο τῦ πατρὸς, τὸν δεινὸν τῶν Αἰθιόπων ὑπομείνας βασιλέα Μέμνονα.

31. Νεστόρειον γὰρ ἵππος ἄρμα] τὸ γὰρ δὴ τῦ Νέστορος ἅρμα ὁ ἵππος ἐνεπόδιζε τρωθεὶς τοῖς τῦ Ἀλεξάνδρυ βέλεσι. μέμνηται τύτυ καὶ Ὅμηρος, ἔνθα φησι (Il. VIII, 86.)·

Σὺν δ' ἵππυς ἐτάραξε κυλινδόμενος περὶ χαλκῷ.

ὅτι δὲ ὑπὲρ τῦ πατρὸς ἐτελεύτα ὁ Ἀντίλοχος, κεφαλαιωδέστερον εἶπε (Od. IV, 188.)·

Τὸν ῥ' Ἠὼς (ἔκτεινε) φαεινῆς ἀγλαὸς υἱός.

35. Μεσσανίᾳ δὲ γέροντος] Μεσσήνιον τὸν Νέστορα φασὶν ἔτοι, ὅσοι ὑπέλαβον τὴν Πύλον τῆς Μεσσήνης, ἀλλ' οὐχὶ τῆς κατὰ τὴν Ἀρκαδίαν Τριφυλίας. ὁ μέντοι Ὅμηρος οἶδεν ὑποτεταγμένην τῇ Λακωνικῇ τὴν Μεσσήνην. φησὶ γάρ·

Δῶρα

Δοναθεῖσα φρὴν βόασεν παῖδα ὃν·

Σ. γ'. Κ. θ'.

Χαμαιπετὲς δ' ἄρ' ἔπος ἐκ ἀπέρι-ψεν αὐτῷ·
Μένων δὲ θεῖος ἀνὴρ πρίατο μὲν θανά-
τοιο κομιδὰν πατρός· ἐδόκη-
40 σεν δὲ τῶν πάλαι γενεᾷ ὁπλοτέροισιν,
Ἔργον πελώριον τελέσας,
Ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν. —
Τὰ μὲν παρῆκει.
Τῶν νῦν δὲ καὶ Θρασύβυλος

Δῶρα τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας·
Τῶ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν. (Hom. Od. XXI, 13. 15.)

ὁ νῦς· τῇ δὲ Μεσσηνίᾳ γέροντος παραχθεῖσα ἡ φρὴν ἐβόα τὸν παῖδα. Ἄλλως. καὶ ὁ Πίνδαρος τὸν Νέστορα ἐκ τῆς Μεσσηνιακῆς Πύλης φησί. τριῶν γὰρ ὄντων τῶν ἐν Πελοποννήσῳ Πύλων, εἷς μέν ἐστιν ὁ περὶ τὸν Ἀλφειὸν ποταμὸν ἐν Ἤλιδι Πύλος, ὃν καὶ ὑπὸ Ἡρακλέους πεπορθῆσθαί φασιν· ἕτερος ὁ Τριφυλιακὸς Πύλος, ἐν ᾧ ὁ Ἀμαθόεις ποταμός· τρίτος ἐν Μεσσήνῃ, περὶ τὸ Κορυφάσιον. εἰσὶ δὲ, οἵ φασι τὰς τρεῖς Πύλας ὑπὸ τὸν Νηλέα εἶναι· δοκεῖ δὲ τῷ Διδύμῳ, ἐκ τῆ Τριφυλιακῆ Πύλᾳ τὸν Νέστορα, ἔνθα καὶ Ἀμαθόεις ἐστὶ ποταμὸς καθ' Ὅμηρον.

37. Χαμαιπετὲς δ' ἄρ' ἔπος] Χαμαιπετὲς τὸ εὐτελὲς καὶ μάταιον. Θεῖος δὲ ἀνὴρ ὁ Ἀντίλοχος, ὃς δὴ ὑπ' ὀφθαλμοῖς ἔχων καὶ προορώμενος τὸ δεινὸν, ὅμως ὑπὲρ πατρὸς μετὰ προθυμίας ἀπέθανεν.

39. Ἐδόκησεν τῶν (sic) πάλαι] ἔδοξεν ἦν τοῖς ἀρχαίοις πρῶτος γεγονέναι πρὸς τὸν πατέρα φιλόστοργος, ἐν τοῖς ὁπλοτέροις. τὸ δὲ ἑξῆς· τῶν πάλαι ἔργον τελέσας πελώριον, ἐν τῇ γενεᾷ τῶν ὁπλοτέρων ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν ἐδόκησεν. ὁ δὲ νῦς· ὁ μάταιον δὲ τὸν λόγον αὐτῷ ἔβριψεν. ὑπομείνας γὰρ ὁ θαυμασὸς Ἀντίλοχος, ἠγόρασε τῷ μὲν ἰδίῳ θανάτῳ τὴν τῷ πατρὸς ἀνακομιδὴν καὶ ζωήν. ἔδοξε δὲ ἐν τοῖς ἀρχαιοτέροις πρῶτος γεγονέναι.

44. Τῶν δὲ νῦν (sic) καὶ Θρασύβυλος] τῶν δὲ ἀνθρώπων τῶν καθ' ἡμᾶς ὁ Θρασύβυλος πρὸς τὴν τῷ πατρὸς ἑαυτῷ σάθμην καὶ ἀρθότητα μάλιστα βαίνει, οἱονεὶ τὸν ἑαυτῷ πατέρα τιμᾷ. Τὸ δὲ πάτρωϊ, τῷ πρὸς πατρὸς θείῳ Θήρωνι. ἐπερχόμενος ἦν πρὸς τὴν τῷ θείᾳ ἀγλαΐαν, καὶ κατὰ τὸν κοσμον ἑαυτὸν

45 Πατρῷαν μάλιστα πρὸς σάθμαν ἔβα,

Α. γ'. Κ. θ'.

Πάτρωΐ τ' ἐπερχόμενος ἀγλαΐαν ἔδειξεν·
Νόῳ δὲ πλῶτον ἄγει, ἄδικον ὅτε ὑ-
πέρπλον ὕβριν δρέπων, σοφίαν
Δ' ἐν μυχοῖσι Πιερίδων. Τὸν δ', Ἐλελιχθον,
50 Ὀργαῖς, ὃς ἱππίαν ἔσοδον
Εὗρες ἀδόντι νόῳ, Ποσειδᾶν, προσέχεται.
Γλυκεῖα δὲ φρὴν
Καὶ συμπόταισιν ὁμιλεῖν
Μελισσᾶν ἀμείβεται τρητὸν πόνον.

ἑαυτὸν ἴσον ἀπέδειξεν. ἢ ὅτως, ἀντὶ τοῦ, θείῳ, πάτρωΐ ποιητικῶς λέγει. τὸν γὰρ Θήρωνα λέγειν θέλει, τὸν ἀδελφὸν Ξενοκράτους. ὁ δὲ νῦν· τῶν δὲ καθ' ἡμᾶς ἀνθρώπων θρασύβυλος τὴν πρὸς τοὺς πατέρας ἑαυτοῦ σάθμην, εὐθεῖαν ἔχει ἔννοιαν. πρὸς τὴν σάθμην δὲ τὰ πάντα εὐθύνετω.

47. Νόῳ δὲ πλῶτον ἄγει] τουτέστι, μετὰ λογισμοῦ πλωτεῖ. νόῳ γὰρ ἄγει τὸν πλοῦτον, τουτέστιν, οὐχ' ὑπὸ τοῦ πλούτου εἰς ἀκρασίαν τρέπεται τὸν νοῦν, ἀλλὰ λογισμῷ κατέχει τὸν πλοῦτον, ἐφ' ἃ δεῖ, τῆς τε ὕβρις ἀπολαύει, ὅτε εἰς πλημμέλειαν, ὅτε εἰς ὑπεροψίαν χρώμενος αὐτῷ· ἤτοι, ὅτε εἰς ὑπερηφανον τὴν ἑαυτοῦ ὕβριν δρεπόμενος, τουτέστιν, ὃ καταχρώμενος τῇ ἑαυτοῦ νεότητι πρὸς ἀλαζονείαν, δρεπόμενος δὲ τὴν σοφίαν, νῦν καταδεδυκὼς εἰς τὰς ταύτης μυχάς. ἐκ δὲ τούτου, ὅτι ἄγαν σοφός ἐστι, δηλοῖ. ἀπὸ κοινοῦ δὲ τὸ, δρέπων.

49. Τίν τε Ἐλελιχθον] σὸ δὲ, ὦ Πόσειδον, προσέχεται νῷ προσοικειοῦται, ὃς εὗρες ἱππείας εἰσόδους, τουτέστιν, ἱππικὰς ἀμίλλας. ἵππιος γὰρ ὁ Θεός. ἢ δὲ φρὴν αὐτοῦ κατὰ τὴν πρὸς τοὺς συμπότας ὁμιλίαν γλυκεῖά ἐστιν, ὥστε τὰ κυρία παραβαλλόμενα παραπορεύεσθαι τῇ γλυκύτητι τῶν φρενῶν, τουτέστι νικᾷν τὸ μέλι.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τῆ αὐτῆ (VII.) εἴδος.

Τῆς ἑβδόμης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἑπτά. Τὸ α΄ ἰαμβικὸν τρίμετρον καταληκτικόν. Τὸ β΄, Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. Τὸ γ΄ σύνθετον ἐκ διμέτρου βραχυκατάληκτον ἰαμβικοῦ καὶ πενθημιμερὲς ἰαμβικόν. Τὸ δ΄ προσοδιακόν. Τὸ ε΄ Φερεκράτειον ἀπὸ βραχειῶν ἀρξάμενον. Τὸ ς΄ δίμετρον Ἰωνικὸν καταληκτικόν. Τὸ ζ΄ δίμετρον τροχαϊκὸν ὑπερκατάληκτον.

Περὶ τῶν κώλων τῆς ἐπῳδῆ τῆ αὐτῆ εἴδος. Ἡ ἐπῳδὸς κώλων Θ΄. Τὸ α΄ τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ β΄ τὸ αὐτὸ, ὁμοίως. Τὸ γ΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ δ΄ τὸ αὐτὸ, ὁμοίως. Τὸ ε΄ παιωνικὸν δίμετρον καταληκτικόν. Τὸ ς΄ ἰαμβιβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ζ΄ ὅμοιον τῷ· τίς σὰς παρῆειρε Φρένας; Τὸ η΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ Θ΄ ἰαμβικὸν πενθημιμερές.

ARGVMENTVM SEPTIMI CARMINIS.

Athenae aptissimae sunt, ex quibus laudes victoriae curulis Alcmaeonidarum stirpis initium capiant (— 4). Quem enim nominem qui illustriori patria vtatur. Vbique celebrantur Alcmaeonidae, qui Apollini Delphis templum restaurarunt. Me vero vocant quinque Isthmicae, vna Olympica, duae Pythiae victoriae, quas tu, Megacles, et maiores tui consecuti sunt (— 16). Laetor de noua fortuna, doleo inuidiam sequi praeclara facinora. Sed dicitur, florentem felicitatem etiam aduersa quaedam premere (— fin.).

ΕΙΔΟΣ ζ'.

ΜΕΓΑΚΛΕΙ ΑΘΗΝΑΙΩ.

ΤΕΘΡΙΠΠΩ.

Σ. Κ. ζ'.

Κάλλιστον αἱ μεγαλοπόλιες Ἀθῆναι Προοίμιον, Ἀλκμανιδῶν Εὐρυ-

Μεγακλεῖ Ἀθηναίῳ.] γέγραπται ἡ ᾠδὴ Μεγακλεῖ Ἀθηναίῳ, νικήσαντι τὴν εἰκοστὴν ὀγδόην Πυθιάδα τεθρίππῳ. ἔτι δὲ ὄντος αὐτοῦ παιδὸς ὁ τὰ Ὀλύμπια νενικηκὼς, ἀλλ' ἕτερος. τὴν δὲ ἐκείνου νίκην τούτῳ προσάπτει ὁ Πίνδαρος, συνήθως αὐτῷ. τὴν γὰρ τεσσαρακοστὴν ἑβδόμην ἐκεῖνος Ὀλυμπιάδα ἀναγέγραπται νενικηκὼς, ὁ δὲ τὴν εἰκοστὴν ὀγδόην. ἕτερος δὲ ἂν εἴη Μεγακλῆς τούτῳ ὁμώνυμος, ἀναφέρων τὸ γένος εἰς Ἀλκμαίονα τὸν γενόμενον ἄγαν πλουσιώτατον. τοῦτον γάρ φασι ἐληλυθέναι πρὸς Κροῖσον, τὸν δὲ συγχωρῆσαι αὐτῷ διασκευασθῆναι, ὡς βούλεται, καὶ σκευὴν ἀναλαβεῖν, ὁποίαν προῄρειτο, καὶ εἰσελθόντα εἰς τὰ βασίλεια καὶ εἰς τὰ ταμιεῖα, λαβεῖν ὅσον βούλοιτο χρυσόν. ὑποδησάμενος οὖν κοθόρνους, οἵ εἰσιν ὑποδήματα Διονυσιακὰ, καὶ κολπωμα ποιήσας, ἐνεσώρευσε τῷ κολπώματι χρυσόν· ἔτι δὲ καὶ τοὺς πλοκάμους ἐνέδησεν, ὑποβαλὼν αὐτοῖς, καὶ τὸ στόμα. διὰ δὲ τὸ βάρος βίᾳ ἐπορεύετο. διαχυθεὶς οὖν ὁ Κροῖσος ἐπ' αὐτῷ γέλωτι, ἐπί τε τῇ ὄψει καὶ τῷ γλίσχρῳ, καὶ ἕτερα αὐτῷ προσεδωρήσατο. διό τοι τοῦτο ἐπιφανέστατος κατὰ τὴν Ἀττικὴν γεγένηται, ὡς ἄγαν ὢν πλουσιώτατος· ἀφ' οὗ καὶ οἱ Ἀλκμαιονίδαι, οὓς τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα κατέλυσαν.

1. Κάλλιστον αἱ μεγαλοπόλιες] κάλλιστόν ἐστι προοίμιον τῇ εὐρυσθενεῖ γενεᾷ τῶν Ἀλκμαιονιδῶν αἱ μεγαλοπόλιες Ἀθῆναι, ὥστε κρηπῖδα ὑποβαλέσθαι τοῦ ἐπαίνου τὸν ἀπὸ τῆς πατρίδος κόσμον· ἀντὶ τοῦ, καλόν ἐστιν ἐπὶ τῇ νίκῃ ἐν τῷ ὕμνῳ ἐγκωμιάσαι τὸν νικηφόρον ἀπὸ τῶν Ἀθηνῶν. εὐρυσθενὴ δὲ εἶπε τὴν γενεὰν αὐτῶν, διὰ τὸ τὸν Ἀλκμαίονα ἀνδρεῖόν τινα καὶ ἐπιφανῆ γενέσθαι, ἀφ' οὗ καὶ οἱ Ἀλκμαιονίδαι.

4. Ἐπεὶ

Εὐρυσθενεῖ γενεᾷ, κρηπῖδ' ἀοιδᾶν
Ἵπποισι βαλέσθαι. ἐπεὶ
Τίνα πάτραν, τίνα τ' οἶκον
Ναίοντ' ὀνυμάξομαι
Ἐπιφανέστερον Ἑλλάδι πυθέσθαι;

Α. Κ. ζ'.

Πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ
Ἐρεχθέος ἀστῶν, Ἀπόλ-
λων, οἱ τεόν γε δόμον Πυθῶνι δίᾳ
Θαητὸν

4. Ἐπεὶ τίνα πατρίδα (sic) τίνα τ' οἶκον] ἐπεὶ τίνα πατρίδα, τίνα τε οἶκον ἐν τῇ Ἑλλάδι ἐπιφανέστερον τῶν Ἀλκμαιονιδῶν εἰπεῖν δυνήσομαι; ἢ τίνα ἀκηκοέναι ἐπὶ τῇ Ἑλλάδι περιφανέστερον οἶκον οἰκοῦντα εἴπω; ἰδίως δὲ τὸ ναίων παρείληπται· ὅθεν τινὲς γράφουσι, ναίοντι· ἄλλοι γράφουσιν, οἶκόν τ' ἀίων, ὃ ἐστιν ἀκούων, ἀφαιροῦντες τὸ ν· ἕτεροι δὲ πάλιν τὸ μὲν ν αἴρουσι, τὸν δὲ τόνον οὕτω προφέροντες· αἰῶν' ὀνυμάξομαι, ἵν' ᾖ συναλοιφή, ἀντὶ τοῦ αἰῶνι, οἷον, τῷ αἰῶνι ὀνυμάξομαι, τῷ αἰῶνι παρακαταθήσομαι. ὁ δὲ Δίδυμος ἁπλούστερον ἀκούει· αὐτὸς ἐγὼ ναίων ἐν τῇ Ἑλλάδι, ἀντὶ τοῦ οἰκῶν, τίνα ἐπιφανέστερον οἶκον ὀνυμάξομαι, οὐκ ἐξ ἀκοῆς ἀκηκοώς, ἀλλ' αὐτὸς ἐγὼ ναίων ἐν τῇ Ἑλλάδι, τίνα δυναίμην ἀντ' αὐτῆς ἐπιφανεστέραν ὀνομάσαι; τὸ δὲ ναίων, ἀντὶ τοῦ ναίοντα. ὡς καὶ Ὅμηρος (Il. II, 350.)·

φημὶ γὰρ οὔνκατανεῦσαι ὑπερμενέα Κρονίωνα.

εἶτα ὑποβαίνων, Ἀστράπτων ἐπιδέξια, ἀντὶ τοῦ, ἀστράπτοντά, φησιν.

8. Πάσαισι γὰρ πολίεσιν] ἐν γὰρ πάσαις ταῖς πόλεσιν ὁ λόγος καὶ ἡ φήμη ἀνατρέφεται περὶ τῶν τοῦ Ἐρεχθέως πολιτῶν, τυτέστι, τῶν Ἀθηναίων· οἱονεὶ, πᾶσα πόλις θαυμάζει τὰς Ἀθήνας καὶ τὰς ἀνδραγαθίας τῆς πόλεως.

9. Ἄπολλον (sic), οἵ τεόν τε δόμον] οἵ τινες οἱ Ἀλκμαιονίδαι, ὦ Ἄπολλον, ἐν τῇ ἐξοχωτάτῃ Πυθῶνι τὸν σὸν οἶκον θαυμαστὸν κατεσκεύασαν. φασὶ γὰρ οἱ μὲν, ὅτι διὰ τὸν ὕμνον καὶ τὴν νίκην ἐπιφανέστερον ἐποίησαν τὸν τοῦ Ἀπόλλωνος νεών, οἱ δὲ, παρὰ τὴν ἰσορίαν. λέγεται γὰρ, ὅτι τὸν Πυθικὸν ναὸν πρησθέντα, ὥς φασιν, ὑπὸ τῶν Πεισιστρατιδῶν οἱ Ἀλκμαιονίδαι φυγαδευθέντες ὑπ' αὐτῶν ὑπέσχοντο ἀνοικοδομήσαι, καὶ δεξάμενοι χρήματα καὶ συναγαγόντες δύναμιν ἐπέθεντο τοῖς Πεισιστρατίδαις, καὶ νικήσαντες, μετ' εὐχαριστηρίων πλειόνων ἀνῳκοδόμη-

Θαητὸν ἔτευξαν. — ἄγον-
τι δέ με πέντε μὲν Ἰσθμοῖ
Νῖκαι· μία δ' ἐκπρεπὴς
Διὸς Ὀλυμπίας· δύο δ' ἀπὸ Κίρρας,

Ε. Κ. Θ'.

Ὦ Μεγάκλεες, ὑ-
μαί τε καὶ προγόνων. —
Εὐπραγία δὲ νέα
Χαίρω τι· τὸ δ' ἄχνυμαι,
Φθόνον ἀμειβόμενον
Τὰ καλ' ἔργα. Φαντί γε μὰν,
Οὕτω κεν ἀνδρὶ πὰρ μονίμαν
Θάλλοισαν εὐδαιμονίαν
Τὰ καὶ τὰ φέρεσθαι.

δόμησαν τῷ θεῷ τὸ τέμενος. Φιλόχορος ἱστορεῖ.

11. Ἄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ] ἄγησι δέ με καὶ προτρέπουσιν ἐπὶ τὸν ὕμνον, ὦ Μεγάκλεες, αἱ ὑμῶν νῖκαι καὶ τῶν προγόνων, πέντε μὲν ἐν Ἰσθμοῖ γενόμεναι, μία δὲ ἐξοχωτάτη ἐν Ὀλυμπίᾳ· δύο δὲ ἐκ Δελφῶν. ἔνιοι δέ φασιν, ὅτι οὐ νενίκηκεν οὗτος Ὀλύμπια, ἀλλ' οἱ ὁμώνυμοι τούτῳ. ἕνεκα δὲ τοῦ ἀπολαμπρύνου αὐτὸν καὶ τὴν προγονικὴν τούτῳ ἀνατίθησιν νίκην.

17. Νέᾳ δ' εὐπραγίᾳ (sic) χαίρω τι] Ἀρίσταρχος συμβεβηκέναι αὐτῷ τι σύμπτωμα περὶ τὴν νίκην ταύτην· ὅθεν καί φησιν, ἔν τινι χαίρειν, τὸ δὲ ἄχνυσθαι, φθόνῳ τινὸς παρακειμένῳ τοῖς καλοῖς ἔργοις· ὅτω μέντοι γε γίνεσθαι παραμυθίας τὰς εὐδαιμονίας, ἐπὰν ἔχωσί τι κρᾶμα καὶ δυτύχημα. ἔοικε δὲ τὸ περὶ τὴν τοῦ Ἱπποκράτης τελευτὴν περὶ ταὐτὸν τὸν καιρὸν ἀπηντηκέναι, εἰς ἣν καὶ θρῆνον γράφει ὁ Πίνδαρος. ἦν δὲ ὁ Ἱπποκράτης συγγενὴς τοῦ νικηφόρου. Ἄλλως. ἐπὶ τῇ νῦν εὐτυχηθείσῃ νίκῃ χαίρω, ἄχνυμαι δὲ διὰ τὸν Ἱπποκράτην.

23. Τὰ καὶ τὰ] ἀντὶ τοῦ, ἀγαθὰ καὶ κακά. βεβαίαν δέ φησι τὴν εὐδαιμονίαν, ὅταν τῇ πολλῇ εὐπραγίᾳ παρέπηταί τι φαῦλον. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ (Od. VIII, 63 f.)·

Τὸν πέρι Μοῦσ' ἐφίλησε δίδου δ' ἀγαθόν τε κακόν τε·
Ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν.

Περὶ

Περὶ τῶν κώλων τῆς τροφῆς καὶ ἀντιστροφῆς τῆ αὐτῆ (VIII.) εἰδος.

Τῆς ὀγδόης ᾠδῆς ἡ τροφὴ καὶ ἀντίστροφος κώλων ἐννέα. Τὸ α΄ ὅμοιον τῷ· τίς σὰς παρήειρε Φρένας. Τὸ β΄ τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ γ΄ ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ δ΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ε΄ χοριαμβικὸν ὑπερκατάληκτον. Τὸ ς΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ζ΄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ η΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ θ΄ περιοδικόν.

Περὶ τῆς ἐπῳδῆ τῆ αὐτῆ εἰδος. Ἡ ἐπῳδὸς κώλων ἕνδεκα. Τὸ α΄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ β΄ ἰαμβικὸν τρίμετρον καταληκτικόν. Τὸ γ΄ ἰαμβικὸν πενθημιμερές. Τὸ δ΄ περιοδικὸν (δίμετρον), ἢ λέγεται διπλῆς τροχαῖος, ὑπερκατάληκτον. Τὸ ε΄ Ἰωνικὸν δίμετρον ἀπὸ μείζονος βραχυκατάληκτον. Τὸ ς΄ τὸ αὐτὸ ὁμοίως. Τὸ ζ΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ η΄ Γλυκώνειον. Τὸ θ΄ ἀναπαιστικὸν (imo τροχαϊκὸν) δίμετρον καταληκτικόν. Τὸ ι΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ια΄ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον ἰθυφαλλικόν.

[In marg. ed. Brub. additur: ἀλλ' ἡ διαίρεσις αὕτη, ὡς καὶ τῶν ἑξῆς τινὲς, τοῖς κώλοις, καθότι ἐνταῦθά γε καὶ ἔτι ἐν τοῖς Ἄλδε ἐξετυπώθη, ἀ παντάπασιν ἐξαρμόττει. Pertinent haec ad vulgatam olim scripturam.]

Περὶ τῆς ἐπιγραφῆς. Γέγραπται ἡ ᾠδὴ Ἀριστομένει Αἰγινήτῃ παλαιστῇ, νικήσαντι τὴν λέ Πυθιάδα.

ARGV-

ARGVMENTVM OCTAVI CARMINIS.

Tranquillitas publica, iuſtitiae filia, quae conſilia et bellum moderaris, beneuole hymnum in Ariſtomenem Pythicum victorem excipe (— 7). Tu aequa et facere et pati pro temporum ratione potes; ſi quis implacabile gerit odium, tu eius impotentiam animi deprimis (— 14). Porphyrion non intellexit, ſe prouocare te in perniciem ſuam; gratiſſimum eſt lucrum, ſi quis illud alio volente obtinet. Verum ſuperbum (dea haec) proſternere ſolet. Non eam effugit Typhon, nec gigantum rex; fulmine et telis Apollinis perierunt (— 25), qui benigne nunc Ariſtomenem excipit laurea et hymno ornatum. Non caret hymnorum materie Aegina inſula per Aeacidas, et inde ab initio gloriam obtinuit; multorum victorum et heroum celebratur nutrix, et inter viros eminet. Non multus eſſe poſſum in eorum laudibus, ne taedium creetur (— 44). Hymnus tibi debitus ob recentiſſima facta, mea arte celeriter prodeat. Aemulans enim auunculos nec dedecoras Theogneti Olympicam victoriam, nec Clitomachi Iſthmiam (— 52). Midylidarum gentem ornans illam reportas laudem, quam Amphiaraus praedixit filiis ad Thebas, quum praeuideret Epigonorum in ſecundo bello conſtantiam (— 61): Paternus, inquiens, animus in filiis ſplendet; video Alcmaeonem in Thebas irrumpere. Adraſtus, priori calamitate fractus, meliori nuncio fruitur, ſed domeſticas res aduerſas experitur. Solus enim ex Danais oſſa filii

caesi leget, et saluus reuertetur Argos. Haec ille (— 78). Lubens ego quoque Alcmaeonem laudo; etenim propinquus mihi et tutelaris me Delphos proficiscentem patria vaticinandi arte monet (— 88). Tu vero, Apollo, maximam Aristomeni victoriam largitus es; antea iam Aeginae pentathlo vicerat. Adspice propitius, vt quamque victoriam laudo. Veritas carmini adest (— 100). Tuae fortunae vt deorum cura contingat precor. Si quis laudem sine molestia consequitur, stulti hoc eius prudentiae tribuunt. At non positum est in hominum potestate; deus efficit, nunc hunc extollens, nunc illum deprimens (— 111). Megaris, Marathone, et in domestico Iunonis certamine vicisti, Aristomenes. Quatuor victores (Delphis) luctando prostrauisti et ignominia affecisti (— 125). Sed recens decus nactus exsultat, delectaturque diuitiis suis, verum illa laetitia modo crescit, modo concidit; adeo vanae sunt res humanae, sed deo volente gloria et laeta adest vita (— 139). Aegina (nympha) cum Ioue, Aeaco, Peleo, Telamone et Achille, tuere hanc vrbem (— fin.)!

ΕΙΔΟΣ

ΕΙΔΟΣ ιζ'.

ΑΡΙΣΤΟΜΕΝΕΙ ΑΙΓΙΝΗΤΗ

ΠΑΛΑΙΣΤΗ.

Σ. α'. Κ. θ'.

Φιλόφρον Ἡσυχία, Δίκας
Ὦ μεγιστόπολι
Θύγατερ, βυλᾶν τε καὶ πολέμων
Ἔχουσα κλαῖδας
Ὑπερτάτας, Πυθιόνικον
Τιμὰν Ἀριστομένει
Δέχευ. τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι

1. Φιλόφρον Ἡσυχία] τὴν Ἡσυχίαν κατακαλεῖται διὰ τὸ νεωστὶ καταλελυσθαι τὰ Περσικά. δύναται δὲ καὶ ἁπλῶς λέγειν ὁ Πίνδαρος ὡς περὶ εὐνομουμένων τῶν Αἰγινητῶν, καὶ ἐπαινεῖ τὴν ἡσυχίαν ὡς μεγιστόπολιν· ὅτι γὰρ ἡσυχία, καὶ εἰρήνη. Εἰρήνη δ' ἀνὰ γῆν κυβερνήτειρα (Hes. Opp. et D. 226.).

3. Βυλᾶν (sic) τε καὶ πολέμων ἔχουσα κλείδας] εἰρήνης μὲν κατὰ τὸ φυλακτικόν, ἐν ᾗ βυλαὶ εἰσι, πολέμων δὲ, ἵνα διακλείῃ αὐτὰς καὶ ἀπείργῃ. Καὶ ἄλλως· ἰδίᾳ Αἰγινήταις ἦσαν τάσεις περὶ τὸν τῆς νίκης τῶ Ἀριστομένους καιρόν. διὸ καὶ οἰκείως τὴν Ἡσυχίαν κατεύχεται. ποιητικῶς δὲ τὴν Ἡσυχίαν τῆς Δικαιοσύνης παῖδα εἶναι ἔφη, ἢ καὶ ἐκ τῶν ἐναντίων τῆς Ἀδικίας τὸν Θόρυβον. ὁ δὲ νῦς· ὦ Ἡσυχία φιλοφρονητικὴ καὶ μεγίστη ἐν ταῖς πόλεσιν οὖσα, τῆς Δικαιοσύνης θυγάτηρ, εἰρήνης τε καὶ βυλευτηρίων ἔχουσα τὰς μεγάλας κλεῖς. μεγιστόπολιν δὲ ταύτην ἔφη, ἤτοι ὅτι μεγίστας ἀποτελεῖ τὰς πόλεις ἀστασιάστους οὔσας, ἢ ὅτι αὕτη μέγα ἐν ταῖς πόλεσιν ἰσχύει. δέχυ τοίνυν, ὦ Ἡσυχία, παρὰ Ἀριστομένους τὴν Πυθικὴν νίκην αὐτῦ. σὺ γὰρ τὸ ἐπιεικὲς καὶ προσηνὲς ἔρξαι καὶ ποιῆσαι δύνασαι εὐκαίρως, ὁμοδρομοῦντος τῶ καιρῶ τὸ παθεῖν. τὸ γὰρ ὑστερεῖ, ἀντὶ τῦ ὁμοτρεχεῖ.

10. Τὸ

Τε καὶ παθεῖν ὁμῶς
Ἐπίσασαι καιρῷ σὺν ἀτρεκεῖ·

Α. α΄. Κ. θ΄.

Τὸ δ' ὁπόταν τις ἀμείλιχον
Καρδία κότον ἐν-
ελάσῃ, τραχεῖα δυσμενέων
Ὑπαντιάξαισα
Κράτει τιθεῖς ὕβριν ἐν ἄντλῳ.
Τὰν δὲ Πορφυρίων
Μάθεν, παρ' αἶσαν ἐξερεθίζων. —
Κέρδος δὲ φίλτατον,
Ἑκόντος εἴ τις ἐκ δόμων φέροι.

Ε. α΄.

10. Τὸ δ' ὁπόταν (sic) τις ἀμείλιχον] τὸ δὲ ὁπόταν τις ἀπροσωνῆ καὶ ἰταμωτάτην ὀργὴν καὶ ὕβριν ἐνθῇ τῇ ἑαυτοῦ καρδίᾳ, τραχεῖα καὶ προσάντης τῇ τῶν δυσμενῶν καὶ ἀπηνῶν ἀπαντήσασα κεφαλῇ, τὴν ἀλαζονείαν αὐτῶν ἐν ἀφανείᾳ τιθεῖς. ἔθος δὲ Πινδάρῳ ἀπὸ ἐνικῶν εἰς πληθυντικὸν καταφέρεσθαι, ὡς κἀνταῦθα· ὅταν τις, εἴτε, δυσμενέων. Ἄλλως. ἐὰν τις, φησι, ταραχώδης καὶ ὑβριστὴς γένηται, τοῦτο γάρ ἐστι τὸ, ἀμείλιχον καρδίᾳ κότον ἐνελάσει (sic), ὑπαντιάξασα αὐτῷ σὺ, ὦ Ἡσυχία, τυτέστιν ἀπαντήσασα τραχεῖα τῷ τῶν πολεμίων κράτει, ὅ ἐστι, πολέμιος ἐπισηήσασα, τιθεῖς αὐτοῦ τὴν ὕβριν ἐν ἄντλῳ, τυτέστι, βαπτίζεις αὐτοῦ τὴν ὕβριν τῷ ὕδατι καὶ τῇ ἀφανείᾳ. ὡς Ὁμήρος (Od. XV, 478.)·

Ἄντλῳ δ' ἐνδύπησε πεσὼν ὡς εἰναλίη κίξ.

ὁ δὲ νεὼς ὅλος· σὺ, ὦ Ἡσυχία, τὰς ἀλαζόνας καὶ τὰς ὑβριστὰς ἀφανίζεις καὶ ἀμαυροῖς.

15. Τὰν δὲ Πορφυρίων μάθεν] ἦν δὲ ὁ Πορφυρίων γίγας ἤσθετο παρὰ τὸ καθῆκον ἐξερεθίζων, διόπερ καὶ ἀνῃρέθη. ὁ δὲ νεώς· ἥντινα τὴν Ἡσυχίαν ἀποσφαλεὶς καὶ παρὰ τὸ δέον ἐρεθίζων ὑδὲ ὁ Πορφυρίων ἔγνω. διὸ καὶ ἀπώλετο.

17. Κέρδος δὲ φίλτατον] ὄνησίς ἐστι τῶν διδομένων, ὅταν τις παρ' ἑκόντος λαμβάνῃ. τὸ δὲ μετὰ βίας ἀγόμενον κέρδος ἀνόνητόν ἐστι. τοῦτο δὲ εἶπεν, ὅτι Πορφυρίων ἐπεχείρησεν ἀποσπάσαι βοῦς Ἡρακλέους ἄκοντος αὐτοῦ.

19. Βία

Ε. ά. Κ. ιά.

Βία δὲ καὶ μεγάλαυχον ἔσφα-
λεν ἐν χρόνῳ. — Τυφὼς Κίλιξ πολυκάρα-
νος ὃ μιν ἄλυξεν,
Οὐδὲ μὰν βασιλεὺς γιγάντων·
Δμᾶθεν δὲ κεραυνῷ,
Τόξοισί τ' Ἀπόλλω-
νος. ὃς εὐμενεῖ νόῳ
Ξενάρκειον ἔδεκτο Κίρ-
ραθεν ἐξεφανωμένον
Υἱὸν ποία Παρνασία
Δωριεῖ τε κώμῳ.

Σ. β'. Κ. θ'.

Ἔπεσε δ' ὁ Χαρίτων ἑκὰς
Ἁ δικαιόπολις,

29. Βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν] ἡ τῦ σώματος ἰσχὺς τὸν μεγαλαυχήσαντά, φησιν, ἐπὶ τῇ φώμῃ σφάλλει τῷ χρόνῳ· ὑποδείγματι δὲ τῷ Τυφῶνι ἐχρήσατο, καὶ τοῖς ἑξῆς.

32. Οὐδὲ μὰν βασιλεὺς γιγάντων] πάλιν συλληπτικῶς. ἔτε γὰρ ὁ Τυφὼς καὶ ὁ Πορφυρίων ἐκεραυνώθησαν, καὶ ὑπ' Ἀπόλλωνος ἐτοξεύθησαν, ἀλλ' ὁ μὲν Τυφὼς Διοβλὴς γέγονεν, ὁ δὲ Πορφυρίων ὑπ' Ἀπόλλωνος ἐτοξεύθη. ὁ δὲ τὸ τῷ ἑτέρῳ συμβεβηκὸς ὡς κατ' ἀμφοτέρων ἔφη.

35. Ὃς εὐμενεῖ νόῳ Ξενάρκειον] τὸν Ἀριστομένην φησίν. ἦσι δὲ Ξενάρχης υἱός. καὶ ὅτι Κίρραθεν εἴρηται, ὃ συντελεῖται ὁ ἀγὼν ὁ ἱππικὸς ὑπὸ Δελφῶν. ὃ δὲ νῦς· ὅς τις ὁ Ἀπόλλων εὐμενεῖ νόῳ ὑπεδέξατο ἐν Δελφοῖς ἐστεφανωμένον τῇ δάφνῃ τὸν Ἀριστομένην.

39. Δωριεῖ τε κώμῳ] ἀντὶ τῦ, τῷ τῶν Αἰγινητῶν ὕμνῳ. Δωριεῖς γὰρ ἀπὸ Ἄργους εἰς Αἴγιναν κατῴκησαν. τὸ δὲ, Χαρίτων ἑκὰς, ὐκ ἔξω δὲ Χαρίτων ἡ Αἴγινα, ὐκ ἄχαρις, ἀλλὰ τελείαν ἔχει τὴν δόξαν ἐξ ἀρχῆς, καὶ ὃ νῦν μόνον.

31. Ἁ δικαιόπολις] ἡ δὲ δικαιόπολις νῆσος Αἴγινα ὐκ ἐξέπεσε τῶν Χαρίτων, φησὶ, θίγυσα ταῖς τῶν Αἰακιδῶν ἀρεταῖς.

35. Πλε-

Ἀρεταῖς κλειναῖσιν Αἰακιδᾶν
Θίγοισα, νᾶσος· τε-
λέαν δ' ἔχει δόξαν ἀπ' ἀρχᾶς.
Πολλοῖσι μὲν γὰρ ἀεί-
δεται νικαφόροις ἐν ἀέθλοις
Θρέψασα καὶ θοαῖς
Ὑπερτάτας ἥρωας ἐν μάχαις·

Α. Β'. Κ. Θ'.

Τὰ δὲ καὶ ἀνδράσιν ἐμπρέπει. —
Εἰμὶ δ' ἄσχολος ἀ-
ναθέμεν πᾶσαν μακραγορίαν
Λύρᾳ τε καὶ φθεγμα-
τι μαλθακῷ, μὴ κόρος ἐλθὼν
Κνίσῃ. τὸ δ' ἐν ποσί μοι

Ἴτω

35. Πολλοῖσι μὲν γὰρ ἀείδεται] πολλοῖς μὲν γάρ, φησιν, ἀνυμνεῖται ἀγῶσι, καὶ ἐν ταῖς ἐξείαις μάχαις, γενναίως καὶ πολεμικῶς ἀγαγοῦσα ἥρωας. διαφέρει δὲ καὶ ἐν ἀνδράσιν εὐβουλίας ἕνεκεν καὶ γνώμης.

40. Εἰμὶ δ' ἄσχολος] ἐν ἀσχολίᾳ, φησὶν, εἰμὶ, καὶ οὐκ εὐκαιρῶ, ὥστε πᾶσαν τὴν τῆς Αἰγίνης μακηγορίαν ἀναθεῖναι τῇ λύρᾳ καὶ τῷ ᾠδεῖ φθέγματι, οἱονεὶ τῇ ᾠδῇ. ἢ ὕτως· οὐκ ἔστι καιρὸς τὰ ἐγκώμια τῆς Αἰγίνης καὶ τῶν Αἰακιδῶν λέγειν, μή τις φθόνος βλάψῃ με. οἱ δὲ ὕτως· οὐκ εὐκαιρῶ πᾶσαν αὐτῆς τὴν ἀρετὴν ἐμπεριβαλεῖν, ἢ περιλαβεῖν τῷ ὕμνῳ. δεῖ γάρ με τὸν νικηφόρον ἐπαινεῖν· εὐλαβοῦμαι δὲ, μὴ προσκορὴς ὀφθῇ ὁ λόγος μου.

43. Μὴ κόρος ἐλθὼν κνίσῃ] ὑπερθέμενός, φησι, τὸ παρεκβάσει περὶ Αἰγίνης εἰπεῖν, μὴ κόρος ἐπιδράμῃ μοι, ὃ νῦν ἐξείλυφα ἔργον. Τὸ δὲ ἐν ποσί μοι (sic) τρέχον, τυτέστι τὸ πρόσφατον· τί δέ ἐστι τοῦτο; ἡ νίκη· ταύτην ὑμνήσω. Ποτανὸν δὲ φησιν, ἀντὶ τοῦ πετώμενον, ἐπεὶ τὰ ποιήματα εἰς πᾶσαν διικνεῖται πόλιν· ἢ μετέωρον· ἢ ὕτω· τὸ νῦν παρὰ ποσί μοι ἄφλυμα τυτο νῦν τρέχον, καὶ μετὰ σπουδῆς, παραγινέσθω ταχὺ παρὰ τὴν ἐμὴ γνώμην. τὸ πρᾶγμα γὰρ πτηνὸν καὶ τὸ χρέος γινέσθω, τυτέστι, τὸ κοίμα ταῖς ἐμαῖς τέχναις, ὥστε καὶ διακόντιον δύνασθαι εἶναι.

48. Πα-

Ἴτω τρέχον τεὸν χρέος, ὦ παῖ,
Νεώτατον καλῶν,
Ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ.

Ε. β΄. Κ. ιά΄.

Παλαισμάτεσσι γὰρ ἰχνεύων μα-
τραδελφεὸς, Ὀλυμπία τε Θεόγνη-
τον ἀ κατελέγχεις,
Οὐδὲ Κλειτομάχοιο νίκαν
Ἰσθμοῖ θρασύγυιον.
Αὔξων δὲ πάτραν Μι-
δυλιδᾶν λόγον φέρεις

Μ 4 Τὸν

48. Παλαισμάτεσσι γὰρ ἰχνεύων] Θεόγνητος νῦν Κλειτόμαχος θείοις τῷ νικηφόρῳ. Ὀλυμπιονίκης δὲ ὁ Θεόγνητος, ὁ Κλειτόμαχος δὲ Ἰσθμιονίκης. φησὶ δὲ αὐτὸν μὴ κατελέγχειν τὰς τῆς μητρὸς ἀδελφὰς, ἀλλὰ κατ' ἴχνη τούτων βαίνειν. ὁ δὲ νῦς· τοῖς γὰρ παλαίσμασι τὰς πρὸς μητρὸς συθείσας μεταδιώκων νῦν ζηλῶν ἔτε τὸν Ὀλυμπίᾳ Θεόγνητον νικήσαντα καταισχύνεις, ἔτε τὴν Κλειτομάχῳ ἐν Ἰσθμοῖ νίκην, ἀπὸ κοινῆ τὸ, κατελέγχεις.

53. Αὔξων δὲ πάτραν Μιδυλιδᾶν] Φατρία ἐν Αἰγίνῃ Μιδυλιδῶν, ἀπὸ Μιδύλα, προγόνου ἐπιδόξου γεγονότος. νῦν ἐν ἄλλοις αὐτός (Fragm. p. 104. Schm.)· Μιδυλίδα δ' αὐτῷ γέννα. μαρτυρεῖ νῦν Ὅμηρος (Il. XIII, 354.)·

Ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος νῦν ἠδὲ πάτρη,

ἀντὶ τῦ, φατρία. τῷ ὖν σῷ γένει, τοῖς Μιδυλίδαις, δόξαν προσέθηκας. ὁ δὲ νῦς ὕτω· τῶν δὲ Μιδυλιδῶν τὴν φατρίαν αὔξων τὸν λόγον φέρεις ἐκεῖνον, ὃν εἶπέ ποτε Ἀμφιάραος, ἡνίκα ἐθεάσατο ἐν ταῖς ἑπταπύλοις Θήβαις παραμένοντας τοὺς υἱοὺς τῶν ἑπτὰ ἐπὶ Θήβαις, ὁπότε ἀπὸ τῆ Ἄργης τὴν δευτέραν ἐπάνοδον ἐπανῆλθον οἱ Ἐπίγονοι. ἦ ὕτω· τῦτον, φησὶ, τὸν λόγον φέρεις, ὦ Ἀριστόμενες, ὃν εἶπεν ὁ Ἀμφιάραος, ἰδὼν θαρσαλέως πολεμοῦντας τοὺς Ἐπιγόνους καὶ ἀ τῶν Θηβαίων. Τί δὲ εἶπε; φυᾷ τὸ γενναῖον ἐπιπρέπει· ὅτι σώζουσι τὴν τῶν γονέων ἀρετήν. νῦν σὺ δέ, φησι, τοὺς μήτρωας ζηλοῖς τῇ ἀθλήσει. ἦ ὕτω· τῇ φύσει τὸ συγγενὲς ἐκ πατέρων προσύμμαχον τοῖς παισὶν ἐπιπρέπει.

Ὅμηρος (Il. V, 253.)·

Οὐ γάρ μοι γενναῖος ἀλυσκάζοντι μάχεσθαι,

τυτέοις, συγγενικόν.

56. Ἰδὼν

Τὸν, ὃν πέρ ποτ' Οἰκλέος
Παῖς ἐν ἑπταπύλοις ἰδὼν
Θήβαις υἱοὺς ἠνίξατο
Παρμενοντας αἰχμᾷ,

Σ. γ'. Κ. θ'.

Ὁπότ' ἀπ' Ἄργεος ἦλυθον
Δευτεραν ὁδὸν Ἐ-
πίγονοι. ὣδ' εἶπε· μαρναμένων
Φυᾷ τὸ γενναῖον
Ἐπιπρέπει ἐκ πατέρων παι-
σὶν λῆμα. θαέομαι
Σαφὲς δράκοντα ποικίλον αἰθᾶς
Ἀλκμᾶν' ἐπ' ἀσπίδος
Νωμῶντα πρῶτον ἐν Κάδμε πύλαις.

Α. γ'. Κ. θ'.

Ὁ δὲ καμὼν προτέρα πάθᾳ,

Νῦν

56. Ἰδὼν υἱὸς Θηβαίων (sic) ἠνίξατο] ἀντὶ τοῦ ἀπεφθέγξατο. ὁ γὰρ αἰνιγματωδῶς εἶπε. καὶ παρ' Ὁμήρῳ (Il. XIII, 374.)·

Ὀθρυονεῦ, πέρι δή σε βροτῶν αἰνίζομαι ἅπαντων.

πῶς δὲ ταὐτά φησιν ὁ Ἀμφιάραος, εἰ μὴ ὅτι, ὅπερ ζῶν κατεπόθη, κατά τινα θείαν ἐπίνοιαν προσδιελέγετο τοῖς Ἐπιγόνοις.

64. Θεάομαι (sic) σαφὲς δράκοντα] τοῦτό φησιν, ὡς τοῦ Ἀλκμᾶνος ἔχοντος ἐπὶ τῆς ἀσπίδος ἐπίσημον δράκοντα. θεωρῶ γάρ, φησι, σαφῶς ἐν ταῖς Θήβαις τὸν Ἀλκμέονα, ποικίλον δράκοντα ἐπὶ τῆς καταπληκτικῆς ἀσπίδος διακινοῦντα. Διατί δὲ ὁ Ἀλκμέων εἶχεν ἐπὶ τῆς ἀσπίδος δράκοντα; ὅτι ἐπιτήδειον πρὸς οἰωνὸς τὸ ζῶον, καὶ καταδύνον εἰς τὰς ὀπὰς τῆς γῆς. μάντις δὲ καὶ ὁ Ἀμφιάραος, καὶ κατέδυ καὶ αὐτὸς ὑπὸ γῆν. ὁ δὲ παῖς, σημεῖον τῆς τοῦ πατρὸς ἔσωζε τέχνης· ἢ καθὸ ἦν ἀπὸ Μελάμποδος. ἱστοροῦσι δὲ δύο δράκοντας διαλεῖξαι τὰς ἀκοὰς τῷ Μελάμποδος καὶ διατρῆσαι πρὸς ἄλληλα. διὸ καὶ δοκεῖ αἰσθάνεσθαι τῆς τῶν ἀλόγων ζώων φωνῆς.

68. Ὁ δὲ καμὼν προτέρα πάθᾳ] ὁ δὲ τῷ προτέρῳ πάθει καμὼν

Νῦν ἀρείονος ἐν-
ἔχεται ὄρνιχος ἀγγελίᾳ
Ἄδραστος ἥρως. τὸ
Δὲ οἰκοθέν γ' ἀντία πράξει.
Μόνος γὰρ ἐκ Δαναῶν
Στρατῷ, θανόντος ὃς τέα λέξας
Υἱῷ, τύχᾳ Θεῶν
Ἀφίξεται λαῷ σὺν ἀβλαβεῖ

Ε. γ'. Κ. ια'.

Ἄβαντος εὐρυχόρους ἀγυιάς."
Τοιαῦτα μέν τ' ἐφθέγξατ' Ἀμφιάρηος. —
Χαίρων δὲ καὶ αὐτὸς

M 5 Ἀλκ-

μέων καὶ τὸν στρατὸν ἀπολέσας Ἄδραστος νῦν κρείσσονος οἰωνοῦ ἐνέχεται ἀγγελίᾳ. νικήσει γὰρ τῇ μάχῃ. τὸ δὲ κατὰ τὸν ἴδιον οἶκον ἐναντίως πράξει. πρότερον μὲν γὰρ ἐσώθη μόνος, κατὰ δὲ τὴν δευτέραν στρατείαν, πάντων σωθέντων, αὐτὸς μόνος τὸν υἱὸν ἀπέβαλεν Αἰγιαλέα, ὥς φησιν Ἑλλάνικος λέγων, ἐν Γλίσαντι τὴν συμβολὴν γεγενῆσθαι. ἢ ὕτως· ὁ δὲ καιρὸν Ἄδραστος τῇ πρότερᾳ συμφορᾷ, νῦν βελτίονος ἔχεται τύχης, τῇ τε ὄρνιθος ἀγγελίᾳ καὶ κληδόνι. οἰωνιστὴς γὰρ ὁ Ἀμφιάραος.

73. Μόνος (sic) γὰρ ἐκ Δαναῶν] μόνος γὰρ τῶν Ἑλλήνων τῇ Θηβαΐδι στρατῷ, τελευτήσαντος τὸν υἱὸν τὰ ὀστᾶ συναγαγὼν καὶ συλλέξας ἀφίξεται εἰς τὸ Ἄργος σὺν τῷ στρατοπέδῳ ἀβλαβεῖ καὶ περισωθέντι. ἐν γὰρ τῇ πρώτῃ στρατείᾳ οἱ μὲν ἄλλοι ἐξ στρατηγοὶ ἀπώλοντο, ἐν δὲ τῇ δευτέρᾳ, ὅτε οἱ Ἐπίγονοι, μόνος ὁ Ἀδράστου παῖς Αἰγιαλεὺς ἀπώλετο. ὕτω καὶ ἐξ αὐτῆς φασὶν Ἀδράστειαν κληθῆναι τὴν Νέμεσιν. Ἄβαντος δὲ ἀγυιὰς (v. 77.) τὸ Ἄργος φησὶν, ὅτι Ἄβας, ὁ Λυγκέως, Ταλαοῦ πατὴρ, ἐξ οὗ ὁ Ἄδραστος ὤκησε τὸ Ἄργος, εἶτα μετέστη εἰς Εὔβοιαν. ὅτι δὲ Λυγκέως Ἄβας, ἐξ ἐκείνης ὅηλον· σφαγὰς δὲ Δαναῆ παρθένων Λυγκεὺς φυγὼν Ἄβαντα φύει, διάδοχον τυραννίδος.

79. Χαίρων δὲ καὶ αὐτὸς] ὡς ἀπὸ τῆς χορῆς, τὸ πρόσωπον μιμούμενη τῇ νενικηκότος. ταῦτα δὲ εἴρηκεν, ὡς ὑπάρχοντος ἥρωος καὶ γειτνιῶντος τῇ τῆ νικηφόρᾳ οἰκίᾳ. προσυποτίθεται δὲ, ὅτι καὶ ὑπήντησε πορευομένῳ εἰς τὸν ἀγῶνα καὶ τῆς μαντείας ἐφήψατο καὶ αὐτὸς ὢν μάντις. ἐμφαίνει δὲ διὰ τούτων, ὅτι ἐγεγόνει τις μαντεία περὶ τῆς νίκης αὐτῆ, Ἀλ-

Ἀλκμᾶνα στεφάνοισι βάλλω,
Ῥαίνω δὲ καὶ ὕμνῳ·
Γείτων ὅτι μοι, καὶ
Κτεάνων φύλαξ ἐμῶν,
Ὑπαντίασεν ἰόντι γᾶς
Ὀμφαλὸν παρ' ἀοίδιμον,
Μαντευμάτων τ' ἐφάψατο
Συγγόνοισι τέχναις. —

Σ. δ'. Κ. Θ'.

Τὺ δ', ἑκατοβόλε, πάνδοκον
Ναὸν εὐκλέα δι-
ανέμων Πυθῶνος ἐν γυάλοις,
Τὸ μὲν μέγιστον τό-
θι χαρμάτων ὤπασας· οἶκοι
Δὲ πρόσθεν ἀρπαλέαν
Πενταεθλίᾳ δόσιν σὺν ἑορταῖς
Ὑμαῖς ἐπάγαγες,

Ὦ

Ἄλλως. ἐφηδόμενος δὲ καὶ αὐτὸς τὸν Ἀλκμέωνα στεφανῶ τῇ ᾠδῇ, ὅτι δή μοι ὁ τύτε πατὴρ Ἀμφιάραος γείτων ἐτὶ νῦν φύλαξ τῶν ἐμῶν κτημάτων, καὶ ὅτι ἀπιόντι εἰς τὸν τῆς γῆς ὀμφαλόν, τυτέστιν εἰς τὴν Πυθῶνα, ἀπήντησε, καὶ τῶν μαντευμάτων ἐφήψατο τοῖς συγγενηθεῖσιν αὐτῷ. τυχὸν δὲ λέγει συγγόνοις τέχναις. Ἄλλως. τῇ Ἀριστομένους οἰκίᾳ παρίδρυτο Ἀλκμέωνος ἡρῷον. ἴσως δὲ καὶ τῇ αὐτῇ μαντείᾳ χρησάμενος ἐπὶ τὸν ἀγῶνα ἐπορεύθη καὶ ἐνίκησε.

88. Τὺ δ' ἑκατοβόλε] σὺ δὲ, ὦ Ἄπολλον, τὸν πάντας δεχόμενον ἐν τῷ Πυθῶνι νεῶν εὐδόξως διανέμων, τύτο μὲν τὸ κλέος τῆς νίκης αὐτόθι ἐν τῷ Πυθῶνι παρέσχες· ἐν Αἰγίνῃ δὲ πρὸ τύτων ἐνίκησε τὰ Δελφίνια, Ἀπόλλωνος ἀγῶνα, πρὶν γὰρ λαβεῖν τὰ Πύθια, νενίκηκεν ἐν οἴκῳ, τυτέστιν ἐν Αἰγίνῃ, ἀγῶνα ἱερὸν Ἀπόλλωνος, πένταθλον. ἄγεται δὲ ἐν Αἰγίνῃ Δελφίνια Ἀπόλλωνι. τὸ δὲ Ὑμαῖς (v. 95.) ἀντὶ τῦ, ταῖς σαῖς, καὶ πλεονάζει τύτῳ ὁ Πίνδαρος. τιμᾶται δὲ σφόδρα ἐν Αἰγίνῃ Ἀπόλλων καὶ Ἄρτεμις.

95. Ἑκόντι δ' εὔχομαι νόῳ] σοὶ δὲ, ὦ Ἄπολλον, εὔχομαι ἐφορᾷν σε ἕκασον τῶν ποιημάτων, ὅσα

Ὦ ναξ. ἑκόντι δ' εὔχομαι νόῳ

Α. δ. Κ. θ'.

Κατὰ τὴν ἁρμονίαν βλέπειν
Ἀμφ' ἕκαστον ὅσα
Νέμομαι. — κώμῳ μὲν ἀδυμελεῖ
Δίκα παρέστακε. —
Θεῶν ὅπιν δ' ἄφθιτον αἰτέω,
Ξενάρκει, ὑμετέραις
Τύχαις. τὶς εἰ γὰρ ἐσλὰ πέπατται
Μὴ σὺν μακρῷ πόνῳ,
Πολλοῖς σοφὸς δοκεῖ πεδαφρόνων

Ε. δ'. Κ. ια'.

Βίον κορυσσέμεν ὀρθοβόλοι-
σι μαχαναῖς. Τὰ δ' ἐκ ἐπ' ἀνδράσι κεῖται

Δαί-

ὕσα κατά τινα ἁρμονίαν ἐπέρχεται μοι καὶ γράφω. Καὶ ἄλλως· ἤτοι διαβεβαιοῦμαι καὶ εὔχομαί σοι, ὦ Ἀπολλον, καθ' ἁρμονίαν πρὸς πάντα ἔρχεσθαι πράγματα, εἴον, πρὸς μηδὲν πλημμελῶς ἔρχεσθαι.

99. Κώμῳ μὲν ἀδυμελεῖ] τῷ μὲν χορῷ ἡμῶν δικαιοσύνη παρέσχηκε, τυτέστιν, ᾗ ψευδόμεθα, οἷς λέγομεν περὶ τῦ Ἀριτομένυς, ἤτοι, δικαίως κωμάζεται ὁ Ἀριτομένης καὶ ἐπιτηδείως· ἀγαθὸς γάρ ἐστι· τὴν δὲ τῶν μετὰ ταῦτα ἐπιτροφὴν παρὰ τῶν θεῶν εὔχομαι ἀνεπίφθονον ἐπὶ ταῖς ὑμετέραις εὐχαῖς γενέσθαι. ὁ δὲ Ξενάρκης πατὴρ τῦ νικηφόρυ.

103. Εἰ γάρ τις (ἢς) ἐσλὰ πέπατται] εἰ γάρ τίς, φησιν, ἀγαθὸς κέκτηται μὴ σὺν πολλῷ πόνῳ, ἀλλὰ ῥᾳδίως, τοῖς πολλοῖς τῶν ἀνθρώπων δοκεῖ σοφὸς ὤν, ἐν ἄφροσι τὸν ἑαυτῦ βίον κορύσσειν, τυτέστιν αὔξειν, ταῖς ὀρθοβύλοις ἑαυτῦ ἐπιτεχνήσεσιν. ἢ ὕτως· εἴ τις ἄνευ πόνυ ἀγαθόν τι περιεκτήσατο, τῦτον οἱ πολλοὶ τῶν ἀφρόνων δοκῶσι σοφὸν εἶναι, καὶ τῦτο ἐκ τῆς σοφίας δοκεῖ ὕτω περιπεποιῆσθαι. ἐγὼ δέ φημι τῦτο ἐν θεῷ εἶναι, καὶ ἔτι τὸ δαιμόνιον αἴτιον τῆς κτήσεως. Τὸ δὲ, πέπατται, ἀντὶ τῦ κέκτηται. Ὅμηρος (Il. IV, 433.)· Πολυπάμμονος ἀνδρὸς ἐν αὐλῇ, τυτέστι πλυσίυ.

107. Τὰ δ' ἐκ ἐπ' ἀνδράσι κεῖται] ταῦτα δέ, φησιν, ἐκ ἔστιν ἐν ἀνθρώποις, τὰ ἐκ περιοίας κτήσασθαι

Δαίμων δὲ παρίσχει,
Ἄλλοτ' ἄλλον ὕπερθε βάλλων,
Ἄλλον δ' ὑπὸ χειρῶν
Μέτρον καταβαίνει. —
Μεγάροις δ' ἔχεις γέρας,
Μυχῷ τ' ἐν Μαραθῶνος, Ἥ-
ρας τ' ἀγῶν' ἐπιχώριον
Νίκαις τρίταις, Ὡρισόμε-
νες, δαμάσσας ἔργῳ.

Σ. ε'. Κ. Θ'.

Τέτρασι δ' ἔμπετες ὑψόθεν
Σωμάτεσσι, κακὰ
Φρονέων· τοῖς ὅτε νόσος ὁμῶς

Ἐπαλ-

σασθαι· τὸ δαιμόνιον δὲ ἑκάστῳ παρέχει.

109. Ἄλλοτε δ' ἄλλον (sic) ὕπερθε βάλλων] ὅπερ προεῖπεν, ὅτι ὁ δαίμων παρέχει πάντα, ἐπήγαγεν, ὅτι ποτε μὲν, ἄλλοτε ἄλλον ὑψηλὸν ποιῶν, ἄλλοτε δὲ ὑποχείριον, καὶ οἰκτρὸν καὶ ταπεινόν.

111. Μέτρῳ καταβαίνει] ἀντὶ τοῦ, καταβαίνειν ποιεῖ, μεμετρημένα ἑκάστῳ τὰ κακὰ καὶ τὰ ἀγαθὰ παρέχεται, ὅποτε τῶν ἐν μονίμῳ τύχῃ κρατῶν.

113. Ἥρας τ' ἀγῶν' ἐπιχώριον] ὡς καὶ ἐν Αἰγίνῃ Ἡραῖων ἀγομένων, κατὰ μίμησιν τοῦ ἐν Ἄργει ἀγῶνος. ἄποικοι γὰρ Ἀργείων Αἰγινῆται. Διδυμος δὲ φησι τὰ Ἑκατόμβαια αὐτὸν νῦν λέγειν ἐπιχώριον ἀγῶνα Αἰγινητῶν, διὰ τὴν συγγένειαν.

115. Νίκαισι τρισσαῖς (sic)] σὺν ταῖς τρισὶ ταύταις νίκαις καὶ τὰ Πύθια νικήσας τέτρασι σώμασι τῶν ἀνταγωνιστῶν ἄνωθεν ἐνέπεσεν, ἥττον αὐτῶν φροντίζων. Τὸ δὲ, δαμάσας (sic) ἔργῳ, ἀντὶ τοῦ, μετ' ἔργου καὶ ἐνεργείας πολλῆς καθυποτάξας σαυτῷ.

119. Τοῖς ὅτε νόσος ὁμῶς] οἷς τισι, τοῖς ἡττηθεῖσιν, ἐκ τῆς Πυθίας ἡ ἀνακομιδὴ ὅτε ἡδεῖα, ὅτε προσηνὴς ἐγένετο· ὅτε ἐλθόντων αὐτῶν ἐπὶ τὴν πατρίδα περὶ τὴν μητέρα καὶ τοὺς γονεῖς γέλως γλυκὺς χάριν ἐκίνησε τὴν ἐκ τῆς νίκης· ἐκ δὲ τοῦ ἐναντίου λύπη καὶ συμφορὰ περὶ τὸν οἶκον τῶν ἡττηθέντων γέγονεν. Ἄλλως. εὐλαβοῦντο καὶ φεύγουσι τοὺς ἐχθροὺς τῇ τῆς ἥττης συμφορᾷ δακνόμενοι.

126. Ὁ

Ἔπαλπνος ἐν Πυθι-
άδι κρίθη, ὐδὲ μολόντων
Παῤ ματέρ' ἀμφὶ γέλως
Ὦρσεν γλυκὺς χάριν· κατὰ λαύρας
Δ' ἐχθρῶν ἀπάορος
Πτώσσοντι συμφορᾷ δεδαϊγμένος.

Α. έ. Κ. θ'.

Ὁ δὲ καλόν τι νέον λαχὼν,
Ἄβρότατος ἐπὶ
Μεγάλας ἐξ ἐλπίδος πέταται
Ὑποπτέροις ἀνο-
ρέαις, ἔχων κρέσσονα πλότᾳ
Μέριμναν. ἐν δ' ὀλίγῳ
Βροτῶν τὸ τερπνὸν αὔξεται· ὕτω
Δὲ καὶ πιτνεῖ χαμαί,
Ἀποτρόπῳ γνώμᾳ σεσεισμένον. —

Ε. έ. Κ. ιά.

Ἐπάμεροι. τί δέ τις; τί δ' ὔ τις; —

Σκιᾶς

126. Ὁ δὲ καλόν τι καὶ (sic) νέον λαχὼν] ὁ δὲ νεωστὶ καλὸν καταπραξάμενος καὶ νικήσας, ἀπὸ μεγάλης ἀβροτητος καὶ εὐδαιμονίας ἐκ τῶν εὐτυχηθεισῶν ἐλπίδων ὑψοῦται, ταῖς ταχείαις αὐτὴ ἐπαιρόμενος ἀνδρείαις, ἔχων καὶ κρεῖττονα πλότου τὴν φροντίδα, τουτέστι τὴν νίκην. Ἄλλως. ὁ δὲ καλῶς πράξας, ὑπὸ τῶν ἐλπίδων μετέωρος φέρεται.

131. Ἐν δ' ὀλίγῳ βροτῶν τὸ τερπνὸν αὔξεται] λείπει χρόνῳ, τουτέστι, χρόνον μικρὸν αὔξει τὰς ἀνθρώπως, καὶ καταβάλλει, ἡ τυχοῦσα πρόφασις. ἔξωθεν ὧν προσληπτέον τὸ, χρόνῳ. ἐν ὀλίγῳ δὲ χρόνῳ, φησὶ, τὸ τῶν ἀνθρώπων ἡδὺ καὶ καλὸν εἶναι δοκοῦν αὔξεται καὶ παραμένει· ὕτω δὲ καὶ πάλιν ταχέως αὐξηθὲν τὸ ἀγαθὸν ἀφανίζεται, ἀηδεῖ τινι γνώμῃ καὶ πεῖρᾳ σεσεισμένον καὶ ἡττηθέν.

135. Ἐπάμεροι, τί δέ τις; τί δ' ὔτις;] τῶν ἐφημέρων ἀνθρώπων, τί ἄν τις εἴποι, ὅτι ἔστι τις, ἢ πάλιν, ὅτι οὐκ ἔστι. ταχέως μὲν γάρ ἐστιν εἰπεῖν, ὅτι τὶς ὕτος;

Σκιᾶς ὄναρ γ' ἄνθρωποι. — ἀλλ' ὅταν αἴγλα
Διόσδοτος ἔλθῃ,
Λαμπρὸν ἔπεσι φέγγος ἀνδρῶν
Καὶ μείλιχος αἰών. —
Αἴγινα, φίλα μᾶ-
τερ, ἐλευθέρῳ τόλῳ
Πόλιν τάνδε κόμιζε, Διὶ
Καὶ κρέοντι σὺν Αἰακῷ
Πηλεῖ τε καὶ ἀρίστῳ Τελα-
μῶνι σύν τ' Ἀχιλλεῖ.

ὗτος, ταχέως δὲ, ὅτι ὑδεὶς, διὰ τὴν μετάπτωσιν τῶν πραγμάτων. διὰ τοῦτο δὲ καὶ ἐπιφέρει, ὅτι σκιᾶς ὄναρ ἄνθρωποι, εὖ τῇ ἐμφάσει χρώμενος, ὡς ἄν τις εἴποι, τῷ ἀσθενεῖ τὸ ἀσθενέστερον. ὑγὰρ σίον ἀνθρώπου ὄναρ ἐστὶν, ἀλλὰ σκιᾶς ἀνθρώπου. ἢ ὕτως· ἐπάμεροι ὦ ἄνθρωποι, τίς ἐστιν ὁ δοκῶν εἶναι καὶ μέγας καὶ πλούσιος; τίς δὲ ὁ νομιζόμενος ὑδεὶς καὶ εὐτελὴς; ὀνείρατα σκιᾶς ἐσμὲν οἱ ἄνθρωποι.

136. Ἀλλ' ὅταν αἴγλα Διόσδοτος ἔλθῃ] ἀλλ' ὅταν ἐκ Διὸς δεδομένη αἴγλη ἐπέλθῃ, ητέστιν, ὅταν ὁ Ζεὺς ἐπιλαμπρύνῃ, ἡδὺς ὁ βίος γίνεται τοῖς ἀνθρώποις. ὁ δὲ νοῦς· ἀλλ' ὅταν αἴγλη τις καὶ φῶς ἐκ θεοῦ παραγένηται, λαμπρὸν φάος ἔπεσι κατὰ τῶν ἀνθρώπων, καὶ πρασηνὴς ὁ βίος καὶ ἡ ζωή· ἐπιμέμφονται δέ τινες τῷ Πινδάρῳ, ὅτι ἐγκώμιον γράφων θρηνεῖ τὸν ἀνθρώπινον βίον.

140. Αἴγινα, φίλα μᾶτερ] τὸν λόγον πρὸς τὴν ἡρωΐδα ἀπέστρεψεν, ἀφ' ἧς καὶ ἡ νῆσος. ὁ δὲ νοῦς· ὦ προσφιλεστάτη μῆτερ, Αἴγινα, τὴν ὁμώνυμόν σοι πόλιν φύλασσε, καὶ περίεπε σὺν ἐλευθερίᾳ, φύλασσε δὲ σὺν τῷ Διὶ, καὶ τῷ βασιλεῖ Αἰακῷ καὶ τοῖς ἐξ αὐτοῦ ἥρωσιν. ἢ ὕτω· τοῦτο ἐκ τοῦ χοροῦ λέγοιτο ἄν, ὥστε τὴν Αἴγιναν, μητέρα τῶν χορευόντων λέγεσθαι. ἐλευθέρῳ δὲ τόλῳ, ἀντὶ τοῦ ἐλευθέρᾳ τάλασει, ἢ τάσει καὶ σχήματι, μὴ ταττομένη ὑπ' ἄλλους.

Αἴγινα φίλα μᾶτερ] προσφωνεῖ τῇ ἡρωΐδι.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἐννάτου εἴδους.

Τῆς ἐννάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων ιε. Τὸ α΄ ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ β΄ τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, εἰς ἴαμβον καταλῆγον. Τὸ γ΄, Ἀρχιλόχειον, ὅμοιον τῷ· Ἐρασμονίδα Χαρίλαε. Τὸ δ΄ πενθημιμερὲς δακτυλικόν. Τὸ ε΄ τὸ αὐτὸ τῷ γ΄, ἀλλὰ τοῦτο δωδεκάσημον, τὸ δὲ γ΄ ἑνδεκάσημον. Τὸ ς΄ δίμετρον ἐπιχοριαμβικὸν ἀκατάληκτον. Τὸ ζ΄ δίμετρον Ἰωνικὸν ἀπ᾽ ἐλάσσονος ἀκατάληκτον. Τὸ η΄ δακτυλικὸν πενθημιμερές. Τὸ θ΄ τρίμετρον δακτυλικὸν ἀκατάληκτον. Τὸ ι΄ δακτυλικὸν πενθημιμερές. Τὸ ια΄ τὸ αὐτὸ τῷ γ΄ καὶ ε΄. Τὸ ιβ΄ δακτυλικὸν πενθημιμερές. Τὸ ιγ΄ τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον. Τὸ ιδ΄ τὸ αὐτὸ τῷ ιγ΄. Τὸ ιε΄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον.

Περὶ τῶν κώλων τῆς ἐπῳδοῦ τοῦ αὐτοῦ εἴδους. Ἡ δὲ ἐπῳδὸς κώλων ἐστὶ ιδ΄. Τὸ α΄ Πινδαρικόν. ἔστι δὲ ἐγκωμιολογικόν. Τὸ β΄ δακτυλικὸν τρίμετρον καταληκτικόν. Τὸ γ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ΄ πενθημιμερὲς δακτυλικόν. Τὸ ε΄ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ς΄ Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ ζ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η΄ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ θ΄ Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀνακλώμενον. Τὸ ι΄ Πινδαρικὸν, παρὰ τὸ πρῶτον Σαπφικόν· καὶ ἰαμβέλεγος. Τὸ ια΄ ἰαμβέλεγος μετατεθεικὼς τὴν τελευταίαν ἐπὶ τὴν πρώτην συλλαβήν. Τὸ ιβ΄ τροχαϊκὸν

κὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον. Τὸ ιγ΄ δακτυλικὸν πενθημιμερές. Τὸ ιδ΄ ὅμοιον τῷ πρώτῳ.

Περὶ τῆς ἐπιγραφῆς. Γράφει τῷ προειρημένῳ τὴν ᾠδὴν νικήσαντι τὴν εἰκοστὴν ὀγδόην Πυθιάδα. ἐνίκησε μέντοι καὶ σάδιον τῇ λ΄ Πυθιάδι. ἀφαίνεται δὲ ὁ Πίνδαρος ταύτης τῆς νίκης μνημονεύων, ἴσως, ὅτι προφθάσας τῆς εἰκοστῆς ὀγδόης ἔγραψεν. Ἄλλως. γράφεται Τελεσικράτει Κυρηναίῳ, νικήσαντι τὴν κή Πυθιάδα, ὁπλίτῃ, τῇ δὲ λ΄ σάδιον· παρὸ δὴ ἀ μνημονεύει τῆς ἐν τῷ σαδίῳ νίκης. τέτε δὲ ἀνάκειται ἐν Δελφοῖς ἀνδριὰς, ἔχων κράνος. ἐκ προγόνων δέ ἐστι δρομεύς. Ἀλεξίδαμον γάρ φησιν αὐτῆ εἶναι πρόγονον Λίβυν, ἐλθόντα ἐπὶ τὴν Ἀνταίε θυγατέρα καὶ ἀγωνισάμενον. πολλοὶ δὲ ταύτης μνηστῆρες.

ARGVMENTVM NONI CARMINIS.

Teleſicratem, Pythicum victorem, eximium Cyrenes ciuem canam, quam (Nympham Cyrenen) Apollo e Theſſalia raptam in Africam traduxit, et frugiferae terrae dominam conſtituit (1 — 15). Venus Apollinem excepit et in torum filiae Hypſei (Cyrenes) deduxit (— 23), qui Hypſeus Lapitharum rex fuit, Oceani nepos, e Creuſa et Peneo in Pindo natus (— 31). Ipſius filia Cyrene fuit, quae nec texendi opus nec epulas amauit, ſed venationem ferarum, a quibus paterna armenta defendit, ita vt parco indulgeret ſomno (— 44). Aliquando Apollo eam ſolam et ſine armis cum leone pugnantem deprehendit. Euocauit igitur Chironem ex antro, et admirare, inquit, animum mulieris! quam intrepida eſt! cuius nam eſt filia? vnde orta? Num amplecti eam, et toro eius frui licet (— 64)? Ridens Centaurus reſpondit: clandeſtina perſuaſione aditus eſt ad amoris fructum; inter deos et homines pudet aperte eum capere (— 74). Tibi, mendacii experti, placuit ſimulate loqui; genus puellae quaeris? tu, qui omnia noſti, quae vbiuis ſunt, quaeque futura ſunt (— 87). Si vero coram te vaticinari licet, dicam: Coniux ei veniſti, et puellam vltra mare deduces in Iouis hortum (Libyam), vbi ipſam conſtitues vrbium ducem, et inſulanos eo in loco colliges. Iam nunc Libya

excipiet ſponſam, et terrae partem largietur, nec plantarum, nec ferarum expertem (— 103). Ibi pariet tibi filium, quem Mercurius ad Horas et Tellurem deportabit, quae infantem nectare et ambroſia alent, ſicque deum facient, ita vt Iupiter, Apollo, Agreus et Nomius Ariſtaeus appelletur (— 117). His dictis fecit, vt deus coniugium mox iniret. Celeriter dii cuncta peragunt. Ea die omnia facta ſunt. In Africa cum ea rem habuit, vbi pulcherrimae vrbi praeeſt (— 125). Iam Carneadae filius (Teleſicrates) Pythica eam victoria ornauit, quae redeuntem cum corona benigne excipiet (— 132). Res magnae multa oratione egent; gratum tamen eſt, ſi quis in magna copia pauca dicit. Nam temporis opportunitas eſt reſpicienda; qua etiam Iolaus vſus eſt Thebis, vbi, Euryſtheo caeſo, iuxta Amphitryonis monumentum ſepultus iacet, qui hoſpes ad Thebanos venerat. Hic Alcmena, ex ipſo (Amphitryone) et Ioue grauida duo fortes peperit filios (Herculem et Iphiclem) (— 150). Mutus eſt, qui Herculem non canit, nec celebrat Thebas, quae ipſum et Iphiclem nutriuerunt. Equidem in omni re laeta eos celebrabo, modo Gratiae mihi non deſint (— 160). Te vero, (Teleſicrates) Aeginetica et Megarica victoria ter Cyrenen ornaſſe aio. Quiuis communem laudet virtutem, memor praecepti Nerei, qui inimicum etiam, praeclara facientem, laudari iuſſit. Te in Palladis ludis, Olympiis et feſtis Telluris (Cyrenae) viciſſe noui (— 179). Sed poſcitur, vt maiorum eius factum antiquum memorem, qui ob Antaei filiam pulcherrimam et multis expetitam (Alceidem) venerunt Iraſam

sam (— 193). Sed quemadmodum Argis Danaus 48. filias ad stadii metam constituit, et cursu decerni iussit, quam quaeque haberet procum: ita Antaeus filiam in stadii calce collocatam ei promisit, qui primus attigerit (— 213). Alexidamus eam accepit, et domum deduxit. Sed antea iam consecutus erat victorias (— 220).

ΕΙΔΟΣ Ϛ'.

ΤΕΛΕΣΙΚΡΑΤΕΙ ΚΥΡΗΝΑΙΩι.

ΟΠΛΙΤΟΔΡΟΜΩι.

Σ. α'. Κ. ιε'.

Ἐθέλω χαλκάσπιδα Πυθιονίκαν
Σὺν βαθυζώνοισιν ἀγγελῶν Τελεσι-
κράτη Χαρίτεσσι γεγωνεῖν,
Ὄλβιον ἄνδρα, διω-
ξίππᾳ στεφάνωμα Κυράνας·
Τὰν ὁ χαιτάεις ἀνεμο-
σφαράγων ἐκ Παλίᾳ κόλ-
πων ποτὲ Λατοΐδας
Ἅρπασ', ἔνεγκέ τε χρυσέῳ
Παρθένον ἀγροτέραν

Δίφρῳ,

1. Ἐθέλω χαλκάσπιδα Πυθιονίκαν] χαλκάσπιδά φησιν, ὅτι σὺν ἀσπίσι χαλκαῖς τὸν ὁπλίτην ἔτρεχον δρόμον. τὸ ἑξῆς δέ· σὺν βαθυζώνοις Χάρισιν. ὁ νῦς· βούλομαι τὸν Πυθιονίκην Τελεσικράτην ἐγκωμιάζων σὺν ταῖς βαθυζώνοις Χάρισιν ἀνυμνεῖν, εὐδαιμονέστατον ἄνδρα, στέφανον καὶ δόξαν ὄντα τῆς ἱππικῆς Κυρήνης.

6. Τὰν ὁ χαιτάεις] εἰς τὴν ἡρωΐδα, ἀφ' ἧς τοὔνομα ἔλαβεν ἡ πόλις Κυρήνη, μετάγει τὸν λόγον. ἀπὸ δὲ Ἡσίας Ἡσιόδου τὴν ἱστορίαν ἔλαβεν ὁ Πίνδαρος, ἧς ἡ ἀρχή (Fragm. p. 445. Lipf.)·

Ἡσίη Φθίη Χαρίτων ἀπὸ κάλλος ἔχουσα,
Πηνειῷ παρ' ὕδωρ καλὴ ναίεσκε Κυρήνη.

ὁ δὲ νῦς· ἥντινα τὴν Κυρήνην ὁ καμήτης Ἀπόλλων ἐκ τῶν ὑψηλῶν τοῦ Πηλίου κόλπων ἥρπασε καὶ ἤνεγκεν χρυσῷ δίφρῳ τὴν θηρευτικὴν καὶ ἀγρευτικὴν παρθένον.

11. Τόν

Δίφρω, τόθι νιν πολυμήλω
Καὶ πολυκαρποτάτας
Θῆκε δέσποιναν χθονός,
Ῥίζαν ἀπείρου τρίταν
Εὐήρατον θάλλοισαν οἰκεῖν.

Α. ά. Κ. ιέ.

Ὑπέδεκτο δὲ ἀργυρόπεζ' Ἀφροδίτα
Δάλιον ξεῖνον θεοδμάτων ὀχέων
Ἐφαπτομένα χερὶ κύφα·
Καὶ σφιν ἐπὶ γλυκεραῖς
Εὐναῖς ἐράταν βάλεν αἰδῶ,
Ξυνὸν ἁρμόζοισα θεῷ
Τε γάμον μιχθέντι κύρᾳ θ'

11. Τόθι νιν πολυμήλω] ἔνθα αὐτὴν τῆς πολυπροβάτου καὶ εὐκάρπου γῆς ἔθηκε δέσποιναν, καὶ οἰκεῖν θάλλουσαν καὶ γαυριῶσαν, τὴν ἐπέρασον τρίτην μοῖραν τῆς ἠπείρου γῆς, τυτέστι τὴν Λιβύην. τρίτην δὲ εἶπε ῥίζαν γῆς τὴν Λιβύην, διὰ τὸ μερίζειν τινὰς ὅλην τὴν οἰκουμένην εἰς Ἀσίαν, καὶ Εὐρώπην, καὶ Λιβύην. εἰς ἔπαινον δὲ καὶ τοῦτο εἴληφε· τυτέστι, ὅτι ἡ Λιβύη τρίτον ἐστὶ τῆς οἰκουμένης καθ' αὑτήν, καὶ ὲ τῇ Ἀσίᾳ συντατομένη.

16. Ὑπέδεκτο δ' ἀργυρόπεζ' Ἀφροδίτη] ζητεῖται, διατί καὶ ἐνταῦθα ἡ Ἀφροδίτη εὑρίσκεται συμπρεπέμπουσα τὸν Ἀπόλλωνα, καὶ ἐφαπτομένη τῷ δίφρῳ; καὶ ἤτοι, ὅτι μετέρχεται τὰ γαμήλια ἡ θεὸς ἔργα. Ὅμηρος (Il. V, 429.)·

Ἀλλὰ σύ γ' ἰμερόεντα μετέρχεο ἔργα γάμοιο.

ἢ, ὡς αὐτός φησι (v. 91.), κῆπος Ἀφροδίτης ἡ Λιβύη. καὶ ἴσως διὰ τὸ ἐπέρασον τῶν χωρίων· οὐκ ἔχομεν γὰρ ἐξ ἱστορίας δεῖξαι, ὅτι ἱερὰ ἦν ἡ Λιβύη τῇ θεῷ. ὁ δὲ νεὼς· ὑπεδέξατο δὲ ἡ λευκώπηχυς Ἀφροδίτη τὸν Δάλιον ξένον, τυτέστι τὸν Ἀπόλλωνα, καθὼς καὶ ἡρεμαίως τῶν θείων ὀχημάτων τῇ χειρὶ αὐτῆς ἁπτομένη. ξένον δὲ ἔφη τὴν Κυρήνην τὸν Ἀπόλλωνα, διὰ τὸ νῦν πρῶτον ἐπιδημῆσαι. διὰ τιμῆς δὲ ἄγουσι τὸν θεόν.

19. Καὶ σφιν ἐπὶ γλυκεραῖς εὐναῖς] καὶ ὑπὸ αὐτῶν ταῖς γλυκεραῖς κοίταις ἐπέρασον ἔβαλεν αἰδῶ, κοινὸν ἁρμόζουσα τὸν μιχθέντα γάμον τῷ θεῷ, καὶ τῇ τῦ Ὑψέως κόρῃ, Κυρήνῃ.

24. Ὃς

Ὑψέος εὐρυβίας·
Ὃς Λαπιθᾶν ὑπερόπλων
Τετάκις ἦν βασιλεὺς,
Ἐξ Ὠκεανῦ γένος ἥρως
Δεύτερος· ὃν ποτε Πίν-
δῳ κλεεννα῀ις ἐν πτυχα῀ις
Ναὶς εὐφρανθεῖσα Πη-
νειῷ λέχει Κρείοισ' ἔτικτεν,

Ε. α'. Κ. ιδ'.

Γαίας θυγάτηρ. ὁ δὲ τὰν εὐώλενον
Θρέψατο παῖδα Κυράναν·
Ἃ μὲν ἄθ' ἱσῶν παλιμβά-
μως ἐφίλασεν ὁδὸς,

Οὔτε

24. Ὃς Λαπιθᾶν ὑπερόπλων] ὅτις ὁ Ὑψεὺς τῶν ἀνδρειοτατων Λαπιθῶν βασιλεὺς ἐτύγχανεν ἐξ Ὠκεανῦ δεύτερος κατάγων τὸ γένος. ἐξ Ὠκεανῦ γαρ Πηνειὸς ὁ ποταμὸς, ἀφ' ὃ ἐγένετο ὁ Ὑψεύς.

26. Ὃν ποτε Πίνδῳ κλεεννα῀ις ἐν πτυχα῀ις] τῷ Θετταλικῷ ὄρει. Πίνδος γὰρ ὄρος Περραιβίας, ἡ δὲ Περραιβία τετράπολις τῆς Θεσσαλίας. τὸ δὲ, Ναὶς εὐφρανθεῖσα, ἀντὶ τοῦ, πανυχίσασα διὰ την εὐφροσύνην. Ναΐδος δὲ καὶ Πηνειοῦ τὸν Ὑψέα φερεκύδης. Ακεσανδρος δὲ Φιλλύρας τῆς Ὠσωποῦ καὶ Πηνειοῦ ἱστορεῖ τὸν Ὑψέα. ὁ δὲ να῀ις· ὄντινα τὸν Ὑψέα ποτὲ ἐν ταῖς ἐξοχαῖς τῆς Πίνδου ἡ Ναὶς εὐφρανθεῖσα τῷ τοῦ Πηνειοῦ μίξει ἐγεννησε Κρέουσα, Γῆς ὅσα θυγάτης.

31. Ὁ δὲ τὰν εὐώλενον θρέψατο] ὁ δὲ Ὑψεὺς τὴν λευκοπηχυν Κυρήνην ἀνεθρεψεν. ἔσχε δὲ ταύτην ἐκ Χλιδανώπης. ὑ μόνον δὲ Κυρήνην ἔσχεν, ἀλλὰ καὶ Ἀλκαίαν.

33. Ἃ μὲν, ἄθ' ἱσῶν παλιμβάμως] ἀντὶ τοῦ, παλιμπορεύτης. αἱ γαρ ὁρθαὶ ὑφαίνουσαι προποροεύονται, καὶ πάλιν τὸν αὐτὸν πορευόνται τόπον, καὶ ὑποτρέφουσιν. ὡς καὶ Ὅμηρος (Il. l, 31.)·

Ἴσὸν ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιόωσαν.

Οἰκήιων δὲ, ἤτοι οἰκοδεσποινῶν, οἵονει τῶν ἤδη γεγαμημένων καὶ ἀρχουσῶν οἰκιῶν. ὁ δὲ να῀ις· αὕτη μὲν ὖν ἡ Κυρήνη ὥστε τὰς παλιμπορεύτης ἐφίλησε τῶν ἴσῶν ὁδῶν, ὥστε τῶν δείπνων τὰς τέρψεις, ἢ τῶν ἑταιρῶν, τῶν τοῦ οἴκου δεσποζεσῶν,

Οὔτε δειπνων οἰκοριᾶν
Μεθ' ἑταιρᾶν τέρψιας·
Ἀλλ' ἀκόντεσσίν τε χαλκέοις
Φασγάνῳ τε μαρναμένα
Κεραΐζειν ἀγρίας
Θήρας· ἥ πολλάν τε καὶ ἀσύχιον
Βυσὶν εἰράναν παρέχοισα πατρῴαις·
Τὸν δὲ σύγκοιτον γλυκὺν
Παῦρον ἐπὶ βλεφάροις
Ὕπνον ἀναλίσκοισα ῥέποντα πρὸς ἀῶ. —

Σ. β'. Κ. ιε'.

Κίχε νίν γε λεόντί ποτ' εὐρυΦαρέτρας
Ὀμβρίμῳ μάχαν παλαίοισαν ἄτερ ἐγ-
χέων ἑκάεργος Ἀπόλλων.

ζωσῶν, ἀπὸ κοινοῦ τὸ, ὑφ' εἵλετο τὰς τέρψεις.

37. Ἀλλ' ἀκόντεσσί τε χαλκέοις] ἀλλὰ χαλκοῖς δόρασι καὶ ξίφει μαχομένη ἐκόρθει καὶ ἀνήρει τὰς ἀγρίας θήρας, πολλὴν ἡσυχίαν καὶ εἰρήνην ταῖς πατρῴαις παρέχουσα βυσίν. ἀναιρημένων γὰρ τῶν ἀγρίων θηρῶν, εὐμαρῶς καὶ ἀδεῶς τὰ ἥμερα τῶν ζώων νέμεται.

42. Τὸν δὲ σύγκοιτον γλυκὺν] καὶ τὸν ἑωθινὸν δ' ὀλίγον ἐπερχόμενον τοῖς βλεφάροις ἡδὺν ὕπνον ἀφανίζουσα καὶ ἀναλίσκουσα. τὸ γὰρ, ῥέποντα, ἀντὶ τοῦ ἐπερχόμενον φησιν. ἔξωθεν δὲ προσυπακουστέον τὸ, ἐθήρα. ὁ δὲ λόγος· ὕτως ἐμμανῶς εἶχε περὶ τὴν θήραν, ὡς καὶ πρὸ ἡμέρας θηρᾶν, καὶ μὴ κοιμᾶσθαι τὸν ἑωθινὸν ὕπνον. Ἄλλως. τοῦτό φησιν, ὡς τὰς νύκτας ὅλας περὶ τὰ κυνηγέσια γινομένης αὐτῆς, πρὸς ὄρθρον δὲ κοιταζομένης. ὕτος γάρ ἐστιν ὁ πρὸς τὴν ἕω ῥέπων ὕπνος. οἱ δὲ ἄτοπον εἶναι λέγουσι, δι' ὅλης νυκτὸς καὶ μέχρι τῆ ἑωθινῆ θηρᾶν αὐτήν. ἐ γὰρ οἷόν τε νυκτὸς, σκότους ὄντος, θηρᾶν, ἀλλ' εἰ ἄρα περὶ τὸν ὄρθρον.

45. Κίχε νίν λεόντί ποτ'] κατέλαβε δὲ ἐν τῷ Πυλίῳ ποτὲ τὴν Κυρήνην ὁ Ἀπόλλων τῷ ἰσχυρῷ ἄνευ δόρατος μόνην διαμαχομένην λέοντι. καὶ Καλλίμαχος (H. in Apoll. 92 f.)·

ἔνθα λέοντα
Ὑψηὶς κατέπεφνε βοῶν σίνιν
Εὐρυπύλοιο,

Αὐτίκα δ' ἐκ μεγάρων
Χείρωνα προσήνεπε φωνᾶ·
„Σεμνὸν ἄντρον, Φιλλυρίδα,
Προλιπὼν, θυμὸν γυναικὸς
Καὶ μεγάλαν δύνασιν
Θαύμασον, οἷον ἀταρβεῖ
Νεῖκος ἄγει κεφαλᾷ,
Μόχθῳ καθύπερθε νεᾶνις
Ἧτορ ἔχουσα. φόβῳ
Δ' ἀ κεχειμανται φρένες.
Τις νιν ἀνθρώπων τέκεν;
Ποίας δ' ἀποσπασθεῖσα φύτλας

Α. β'. Κ. ιε'.

Ὀρέων κευθμῶναις ἔχει σκιοέντων,
Γεύεται δ' ἀλκᾶς ἀπειράντω; ὁσίας

Κλυτὰν

50. Σεμνὸν ἄντρον, Φιλλυρίδα προλιπὼν] τὸ σεμνὸν σπήλαιον, ᾧ Κένταυρε, καταλιπὼν ἐλθὲ καὶ θαύμασον τὴν ψυχὴν τῆς γυναικὸς, ὁποίαν νίκην ἐπάγει τῇ ἑαυτῆς κεφαλῇ ἡ νεᾶνις, τὴν κομάτην ὑπερτέρων ἔχουσα τὴν ἑαυτῆς ψυχὴν, οἵουνεὶ ἡ κόμινσα πρὸς τὸ κατακαλλίσαι τὸν λέοντα· ἀλλ' ἐδὲ φόβῳ ἐχειμάσθησαν αὐτῆς αἱ φρένες. Ἄλλως. αὕτη ἀταρβὴς ἦσα, τὴν ψυχὴν ὑπερθεν ἔχουσα τὴ μόχθῳ, τετέχειν ὑ νικωμένη τῷ μόχθῳ, οἵαν φιλοτιμίαν ἐπάγει τῇ ἑαυτῆς κεφαλῇ.

58. Τίς νιν ἀνθρώπων τέκεν] τίς δὴ ἀνθρώπων αὐτὴν ἐγέννησεν; ἀπὸ ποίας δὲ φύσεως καὶ γέννης ἀποσπασθεῖσα καὶ γεννηθεῖσα, τῶν συμφυτῶν ἐρῶν τὰς κευθμῶνας ἔχει, ἀντὶ τῶ ὄρεσι. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν κλάδων, τῶν ἀποσπωμένων ἀπὸ τῶν φυτῶν.

61. Γεύεται δ' ἀλκᾶς ἀπειράντω] γεύεται δὲ καὶ ἐφάπτεται ἀπείρου καὶ πολλῆς ἀνδρείας, οἷον, ἰσχυρᾶ ἔσιν. Ὅμηρος (Il. XX, 258.)·

Γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν,

ἀντὶ τῶ πολεμήσομεν. ἀπείρω δὲ φησιν, ἀντὶ τῶ, πέρας οὐκ ἐχούσης διὰ τὸ μέγεθος. τὸ δὲ ἑξῆς· ἆρα ὅσιόν ἐστι, τὴν χεῖρα προσενεγκεῖν, καὶ δρέψαι τὴν παρθενίαν αὐτῆς; ὁ γὰρ λόγος ἐρωτηματικὸς, παρ' Ἀπολλωνιος ἐν ἤθει λεγόμενος. ἆρα ὅσιόν ἐστι τὴν ἐνδοξον χεῖρα αὐτῆ ἐπενεγκεῖν, καὶ

Κλυτὰν χέρα οἱ προσενεγκεῖν;
Ἦ ῥα καὶ ἐκ λεχέων
Κεῖρεν μελιηδέα ποίαν;“
Τὸν δὲ Κένταυρος ζαμενὴς,
Ἀγανᾷ χλιαρὸν γελάσσαις
Ὀφρύϊ, μῆτιν ἐὴν
Εὐθὺς ἀμείβετο· „κρυπτὰ
Κλαῖδες ἐντὶ σοφᾶς
Πειθῶς ἱερᾶν Φιλοτάτων,
Φοῖβε· καὶ ἔν τε θεοῖς

καὶ ἐκ τῶν κοιτῶν ἡδεῖαν βοτάνην ἀποκείρομι; ἤτοι, διαπαρθενεῦσαι αὐτὴν καὶ ἐξ αὐτῆς γεννῆσαι παῖδα; τῶτο γάρ ἐστι τὸ, κείρω μελιηδέα ποίην. ἢ μεταφορικῶς εἴρηκε τὴν ἀκμὴν, ἢ τὴν παρθενίαν, μελιηδέα ποίην.

65. Τὸν δὲ Κένταυρος ζαμενὴς] ζαμενὴς νῦν ὁ σφοδρὸς, ἢ ὁ ἰσχυρός. τὸν δὲ Ἀπόλλωνα εὐθὺς ὁ σεμνὸς Κένταυρος τῇ ἀγανῇ ἑαυτῦ ὀφρύϊ προσηνὲς καὶ ἡδὺ γελάσας ἀνταπεκρίνατο. Ἄλλως. χλιαρόν φησι τὸ πολὺ καὶ μεχαλασμένον. χλιδὸν γὰρ λέγουσι τὸ πλῆθος. ἢ προσηνὲς καὶ ἡδὺ, παρὰ τὸ χλιαρόν. τὰ μὲν γὰρ ἀπηνῆ τοῖς ψυχροῖς παραβάλλουσι, τὰ δὲ προσηνῆ καὶ τερπνὰ τοῖς θερμοῖς, διὰ τὴν γενομένην διάχυσιν. ὥτως μὴ ἐπιπολὺ γελάσας· ἁ γὰρ ὡς οἱ σκυθρωπάζοντες συνηγμένας εἶχε τὰς ὀφρῦς. τὸ δὲ, μῆτιν ἐὴν, ἀντὶ τῦ, κατὰ τὴν ἑαυτῦ διάνοιαν, οἱονεὶ ἐπιμειδιάσας, ἵνα μὴ δῶμεν αὐτὸν πολὺ καὶ ἄκαιρον γελάσαντα.

68. Κρυπτοὶ κλαῖδες ἐντὶ σοφᾶς πειθῶς] ἕκαστός, φησι, κρύπτει τὰς λόγως, ὡς περὶ συνουσίας ἔοικε παρεγχειρεῖν ὁ Χείρων τὸν Ἀπόλλωνα, ἐπεὶ προεῖπεν ἐκεῖνος· ὕσια κλυτὰν οἱ χεῖρα προσενεγκεῖν; ἢ ὥτως ἀποδοτέον· σὺ, Ἀπόλλων, ἐρωτᾷς με, εἰ ὅσια κλυτὰν χεῖρά οἱ προσενεγκεῖν, ὁ πᾶν τὸ ἐσόμενον εἰδώς. μάντις γὰρ εἶ. ἀλλ' ἐπεὶ αἰσχυνόμεθα περὶ τύτων λέγειν, καὶ κρυπτῶς ταῦτα ἐνεργεῖτω, καὶ σὺ αἰδούμενός με ἐρωτᾷς. ἐπίστασαι γὰρ μάντις ὤν. Ἄλλως. τῇς περὶ τὰς γυναῖκάς, φησι, πειθῦς, ὦ Ἄπολλον, κρυπτοί εἰσι τῶν ἱερῶν συνουσιῶν αἱ κλεῖς. ἐν θεοῖς γὰρ καὶ ἀνθρώποις ὁμοίως ἐστὶ τῦτο. ἀπερυθριῶν γὰρ ἡμῶν ἕκαστος αἰσχύνεται ἐκ τῦ φανεροῦ περὶ ἀφροδισίων διαλέγεσθαι. ἢ ὥτως· αἰσχύνονται γὰρ οἵ τε ἄνδρες καὶ οἱ θεοὶ τοιρῶτον ἐκ τῦ φανεροῦ τῆς ἡδείας κοίτης τυχεῖν. ἢ ὥτως· αἰδῦνται, ὦ Ἄπολλον, οἵ τε ἄνδρες καὶ οἱ θεοὶ φανερῶς τὸν ἔρωτα λέγειν.

75. Καὶ

Τᾶτο κἀνθρώποις ὁμῶς
Λιδέοντ', ἀμφανδὸν ἀ-
δείας τυχεῖν τοπρῶτον εὐνᾶς.

Ε. β'. Κ. ιδ'.

Καὶ γάρ σε, τὸν ἀ Θεμιτὸν ψεύδει θιγεῖν,
Ἔτραπε μείλιχος ὀργὰ
Παρφάμεν τᾶτον λόγον. κύ-
ρας δ' ὁπόθεν γενεὰν
Ἐξερωτᾷς, ὦ ἄνα; κύ-
ριον ὃς πάντων τέλος
Οἶσθα καὶ πάσας κελεύθως·
Ὅσσα τε χθὼν ἠρινὰ φύλ-
λ' ἀναπέμπει, χὡπόσαι
Ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψᾶμαθοι
Κύμασιν ῥιπαῖς τ' ἀνέμων κλονέονται,
Χὤ, τι μέλλει, χὥτε πό-
τ' ἔσσεται, εὖ καθορᾷς.
Εἰ δέ γε χρὴ καὶ πὰρ σοφὸν ἀγτιφερίξαι,

Σ. γ'.

75. Καὶ γάρ σε, τὸν ἀ Θεμιτὸν] καὶ γάρ σε, ὃν ἀ Θεμιτόν, φησιν, οὐδὲ δυνατὸν ψεύσασθαι, παρέτρεψεν ὁ προσηνής σε τρόπος, ἐρωτᾶν με περὶ τῆ Κυρήνης γένους καὶ τῆς μίξεως, καίπερ εἰδότα ἀκριβῶς πάντα. ἢ ὅτως· ἢ αἰδὼς ἐποίησέ σε, τὸν μάντιν, πυνθάνεσθαι, ἂν ἀδεμίᾳ διαφεύγει ἀλήθεια, πάντα δὲ τὰ μέλλοντα προγινώσκεις.

77. Κύρας δ' ὁπόθεν γενεὰν] ὁ λόγος ἠθικός· ἐμὲ ἐρωτᾷς, ὦ δέσποτα Ἄπολλον, πόθεν τῆς κόρης ἡ γένεσα, καὶ τίνες οἱ γονεῖς; ὅσις πάντων τῶν ὑπὸ τὸν βίον οἶδας τὸ τέλος, καὶ πάσας τὰς ὁδούς, καὶ ὅσα ἐν τῷ ἔαρι φύλλα ἀναφύει.

86. Χὤτι μέλλει, ἔσσεται (sic)] καὶ πόθεν τὴν ἀρχὴν μέλλει λαμβάνειν, καλῶς καὶ ἀπταίστως καθορᾷς. ἀπὸ κοινῦ, ὃς ταχὺ πάντα οἶδας καὶ δύνασαι, ἐμὲ περὶ τῶν τῆς κόρης γονέων ἐρωτᾷς;

88. Εἰ δὲ χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι] εἰ δὲ χρὴ καὶ σοφῷ σοι ὄντι ἐξισωθῆναι, ἐρῶ, ἢ ὅτως· εἰ δὲ χρὴ ἐξισωθῆναί σοι, καὶ μαντεύεσθαι, ὡς σὺ μαντεύῃ, ἐρῶ.

89. Ἱκε

Σ. γ'. Κ. ιε'.

Ἐρέω. ταύτα πόσις ἵκεο βᾶσσαν
Τάνδε, καμ μέλλεις ὑπὲρ ποντα Διὸς ἔξ-
οχον ποτὶ κᾶπον ἐνεῖκαμ.
Ἔνθα νιν ἀρχεπολιν
Θήσεις, ἐπὶ λαὸν ἀγείρας
Νασιώταν ὄχθον ἐς ἀμ-
φίπεδον. νῦν δ' εὐρυλείμων
Πότνιά σοι Λιβύα
Δέξεται εὐκλέα νύμφαν
Δώμασιν ἐν χρυσέοις
Πρόφρων· ἵνα οἱ χθονὸς αἶσαν

Αὐτίκα

89. Ἵκεο βᾶσσαν τάνδε] παραγενοῦ ταύτῃ πόσις, ταύτην τὴν βῆσσαν, καὶ τὸ σπήλαιον, ἔξωθεν δὲ τὸ, καταλιτῶν. μέλλεις γὰρ αὐτὴν διὰ τῦ πόντυ εἰς τὸν τῦ Διος ἔξοχον κῆπον ἐνεγκεῖν. λέγει δὲ τὴ Λιβύην Διὸς κῆπον, διὰ τὸ πλησιάζειν τῇ Αἰγύπτῳ, ἣν Διὸς τέμενος οἱ ποιηταί φασιν. ἢ διὰ τὸ τὸν Ἄμμωνα Δία νομίζεσθαι. Ἄμμων Ὀλύμπυ δέσποτά, φησι (Fragm p. 33.) καὶ πάλιν (Pyth. IV, 28.)· Διὸς ἐν Ἄμμωνος Σεμέθλοις. Ἄμμωνος δὲ ἡ Λιβύη. Ἄλλως. πῶς Διὸς κῆπος ἡ Λιβύη; ὅτι δοκεῖ ὡς Ζεὺς ἐν Λιβύῃ Ἄμμων τιμᾶσθαι. ὡς φῆσος ὁ τὰ Μακεδονικὰ συγγράψας·

Ζεῦ Λιβύης Ἄμμων κερατη-
φόρε, κέκλυθι, μάντι.

92. Ἔνθα νιν ἀρχέπτολιν (sic)] ἡ γὰρ πόλις ἀπ' αὐτῆς Κυρήνη κληθήσεται. ἔνθα αὐτὴν, φησιν, ἐπὶ τὸ ὑψηλὸν μέρος τῆς Λιβύης δέσποιναν ἀποδείξεις, τὸν ἐκ Θήρας ὄχλον ἀναστήσας καὶ συναθροίσας. Ἀμφίπεδον δὲ ὄχθον εἶπε τὴν Κυρήνην, διὰ τὸ αὐτὴν μὲν ἐπ' ὄχθῳ ἱδρυσθαι, περὶ αὐτὴν δὲ πεδιάδα εἶναι, ἀμφίπεδαν δὲ λέγεται, τὸ ἑκατέρωθεν πεδία ἔχον.

95. Νῦν δ' εὐρυλείμων] ἐπὶ δὲ τῦ παρόντος αὐτὴν ἡ πλατεῖς ἔχυσα λειμῶνας Λιβύη ὑποδέξεται τὴν εὔδοξον νύμφην, ἐν τοῖς τιμίοις αὐτῆς οἴκοις μετὰ πρυθυμίας, ἔνθα αὐτῇ τὴν μερίδα τῆς γῆς εὐθέως κατασκευάζειν καὶ οἰκονομεῖν εὐκόλως καὶ δικαίως παράσχοι, ὅτε πολυκάρπων φυτῶν ἄμοιρον, ὅτε ἀνεπίγνωστον θηρίων, τυτέστι, κολύθηρον.

99. Ἵνα οἱ χθονὸς αἶσαν] ὅτε τῆς ἰδίας γῆς μέρος δωρήσεται ἡ Λιβύη τῇ Κυρήνῃ, ὅτε φυτῶν ἀπεστερημένην, ὅτε ἔξω κυνηγεσίων.

100. Συμ-

Αὐτίκα συντελέθειν
Ἔννομον δωρήσεται,
Οὔτε παγκάρπων Φυτῶν
Νήποινον, ἔτ' ἀγνῶτα θηρῶν.

Α. γ'. Κ. ιε'.

Τόθι παῖδά γε τέξεται, ὃν κλυτὸς Ἑρμᾶς
Εὐθρόνοις Ὥραισι καὶ Γαίᾳ, ἀνελῶν
Φίλας ὑπὸ ματέρος, οἴσει.
Ταὶ δ', ἐπιγνύδιον
Καθηκάμεναι βρέφος αὐταῖς,
Νέκταρ ἐν χείλεσσι καὶ ἀμ-
βροσίαν σάξοισι, θήσον-
ταί τέ νιν ἀθάνατον
Ζῆνα καὶ ἀγνὸν Ἀπόλλω-
ν', ἀνδράσι χάρμα φίλοις,

Ἄγχι-

100. Συντελέθειν] ὥστε συντελεῖν ἐνόμως αὐτῇ, ὥσε συνάπτεσθαι καὶ συμβάλλεσθαι πρὸς τὴν κατασκευήν· ἢ συντελοῦσαν αὐτῇ ἐν ταῖς νομαῖς καὶ νομήσεσιν, συναύξουσαν αὐτῇ καὶ τὰς φυτείας καὶ τὰ κυνηγέσια. ἔνθηρος γὰρ ἡ Λιβύη.

102. Φυτῶν νήποινον] κυρίως μὲν, τὸν ἀνεκδίκητον, νῦν δὲ τὸν ἄμοιρον καὶ ἄπειρον.

104. Τόθι παῖδα τέξεται] ἀντὶ τοῦ, ἐν τῇ Κυρήνῃ, ἡ Κυρήνη τέξεται παῖδα. λέγει δὲ τὸν Ἀρισταῖον, ὅντινα· ὁ ἔνδοξος Ἑρμῆς ἀνελὼν καὶ λαβὼν παρὰ τῆς μητρὸς οἴσει καὶ δώσει τρέφειν Ὥραις, καὶ Γῇ δώσει ὡς προμάμμῃ τὸ παιδός. ἡ γὰρ Κρέουσα ἡ Νηὶς, Γῆς παῖς οὖσα, ἔτεκε τὸν Ὑψέα τὸν πατέρα τῆς Κυρήνης.

105. Ὥραισι καὶ Γαίᾳ] καλῶς τῇ Γῇ δίδωσιν, ἐπεὶ καὶ ἐκ Γῆς δίδωσι καταφέρειν τὸ γένος. Γῆς γὰρ Κρέουσα, ἧς Ὑψεὺς, ὃ Κυρήνη, ἧς Ἀρισταῖος.

107. Ταὶ δ' ἐπιγνύδιον] αἱ δὲ Ὥρα καὶ ἡ Γῆ ἐπὶ τοῖς ἑαυτῶν γόνασι θεῖσαι τὸν Ἀρισταῖον καὶ θαυμάσασαι τὸ βρέφος ἐνσάξουσι τοῖς χείλεσι νέκταρ καὶ ἀμβροσίαν, καὶ ποιήσουσιν αὐτὸν ἀθάνατον ὥσπερ Ζῆνα καὶ Ἀπόλλωνα, ἵνα τὸ, ὥσπερ, ἐξωθεν ὑπακούσωμεν.

113. Ἀνδράσι χάρμα φίλοις] θρέψουσι δὲ αὐτὸν τοῖς ἀνθρώποις χαρὰν καὶ ὄφελος, ἀκόλουθον ὄντα τῶν

Ἄγχισον ὀπάονα μήλων,
Ἀγρέα καὶ Νόμιον
Τοῖσδ' Ἀρισταῖον καλεῖν."
Ὡς ἄρ' εἰπὼν ἔντυεν
Τερπναὶ γάμε κραίνειν τελευτάν. —

Ε. γ. Κ. ιδ'.

Ὠκεῖα δ' ἐπειγομένων ἤδη Θεῶν
Πραξις, ὁδοί τε βραχεῖαι. —
Κεῖνο κεῖν' ἅμαρ διαίτα-

σεν·

τῶν προβάτων. πρὶν γὰρ γενήται Ἀρισταῖος, τὰ πρόβατα ὀπάονας οὐκ εἶχεν. Ἄλλως. εὐκίνητον τῶν προβάτων ἀκόλουθον αὐτὸν θήσοντων. τινὲς δὲ τὸν Ἀρισταῖον Ἀγρέα φασὶ καλεῖν. ἀπὸ κοινοῦ γὰρ τὸ θήσοντες Ἀγρέα καὶ Νόμιον. ἔνιοι δὲ, διὰ τὸ τὴν κτηνοτροφίαν καὶ κυνηγίαν εὑρηκέναι Ἀγρέα καὶ Νόμιον, Δία καὶ Ἀπόλλωνα προσηγορεύον. ἐσὶ δὲ καὶ τῆ μέλιτος εὑρετὴς ὁ Ἀρισταῖος, ὅ δὴ τῆς ἀθανασίας δέκατον μέρος ὠνήθησαν εἶναι· φαίνεται δὲ ὅτι καὶ τὴν ἐλαιουργίαν καὶ μελιτουργίαν πρῶτος ἐπινενόηκεν Ἀρισταῖος.

117. Ὡς ἄρ' εἰπὼν ἔντυεν] οὕτως εἰπὼν ὁ Χείρων παρεσκεύαζε τὸν Ἀπόλλωνα τελεῖν τὸ τῶν γάμων τέλος. Ἄλλως. ἕτοιμον αὐτοῖς τόπον ἐποίει, ἵνα οὕτως ὁ γάμος κρανθῆ, ἢ ὁμιλήσας, ὅτι πολυομίλης γενήθσεται ὁ Ἀρισταῖος· καὶ ἀθάνατος παῖς, παρεσκεύασεν αὐτῷ τὸν γάμον· τυτέσιν, εἰ ἀνεβάλετο τὸν γάμον ὁ Ἀπόλλων, ἀλλὰ τοῖς λόγοις προετράπη ταχέως μιχθῆναι. ἢ οὕτως· οὕτως εἰπόντος τῷ Χείρωνος εὐτρεπίζετο αὐτοῖς τὰ πρὸς γάμον.

119. Ὠκεῖα δ' ἐπειγομένων ἤδη Θεῶν πρᾶξις] σπευδόντων δὲ τῶν Θεῶν ταχεῖα καὶ ἡ πρᾶξις καὶ ἡ κατόρθωσις γίνεται. ἢ οὕτως· αἱ δὲ ὁδοὶ τῶν Θεῶν βραχεῖαι καὶ μικραὶ εἰσι διὰ τὸ ταχὺ καὶ ἀκοπίαστον αὐτῶν. γλαφυρῶς δὲ ἀπέπαυσε τὸν νῶν ἀπὸ τῆς μίξεως, εἰπὼν, ὅτι πάντα οἱ Θεοὶ ἀνύουσι, καὶ ὁδὸς ἔχουσι βραχείας, ὧν ἂν ἐθέλωσι πρᾶξαι· ἀντὶ τὸ εἰπεῖν, εὐθέως ἤνεγκεν αὐτὴν εἰς Λιβύην, καὶ συνῆλθεν αὐτῇ.

121. Κεῖνο κεῖν' ἅμαρ] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκεῖνο τὸ πρᾶγμα διετέλεσεν, ἐν ᾗ ὡμίλησεν αὐτῷ ὁ Χείρων, ἐτελειώθη τὰ περὶ τὸν γάμον. ἢ οὕτως· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἁρπάσας τὴν Κυρήνην ἐκόμισεν εἰς Λιβύην.

122. Θα-

σεν. Θαλάμῳ δὲ μίγεν
Ἐν πολυχρύσῳ Λιβύας·
Ἵνα καλλίστᾱν πόλιν
Ἀμφέπει κλεινάν τ' ἀέθλοις. —
Καί νυν ἐν Πυθῶνί νιν ἀ-
γαθέα Καρνειάδα
Υἱὸς εὐθαλεῖ συνέμιξε τύχᾳ·
Ἔνθα νικάσας ἀνέφανε Κυράναν·
Ἃ νιν εὔφρων δέξεται
Καλλιγύναικι πάτρᾳ
Δόξαν γ' ἱμερταὶ ἀγαγόντ' ἀπὸ Δελφῶν. —

Σ. δ'. Κ. ιέ.

Ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι,
Βαιὰ δ' ἐν μακροῖσι ποικίλλειν, ἀκοαὶ
Σοφοῖς. — ὁ δὲ καιρὸς ὁμοίως
Παντὸς

122. Θαλάμῳ δὲ μίγεν ἐν πολυχρύσῳ] ἐν δὲ τῷ πολυχρύσῳ θαλάμῳ τῆς Λιβύης ἐμίγη αὐτῇ ὁ Ἀπόλλων, ἔνθα τὴν καλλίστην πόλιν καὶ ἔνδοξον κατὰ τὰς ἀγῶνας περιέπει ὁ Ἀπόλλων, τὴν δωσυμον τῇ νύμφῃ Κυρήνην, ἢ ἡρωϊκήν.

126. Καὶ νῦν (Ἰς) ἐν Πυθῶνι νὶν] καὶ νῦν δὲ ἐν τῇ θείᾳ Πυθῶνι νικήσας ὁ Τελεσικράτης ἐπιφανῆ ἐποίησε τὴν Κυρήνην.

130. Ἃ νιν εὔφρων δέξεται] ἤτις αὐτὸν ἡ Κυρήνη εὐμενης δέξεται, ἡ καλὰς ἔχουσα γυναῖκας· πατρίδι δόξαν ἑπέρατον ἄγοντες αὐτῷ ἀπὸ Δελφῶν.

133. Ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι] αἱ δὲ μεγάλαι ἀρεταὶ ἀεὶ καὶ πολύμυθοί εἰσι, τυτέστι, πολλῶν λόγων δέονται πρὸς τὰ ἐγκώμια. ἢ οὕτω· περὶ τῶν μεγάλων ἀρετῶν πολλὰ ἔνεστι εἰπεῖν.

134. Βαιὰ δ' ἐν μακροῖσιν] ἐάν τίς, φησι, μακρὰ ἐκλάβῃ πράγματα καὶ βαιὰ ποιήσῃ αὐτὰ τῷ λόγῳ, ἀκοὴ σοφοῖς ἐστι, τυτέστιν, σοφῷ ἀκροατῇ δεῖται, ἵνα συνῇ τὰ πολὺ ἐπιτετμημένα. ἢ καὶ οὕτως· ἐν μεγάλοις δὲ κατορθώμασιν ὀλίγα συντιθέναι καὶ λέγειν, τοῖς σοφοῖς ἡ τοιαύτη ἀκοὴ καὶ ποίησις ἀρκεῖτω. παντὸς δὲ πράγματος τὸ τέλος καὶ κορυφὴν ὁμοίως ἡ εὐκαιρία ἔχει, τυτέστι, δεῖ κατὰ καιρὸν καὶ μεγάλα καὶ μικρὰ λέγειν.

137. Ἔ-

Παντὸς ἔχει κορυφάν. —
Ἤγνων ποτὲ καὶ Ἰόλαον
Οὐκ ἀτιμάσαντά νιν ἑ-
πτάπυλοι Θῆβαι· τὸν, Εὐρυ-
σθῆος ἐπεὶ κεφαλὰν
Ἔπραθε φασγάνῳ ἀμμᾷ,
Κρύψαν ἔνερθ' ὑπὸ γᾶν
Διφρηλάτα Ἀμφιτρύωνος
Σάματι· πατροπάτωρ
Ἐνθά οἱ Σπαρτῶν ξένος
Κεῖτο, λευκίπποισι Κα-
δμείων μετοικήσας ἀγυιαῖς.

Α. δ'. Κ. ιέ'.

Τέκε δ' οἱ καὶ Ζηνὶ μιγεῖσα δαΐφρων

Ἐν

137. Ἤγνων ποτὲ καὶ Ἰόλαον] ὁ γὰρ Ἰόλαος τεθνηκὼς ἐπὶ ἔμαθεν Εὐρυσθέα ἐξαιτούμενον παρὰ Ἀθηναίων τοὺς Ἡρακλείδας, καὶ ἐπαπειλοῦντα πόλεμον, εἰ μὴ δώσουσιν, εὔξατο ἀναβιῶναι, καὶ ἀναβιὰς ἀπέκτεινε τὸν Εὐρυσθέα καὶ πάλιν τεθνηκεν. Οἱ δὲ πρὸς τὸ πιθανώτερον ἔλκυσι τὴν ἱστορίαν, ὅτι γέρων ὢν ηὔξατο ἀνηβῆσαι, καὶ τελέσας τὸν ἆθλον εὐθέως ἐτελεύτα. ὁ δὲ νῦς· ἐγνώρισαν δέ ποτε καὶ αἱ ἑπτάπυλοι Θῆβαι τὸν Ἰόλαον, οὐκ ἀτιμάσαντα τὴν τῶν πραγμάτων εὐκαιρίαν, οἱονεὶ καταχρησάμενον τῇ εὐκαιρίᾳ. ἢ ὅτως· ἔκρυψεν ἡ Θήβη αὐτὸν, ἐπεὶ τὸν Εὐρυσθέα ἀπεκεφάλισεν, ἐν τῷ τοῦ Ἀμφιτρύωνος σήματι, ὅπου αὐτοῦ ὁ προπάτωρ ἦν κείμενος. ὅτι δὲ εὐξάμενος ὁ Ἰόλαος ἀνερίφη, καὶ ἀπέκτεινεν Εὐρυσθέα, ὄῆλον. εὔξατο δὲ τῷ Διὶ ἐπὶ μίαν ὥραν ἡβῆσαι, ὅτε (διὰ) τὰς Ἡρακλείδας ἐν τῇ Ἀττικῇ καταφυγόντας Εὐρυσθεὺς Ἀθηναίοις πόλεμον συνεκρότησεν.

139. Τὸν Εὐρυσθέως (sic) ἐπὶ κεφαλὰν] ἤντινα τὸν Ἰόλαον, ἐπειδὴ τῇ τοῦ ξίφους ἀκμῇ τὴν τοῦ Εὐρυσθέως κεφαλὴν ἀπέτεμεν, ὑποκάτω τῆς γῆς ἔκρυψαν παρὰ τῷ τάφῳ τοῦ ἱππικωτάτου Ἀμφιτρύωνος.

145. Ἐνθα οἱ] ἔνθα ὁ πρὸς πατρὸς αὐτοῦ πατὴρ Ἀμφιτρύων ὁ τῶν Θηβαίων φίλος καὶ ξένος μετοικήσας, ἔκειτο, εἰς τὰς Θήβας. ἐν γὰρ τῇ ἀμαξιτῷ πλησίον τοῦ τάφου Ἀμφιτρύωνος ἔθαψαν τὸν Εὐρυσθέα, ἵνα ἀεὶ πατῆται.

148. Τέκε οἱ καὶ Ζηνὶ μιγεῖσα] τῷ Ἀμφιτρύωνι ἡ Ἀλκμήνη. ὁ δὲ νῦς·

Ἐν μόναις ᾠδῖσιν Ἀλκμήνα διδύμων
Κρατησίμαχον σθένος υἱῶν. —
Κωφὸς ἀνήρ τις, ὃς Ἡ-
ρακλεῖ τόμα μὴ παραβάλλει,
Μηδὲ Διρκαίων ὑδάτων
Ἀναμέμναται, τά νιν θρέ-
ψαντο καὶ Ἰφικλέα·
Τοῖσί τέλειον ἐπ' εὐχᾷ
Κωμάσομά τι παθὼν
Ἑσλόν. — Χαρίτων κελαδεννᾶν
Μή με λίποι καθαρὸν
Φέγγος. — Αἰγίνᾳ τὲ γὰρ

Φαμὶ

νὺς· ἐγέννησε δὲ τῷ Ἀμφιτρύωνι καὶ τῷ Διὶ μιγεῖσα ἡ Ἀλκμήνη ἐν μιᾷ ᾠδῖνι διδύμων υἱῶν πολεμικωτάτην δύναμιν.

149. Ἐν μόναις ᾠδῖσιν] ὧν ἐνὶ γὰρ τόκῳ καὶ μιᾷ ᾠδῖνι. λέγεται ἐν μιᾷ νυκτὶ συνευνασθέντων Διὸς καὶ Ἀμφιτρύωνος τῇ Ἀλκμήνῃ γενέσθαι τῷ μὲν Ἡρακλέα, τῷ δὲ Ἰφικλέα.

151. Κωφὸς ἀνήρ τις] κωφός ἐστι καὶ ἀπαίδευτος ἐκεῖνος ὁ ἀνήρ, ὅστις τῷ Ἡρακλεῖ τὸ ἑαυτῷ μὴ περιβάλλει (sic) τόμα, τυτέσιν, ὅστις μὴ ἐγκωμιάζει τὸν Ἡρακλέα, καὶ ὅστις μηδὲ τῶν τῆς Δίρκης ὑδάτων αἰσθάνεται καὶ ἔχει μνήμην· ἀπὸ κοινοῦ τὸ, κωφός ἐστιν. ὁ γὰρ μὴ ἀκούσας ὠδὲ εἰπεῖν δύναται.

156. Τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομά τι παθὼν ἑσλὸν] πεπονθώς τι ἐξ αὐτῶν τέλειον ἀγαθὸν διὰ τὸ κώμα ὑμνήσω. τί δ' ἂν εἴη πεπονθώς; ἠλαδὴ καὶ τὰ Ἰολάειά ἐνίκησεν ὁ νικηφόρος. τὸ δὲ ὑπέρβατον· τοῖσι κωμάσομαί τέλειόν τι παθὼν ἐπ' εὐχᾷ ἑσλόν. ὁ λόγος παρὰ τὸ ὑμνησόμενα πρὸς τὸν Ἡρακλέα καὶ Ἰφικλέα· φετυχικῶς τῆς νίκης τῶν Ἡρακλείων κἀγὼ ἀντικωμάσω αὐτούς, φησί, καὶ ὑμνήσω.

158. Χαρίτων κελαδεννᾶν μή μέ λίποι καθαρὸν φέγγος] τῶν εὐδόξων χαρίτων τὸ ἀνθηρὸν φέγγος καὶ ἡ παῤῥησία μή με λίποι τυτέσι, γένοιτό μοι χαριεντα γράφειν.

160. Αἰγίνᾳ τε γὰρ φημὶ Νίσᾳ τ' ἐν λόφῳ] διορίζομαι γὰρ τὸν νικηφόρον ἓν τε Αἰγίνῃ καὶ τρίτον ἐν Μεγάροισι νικήσαντα, ταύτην τὴν πολιν εὐκλεᾶ καταῤῥῆσαι, ἔργῳ τὴν σιγηλὴν καὶ ἀταῤῥησίαν ἀμηχανίαν καὶ αἰσχύνην ἐκφυγών. οἱ γὰρ νικηθέντες ἀμηχανοῦντες καὶ αἰσχυνόμενοι, σιωπῇ περιπατοῦσι, μὴ ἔχοντες παῤῥησίαν μετά τινος διαλεχθῆναι. ἔστιν δ' εἰπεῖν

τέσσα-

Φαμὶ Νίσᾳ τ' ἐν λόφῳ
Τρὶς δὴ πόλιν τάνδ' εὐκλείξαι,

Ε. δ'. Κ. ιδ'.

Σιγαλὸν ἀμαχανίαν ἔργῳ Φυγόντ'. ἕνεκεν, εἰ Φίλος ἀστῶν
Εἴ τις ἀντάεις; τό γ' ἐν ξυνῷ πεπονημένον εὖ
Μὴ, λόγον βλάπτων ἁλίοιο γέροντος, κρυπτέτω.
Κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν
Παντὶ θυμῷ σύν τε δίκᾳ
Καλὰ ῥέζοντ' ἔννεπεν. —
Πλεῖσα νικάσαντά σε καὶ τελεταῖς
Ὡραίαις ἐν Παλλάδος εἶδον, ἄφωνοί

Θ'

τέσσαρας εἶναι τὰς πάσας νίκας, μίαν μὲν ἐν Αἰγίνῃ, τρεῖς δὲ ἐν Μεγάροις. Ἄλλως. τῷ ἔργῳ, φησὶ, τὴν μὲν σιγωμένην ἀμηχανίαν φυγὼν, εὔκλειαν δὲ κτησάμενος. ἀμηχάνου δὲ τὴν σιγὴν εἶπεν, ὅτι κατηφεῖς εἰσιν οἱ νικηθέντες. καὶ ἑτέρωθί πῦ φησι· νικώμενοι δὲ ἀργυρέᾳ δέδενται (Fr. p. 73.).

164. Οὕνεκεν εἰ φίλος ἀστῶν εἴ τις ἀντάεις] διὸ εἴτε τις αὐτῷ τῷ νικηφόρῳ φίλος τῶν πολιτῶν, εἴτε ἐναντίος καὶ ἐχθρός ἐστι, τὸ ἐν τῷ κοινῷ πονηθὲν ἀγαθὸν ἀνυμνείτω, αὐτὸν μὴ καταβλάπτων τὸν λόγον τῶ Νηρέως. ἐκεῖνος γὰρ ὁ Νηρεὺς ἔφη, δεῖν τὸν καλῶς πράττοντα καὶ μετὰ δικαιοσύνης πάντα τρόπον, καὶ παρὰ τῶν ἐχθρῶν ἀνυμνεῖσθαι. ἀντάεις δὲ ὁ ἐναντιούμενος τὴν νίκην τῷ νικηφόρῳ, ἢ ἐναντιόμενος καὶ ἐχθρός.

172. Πλεῖσα νικήσαντά σε] ὁ λόγος ἀπὸ τῦ χορῦ πρὸς τὸν νικητήν· πολλάκις σε νικήσαντα εἶδον τὰ Παναθήναια ἐν ταῖς ὡρισμέναις τελεταῖς τῆς Ἀθηνᾶς.

173. Ἄφωνοι δ'. ὡς ἑκάστα] ἄφωνοι καὶ ἐν ἑαυταῖς κατὰ τὴν ψυχὴν, ὦ Τελεσικράτες, ἑκάστη τῶν παρθένων εὔχοντό σε ἄνδρα εὐτυχῆσαι, αἱ δὲ γυναῖκες υἱὸν, ἀπὸ κοινῦ τὸ, εὔχοντο ἔμμεν. εὔχοντο δὲ ἐν τοῖς Ὀλυμπίοις, φησὶν, ἐρᾶσαί σε καὶ ἐν τοῖς ἄλλοις ἀγῶσι τῆς πλατείας γῆς, καὶ ἐν πᾶσιν ἁπλῶς τοῖς ἐν ἑκάστῃ πόλει ἐπιχωρίοις ἀγῶσι παντα χῦ ἐρᾶσαί σε αἱ γυναῖκες, ταῦτα ηὔχοντο.

Θ' ὡς ἑκάστα φίλτατον
Παρθενικαὶ πόσιν ἢ
Υἱὸν σ' εὔχονθ', ὦ Τελεσίκρατες, ἔμμεν,

Σ. ε'. Κ. ιϛ'.

Ἐν Ὀλυμπείοισί τε καὶ βαθυκόλπε
Γᾶς ἀέθλοις, ἐν δὲ καὶ πάντεσσ' ἐπιχω-
ρίοις. — ἐμὲ δ' ἔν τις, ἀοιδᾶν
Δίψαν ἀκειόμενον,
Πράσσει χρέος αὔτις ἐγεῖραι
Καὶ παλαιὰν δόξαν ἐῶν
Προγόνων. οἷοι Λιβύσσας

Ἀμφὶ

177. Ἐν τ' Ὀλυμπίοις (sic)] Ὀλυμπίοις, ὑ τοῖς ἐν Πίσῃ νῦν. ὑ γὰρ ἔν ὅτας ἔβρῖψεν ἁπλῶς τὸν λόγον, ἀλλὰ τοῖς ἐν Ἀθήναις. ἐκ κοινῦ γὰρ, νικήσαντα εἶδον, καὶ ἐν τοῖς ἀγομένοις ἀγῶσι τῇ Γῇ, τυτέτιν ἐν Ἀθήναις. ἐκεῖ γὰρ ἄγετοι τῇ Γῇ ἀγῶν, ὥς φησι Δίδυμος.

179. Ἐμὲ δ' ἔν τις ἀοιδᾶν δίψαν ἀκειόμενον] διψώσῃ τῇ ᾠδῇ προστιθέντα, ἀκειόμενόν με καὶ θεραπεύοντα, ἢ, διψῶσαν ᾠδὴν τῷ θέλειν ὑμνεῖν ὑμᾶς, πράσσει τις ἐμὲ καὶ ἀναγκάζει ἔτι τᾶτο ὑπομεῖνοι, καὶ συμπεριλαβεῖν τὴν τῶν προγόνων ὑμῶν δόξαν.

183. Οἷοι Λιβύσσας ἀμφὶ γυναικὸς] ὁποῖοι ἦσαν μνησῆρες, οἱ τᾶ νικηφόρᾳ πρόγονοι, οἵ περὶ τὴς Λιβυκὴς γυναικὸς ἦλθον εἰς τὴν Ἰρασσαν τὴν τᾶ Ἀνταίυ πόλιν πρὸς τὴν ἔνδοξον κόρην. Ἄλλως. Ἰρασσα, πόλις Λιβύης, ἣν ᾤκησεν Ἀνταῖος, ὑχ' ὁ παλαίσας Ἡρακλεῖ (ἐκεῖνος γὰρ διαλλάσσει τοῖς χρόνοις, ὃν καὶ ἀνεῖλεν Ἡρακλῆς) ἀλλ' ἕτερος, ᾧ συνήκμασεν Εὔφημος, ὑ οἱ ἀπόγονοι μετῴκησαν εἰς Κυρήνην, ὅς τὴν θυγατέρα πρᾶθηκεν ἆθλον δρόμυ τῷ φθάσαντι λαβεῖν κελεύσας. ὅμοιον δὲ ἐποίησε Δαναῷ· καὶ γὰρ ἐκεῖνος τὰς θυγατέρας δρόμῳ πρᾶθηκε· τὴν δὲ κόρην ταύτην τῶν Τελεσικράτυς τὶς προγόνων Ἀλεξίδαμος, μνησευσάμενος καὶ νικήσας τὸν δρόμον ἔγημεν· ἢ ὅτι ὁ Ἀνταῖος ὁ παράνομος, ὃν ἀνεῖλεν Ἡρακλῆς· ὑτός φησι παραγενόμενον τὸν Ἀλεξίδαμον, δρόμῳ νικήσαντα τὰς σὺν αὐτῷ μνησῆρας, λαβεῖν γυναῖκα τὴν θυγατέρα τᾶ Λιβύων βασιλέως. ἔνιοι γάρ φασιν, ὅτι ὁ ἀπὸ Ἡρακλέυς καταγωνισθεὶς Ἀνταῖος Ἰρασσεύς ἦν, ἀπὸ Ἰρασσῶν τῶν ἐν τῇ Τριτωνίδι λίμνῃ, ὥς φησι Φερεκύδης. ὁ δὲ Πίνδαρος ὑπὸ τᾶ χαρίσασθαι τῷ ἐπαινουμένῳ παρατρέψας τὴν ἱστορίαν

Ἀμφὶ γυναικὸς ἔβαν
Ἴρασσαν πόλιν Ἀνταί-
ᾳ μετὰ καλλίκομον
Μνατῆρες ἀγακλέα κύραν.
Τὰν μάλα πολλοὶ ἀρι-
ςῆες ἀνδρῶν αἴτεον
Σόγγονοι, πολλοὶ δὲ καὶ
Ξείνων. ἐπεὶ θαητὸν εἶδος

Α. ε'. Κ. ιε'.

Ἔπλετο· χρυσοςεφάνῳ δὲ οἱ ἤβας
Καρπὸν ἀνθήσαντ' ἀποδρέψαι ἐθέλοντι
Πατὴρ δὲ θυγατρὶ φυτεύων
Κλεινότερον γάμον, ἄ-
κουσεν Δαναόν ποτ' ἐν Ἄργει,
Οἷον εὗρεν τεσσαράκον-
τα καὶ ὀκτὼ παρθένοισι,
Πρὶν μέσον ἄμαρ ἐλεῖν,

ρίαν φησὶν, Ἀλεξίδαμον, πρόγονον τῦ ἐπαινυμένυ, γενέσθαι μνηςῆρα τῆς Ἀνταίης θυγατρός. ὄνομα δὲ αὐτῇ Ἀλκηὶς, ὡς φησι Πείσανδρος, ὁ Καμιρεύς· ἕτερος δὲ Βάρκην.

188. Τὰν μάλα πολλοὶ] ὁ νῦς· ἥντινα, τὴν Ἀνταίης θυγατέρα, πολλοὶ τῶν ἀρίςων ἀνδρῶν ἤτην. ἦτην δὲ πολλοὶ μὲν συγγενεῖς αὐτῆς, πολλοὶ δὲ καὶ ἐκτὸς γένυς ὄντες, ἐπειδὴ ἐκπρεπὲς αὐτῆς ἐθαυμάζετο καὶ ἐθρυλλεῖτο εἶναι τὸ κάλλος. τῆς γὰρ ἐντίμυ αὐτῆς νεότητος καρπὸν δρέψασθαι ἐβέλοντο· ἐκ δὲ τύτυ, τὴν παρθενίαν αὐτῆς ἐβέλοντο λαβεῖν.

194. Πατὴρ δὲ θυγατρὶ] ὁ δὲ πατὴρ Ἀνταῖος, ἐνδοξότερον τῇ ἑαυτῦ θυγατρὶ κατασκευάζων τὸν γάμον, τεποίηκεν ὅπερ ἤκυσέ ποτε ἐν Ἄργει τὸν Δαναὸν ταῖς τεσσαρακοντάοκτὼ θυγατράσιν αὐτῦ πεποιηκένον, κἀκεῖνον ἐμιμήσατο.

195. Ἄκυσεν Δαναόν ποτ'] ἤκυσε γὰρ τὸν Δαναόν ποτε ἐν Ἄργει τοιῦτον ταῖς τεσσαράκοντα οκτὼ θυγατράσιν αὐτῦ γάμον εὑρέσθαι, πρὶν τὸ μέσον τῆς ἡμέρας γενέσθαι. τὸ γὰρ ἑωθινὸν ἠγωνίσαντο, καὶ πρὸ μεσημβρίας διελυθησαν τὴ ἁρίλλῃ, καὶ ἕκαςος, ἣν ἤβελήθη, ἔλαβεν.

200. Ἔτα-

Ὠκύτατον γάμον. — ἔσασεν γὰρ ἅπαντα χορὸν
Ἐν τέρμασιν αὐτίκ' ἀγῶνος·
Σὺν δ' ἀέθλοις ἐκέλευσεν διακρῖναι ποδῶν,
Ἄντινα σχήσει τις ἡρώων, ὅσοι γαμβροὶ σφιν ἦλθον. —

Ε. ε'. Κ. ιδ'.

Οὕτω δ' ἐδίδα Λίβυς ἀρμόζων κόρα
Νυμφίον ἄνδρα. ποτὶ γραμμᾷ μὲν αὐτὰν ἔστασε κοσμήσαις, τέλος ἔμμεν ἄκρον.
Εἶπε δ' ἐν μέσσοις, ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορὼν
Ἀμφί οἱ ψαύσειε πέπλοις.

Ἔνθ'

200. Ἔτασεν γὰρ] ἔστος γὰρ ἔστησε τὰς θυγατέρας ἕως μέσης ἡμέρας, ἵνα δηλονότι προθεωρήσωσιν αὐτὰς οἱ μνηστῆρες, καὶ ἕκαστος ἔλπηται τῶν δρόμῳ πρωτευσάντων, ἣν ἂν βέλοιτο. Ζητεῖται δὲ, διατί τεσσαρακονταοκτὼ εἶπε, πεντήκοντα ὑσῶν; καὶ φητέον, ὅτι Ἀμνιμώνη μὲν προδιαφθαρεῖσα ἦν Ποσειδῶνι, Ἱππέρμνηστρα δὲ ἐρασθεῖσα Λυγκέως, αἱ δὲ ἄλλαι συνδραμεῖσαι τῷ πατρῴῳ βουλήματι ἀνεῖλον τοὺς Αἰγύπτου παῖδας.

207. Οὕτω δ' ἐδίδα Λίβυς] Λίβυς, ὄνομα κύριον, ὡς ὁ Ἀνταῖος, ὡς Δίδυμος. τῷ νικήσαντι γὰρ καὶ αὐτὸς ἔδωκε τὴν παῖδα πρὸς γάμον.

208. Ποτὶ γραμμᾷ μὲν] ἔστησε γὰρ αὐτὴν πρὸς τῇ ἐσχάτῃ γραμμῇ τῷ δρόμῳ, τοῦτο ἄκρον καὶ τέλος διατάξας, τὴν τάξιν τῆς παρθένου. ἐχάρασσον δὲ γραμμήν τινα, ἣν ἀρχὴν καὶ τέλος εἶχον οἱ ἀγωνιζόμενοι. ὅθεν καὶ παροιμία· μὴ κίνει γραμμήν. ὁ δὲ νῦς· ὅτως ἂν καὶ ὁ Ἀνταῖος ὁ Λίβυς ἐδίδα πρὸς γάμον τὴν ἑαυτοῦ θυγατέρα, κατασκευάζων τῇ κόρῃ τὸν πρεῖόντα νυμφίον, ἄνδρα. πρὸς γὰρ τὸ τέλος τοῦ ταδίου κοσμήσας ἔστησέ, φησι, τέλος καὶ ἄκρον εἶναι αὐτὴν τῷ νικήσαντι. ἐν μέσοις δὲ αὐτοῖς εἶπεν. ὅστις ἂν πρῶτος τῶν πέπλων αὐτῆς ἅψηται, ἀπαγέσθω αὐτὴν ἐκεῖνος.

214. Ἔνθ'

Ἐνθ' Ἀλεξίδαμος, ἐπεὶ
Φύγε λαιψηρὸν δρόμον,
Παρθένον κεδνὰν χερὶ χειρὸς ἑλὼν
Ἄγεν ἱππευτᾶν Νομάδων δι' ὅμιλον.
Πολλά μιν κεῖνοι δίκον
Φύλλ' ἔπι καὶ στεφάνως·
Πολλὰ δέ τε πρόσθεν πτερὰ δέξατο νικᾶν.

214. Ἐνθ' Ἀλεξίδαμος] Ἀλεξίδαμος ἦν ὁ νικήσας χάριν τῆς Λίβυος θυγατρός. τὸ δὲ, ἔφυγεν, ἢ κυρίως· ἦ γὰρ ἐθίωκέ τις· ἀλλὰ τὸ τάχος βούλεται παραστῆσαι, παρόσον οἱ διωκόμενοι ἐπιτείνουσι τὸν δρόμον. ὁ δὲ νῦν· ἐνταῦθα ὁ Ἀλεξίδαμος, ἐπεὶ τὸν ταχὺν δρόμον ἐξέφυγε καὶ ἐνίκησε, τὴν ἔνδοξον παρθένον τῆς χειρὸς τῇ ἑαυτοῦ χειρὶ λαβὼν ἤγαγεν εἰς τὴν τῶν ἱππικῶν Λιβύων στρατιάν. Ἄλλως. Λιβύων τῶν Νομάδων φησίν. οἱ πλείους γὰρ αὐτῶν ὑποδύντες τὴν γῆν οἰκοῦσιν. ἢ καὶ παρὰ τοῦτο κατωνομασμένον ἔθνος. ἐκ δὲ τούτου δῆλον, ὅτι ὁ Ἀνταῖος οὐκ ἔσιν. οὗτος γὰρ ἦν κατὰ τοὺς χρόνους Ἡρακλέους. πρὸ δὲ τοῦ Ἡρακλέους οὐδεὶς ἦν ἀγών. ὁ δὲ Ἀλεξίδαμος ἱστορεῖται νενικηκένου.

218. Πολλά μοι (sic) κεῖνοι δίκον] πολλὰ δὲ φύλλα καὶ στεφάνους οἱ περὶ αὐτὸν ἐσῶτες ἔβριπτον, πολλὰ δὲ πτερὰ νίκης καὶ πρὸ τοῦ ἀγῶνος ἔλαβε, τυτέσι, πολλοὺς καὶ ἄλλους ἀγῶνας ἐνίκησε. πτερὰ γὰρ νίκης περιφρασικῶς, ἡ νίκη.

Περὶ τῶν κώλων τῆς τροφῆς καὶ ἀντιστροφῆς τῆ ί τῶν Πυθίων εἴδης.

Τῆς δεκάτης ᾠδῆς ἡ τροφὴ καὶ ἀντίστροφος κώλων ὀκτώ. Τὸ α Φερεκράτειον. Τὸ β δίμετρον ἰαμβικὸν ὑπερκατάληκτον (ἄκατον). Τὸ γ δίμετρον Ἰωνικὸν βραχυκατάληκτον. Τὸ δ σύνθετον ἐκ προσοδικῆ καὶ ἰαμβικῆ πενθημιμερῆς. Τὸ ε Φερεκράτειον. Τὸ ς δίμετρον ἐπιχοριαμβικὸν ἀκατάληκτον. Τὸ ζ δίμετρον χοριαμβικὸν βραχυκατάληκτον. Τὸ η δίμετρον δοχμαϊκὸν ἀκατάληκτον. Τὸ θ ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ί ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτῆ. Ἡ ἐπωδὸς κώλων η. Τὸ α ἰαμβικὸν πενθημιμερές. Τὸ β μητρωακὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ δ ἰωνικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ε ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ς ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ζ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ η παιωνικὸν δίμετρον ἀκατάληκτον.

ARGV-

ARGVMENTVM DECIMI CARMINIS.

Beata Sparta atque Theſſalia! in vtraque Herculis progenies ab Ariſtomacho regnat (1—4). Temerene haec dico? Immo Python et Pellinaeum (Hippoclis patria) et Aleuadae (Theſſali) me iubent Hippocleam carmine celebrare (— 10), victorem diaulo renunciatum. Apollo, hominum coepta, deo iuuante, bene ſuccedunt; ille etiam tua opera hoc perfecit, veſtigiisque patris (Phriciae) inecdit, bis Olympiae armato curſu victoris, et in Pythicis quoque ludis victoriam conſecuti (— 25). Vtinam in poſterum quoque floreant eorum opes! nec, tanta bona nactis, fortuna mutetur! Beneuolo iis deus animo adſit (— 33)! Felix eſt et a poetis dicendus, qui manibus pedibusue victoriam ipſe reportauit, et viuus filium in Pythicis ludis videt coronari (— 41). Nondum hi diuinam attigerunt felicitatem, ſed quam mortales conſequi poſſumus, ad eius metam peruenit. Sed ad Hyperboreos (extremos terminos) nemini via patet (— 48), apud quos Perſeus coenauit, Apollini tum aſinos immolantes. Delectatur vero deus eorum feſtis et hymnis et aſinorum laſciuientium ſacrificiis (— 56). Nec Muſa ab iis abeſt. Vbique virginum chori, lyrarum et tibiarum voces audiuntur; coronati epulantur; nec morbi, nec ſenectus ſacrum populum adoriuntur. Sine laboribus et bellis viuunt, a Nemeſi tuti (— 68). Ad hos felices homines, Minerua duce, Perſeus venit; tum Meduſam interfecit, cuius capite incolas Seriphi inſulae in

lapides conuertit. Nihil incredibile videtur, quod dii perficiunt (— 78). Sed cohibendi sunt remi (abstinendum a persequenda digressione); hymnus enim, apis instar, modo ad hoc modo ad aliud volat argumentum (— 84). Spero autem, dum Ephyraei (Thessali) carmen meum ad Peneum decantant, me Hippocleam pluribus hymnis esse celebraturum, ob victorias, inter iuuenes et seniores, puellisque carum redditurum. (Multas Hippocleas victorias porro consequetur — 93). Pungunt alia alios desideria. Sed quiuis, adeptus quae appetit, teneat magnum vsum praesentium bonorum (fruatur praesenti fortuna); futura prospici nequeunt (— 98). Confido amicitiae Thoracis (Thessali), qui me ad hunc hymnum compulit. Probatione aurum et animus rectus cognoscitur (— 106). Fratres (victoris) semper laudabimus, quod Thessalorum ciuitates reddunt illustres et feliciores; bonis viris paterna mandata est vrbium administratio (— 112).

ΕΙΔΟΣ ί.

ΙΠΠΟΚΛΕΑΙ ΘΕΣΣΑΛΩΙ

ΔΙΑΥΛΟΔΡΟΜΩι.

Σ. ά. Κ. ί.

Ὄλβία Λακεδαίμων·
Μάκαιρα Θεσσαλία· πατρὸς δ' ἀμ-
φοτέραις ἐξ ἑνὸς
Ἀριστομάχᾳ γένος Ἡρακλέος βασιλεύει. —
Τί κομπέω; — κατὰ καιρόν; —
Ἀλλά με Πυθώ τε καὶ τὸ
Πελιννᾶιον ἀπύει,

Ἱπποκλέᾳ Θεσσαλῷ] ἦν μὲν τὸ γένος ὁ προκείμενος νικηφόρος Θεσσαλὸς, πόλεως δὲ Πελινναίου· ἐνίκησε δὲ τὴν εἰκοστὴν δευτέραν Πυθιάδα. δοκεῖ δὲ μὴ ὑγιῶς ἐπιγεγράφθαι ὧδε Ἱπποκλεῖ. δέον γὰρ Ἱπποκλέᾳ. τὸ γὰρ ὄνομα ἦν Ἱπποκλέας, ὡς καὶ αὐτὸς ὁ Πίνδαρός φησιν (V. 8. 88). ἐνίκησε δὲ καὶ οβ'. καὶ ογ'. Ὀλυμπιάδα. τὴν δὲ Λακεδαίμονα νῦν παρείληφεν, ὡς αὐτὸς δηλοῖ, ὅτι ἀμφότερα τὰ ἔθνη ὑπὸ τῶν Ἡρακλειδῶν ἐβασιλεύετο. ἐν δὲ τῇ αὐτῇ ἡμέρᾳ ἐνίκησε καὶ τάδιον, ὃ ἐκ ἐμνήσθη, ἴσως τῷ διαύλῳ μόνον μισθὸν λαβών.

1. Ὄλβία Λακεδαίμων (sic)] ὦ εὐδαιμονεστάτη Λακεδαίμον, καὶ μακαρία Θεσσαλία. ἐν γὰρ ἀμφοτέραις ἐξ ἑνὸς πατρὸς τῷ γενναίῳ Ἡρακλεῖ τὸ γένος βασιλεύει. τὸ δὲ, ἀριστομάχᾳ, ἐπιθετικῶς, ἀντὶ τοῦ, ἀρίστῳ κατὰ τὰς μάχας.

5. Τί κομπέω, παρὰ (sic) καιρόν;] οἱ μὲν, ὅτι κομπῶ, ἀλλόκοτόν τι λέγω· εἶτα ἡ μέση. κατὰ τὸν δέοντα καιρὸν κομπῶ. οἱ δὲ οὕτως ὑφ' ἓν τί κομπῶ καὶ φλυαρῶ παρὰ τὸν δέοντα καιρὸν, ἵνα τὴν κατὰ ἀντὶ τῆς παρὰ λάβωμεν.

6. Καὶ τὸ Πελλιναῖον] Πελιναῖον, πόλις Θεσσαλίας, ἡ πατρὶς τοῦ

Ἀλεύα τε παῖδες, Ἱπποκλέα
Θέλοντές γ' ἀγαγεῖν ἐπικωμίαν
Ἀνδρῶν κλυτὰν ὄπα.

Α. ά. Κ. ί.

Γεύεται γὰρ ἀέθλων·
Ἀμφικτυόνων στρατῷ τ' ὁ Παρνάσ-
σιος αὐτὸν μυχὸς
Διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν. —
Ἄπολλον, γλυκὺ δ' ἀνθρώ-
πων τέλος ἀρχά τε, δαίμο-
νος ὀρνύντος, αὔξεται. —
Ὁ μέν πᾳ τεοῖς γε μήδεσι τᾶ-
τ' ἔπραξεν· τὸ δὲ συγγενὲς ἐμβέβα-

κεν

τᾷ νικηφόρῳ, ἀφ' ἧς καὶ τὸ ἐν Χίῳ ὄρος ἐκλήθη.

8. Ἀλευάδαι παῖδες, ἤ, Ἀλεύα τε παῖδες. Ἀλευάδαι παῖδες ἤτοι καθόλη οἱ Θετταλοὶ, ἀπὸ Ἀλεύα τᾶ βασιλεύοντος, ὡς καὶ Σισυφίδαι οἱ Κορίνθιοι, ἀπὸ Σισύφω. ἤ Ἀλεύα παῖδες, οἱ ὄντες ἑταῖροι τῷ Ἱπποκλέᾳ. ὁ δὲ νῦς· ἀλλά με ἡ Πυθὼ, καὶ τὸ Πελληναῖον, καὶ τᾶ Ἀλεύα οἱ παῖδες, ἀπύειν παρακελεύοντοι καὶ ὑμνεῖν· ἤ, βοᾷ καὶ προσκαλεῖται· θέλοντές με τὴν ἐνδοξον καὶ ἐγκωμιαστικὴν τῶν χορευτῶν ἐπ' αὐτὸν τὸν Ἱπποκλέα ἄγειν φωνήν.

11. Γεύεται γὰρ ἀέθλων] καὶ γὰρ ἐπιδόξων γεύεται ἄθλων καὶ μεταλαμβάνει, νικηφόρος γεγονώς· ὡς νεωστὶ δὲ κατιόντος εἰς τὰς ἀγῶνας ταῦτά φητιν.

12. Στρατῷ τ' Ἀμφικτυόνων (sic)] ἐν δὲ τῷ τῶν ἀμφικτυόνων καὶ περιοίκων ὄχλῳ καὶ συνέδῳ, ἡ Πυθὼ αὐτὸν ἄριστον τῶν διαυλοδρόμων παίδων ἀνηγόρευσε, τετέρτιν, εἰς Πύθια δίαυλον ἐνίκησε. διαυλοδρομᾶν δὲ, ἀπὸ τῆς διαυλοδρόμης εὐθείας, οἱ διαυλοδρόμαι, τῶν διαυλοδρομῶν, καὶ τροπῇ Δωρικῇ, διαυλοξομᾶν. καὶ περισπασέον, ἵν' ᾖ, διαυλοδρόμων. Παγνάσιος δὲ μυχὸς, ἡ Πυθώ.

15. Ἄπολλον] προσφωνεῖ τὸν θεὸν, ἐπεὶ καὶ Πυθιονίκης ὁ νικηφόρος. ὦ Ἄπολλον, φησὶ, τῶν δὲ ἀνθρωπίνων πραγμάτων ἡδὺ τὸ τέλος αὔξεται, καὶ ἀρχὴ ἡδεῖα γίνεται, τᾷ δαίμονος αὐτὸν αὐξοντος.

18. Τεοῖσι μήδεσσιν (sic)] ὁ Ἱπποκλέας, φησὶ, ταῖς σαῖς βουλήσεσιν, ὦ Ἄπολλον, ἐνίκησε, καὶ τὴν

κεν ἴχνεσιν πατρὸς

Ε. ά. Κ. ή.

Ὀλυμπιονίκα
Διὸς ἐν πολεμαδόκοις Ἄρεος ὅπλοισιν· θῆκε καὶ βαθυλείμωνι ὑπὸ Κίρρας ἀγῶν
Πέτραν κρατησίποδα Φρικίαν.
Ἔσποιτο μοῖρα καὶ ὑστέραισιν
Ἐν ἁμέραις ἀγάνορα
Πλᾶτον ἀνθεῖν σοφίσιν.

Σ. β΄. Κ. ί.

Τῶν δ' ἐν Ἑλλάδι τερπνῶν
Λαχόντες ἐκ ὀλίγαν δόσιν, μὴ
Φθονεραῖς ἐκ Θεῶν
Μετατροπίαις ἐπικύρσαιεν. Θεὸς εἴη
Ἀπήμων

τὴν νίκην διεπράξατο. τὸ δὲ ἀπὸ γένους αὐτῷ ἔμφυτον ἐπιβῆναι πεποίηκε τοῖς ἴχνεσι τῷ Ὀλυμπιονίκᾳ τῷ αὐτᾶ πατρός.

22. Διὸς ἐν πολεμαδόκοις] διὸς ἐνίκησέ, φησιν, ὁ Φρικίας ἐν Ὀλυμπίᾳ, ὁ πατὴρ τῷ Ἱππωκλέϊ. ἦν δὲ ὁπλίτης· διό φησιν· ἐν πολεμαδόκοις Ἄρεος ὅπλοις. τὸ γένος ἂν φησὶν ἥκειν εἰς τὰ ἴχνη. καὶ γὰρ ἐκεῖνος ὁπλιτοδρόμος, καὶ οὗτος διαυλοδρόμος. ὁ δὲ νῦς· τὸν Φρικίαν καὶ Ὀλυμπιονίκην ὄντα ὑπὸ τὴν βαθυλείμωνα ἑτέραν τῆς Κίρρας ἀγῶνα, τετέχθαι ὁ Πυθικὸς, κρατησίποδα ἐποίησε. διὰ δὲ τοῦτο σημαίνει, ὅτι, Ὀλυμπιονίκης ὤν, ἐγένετο καὶ Πυθιονίκης.

26. Ἔσποιτο μοῖρα καὶ ὑστέραισιν ἐν ἡμέραις] ἐπακολουθείη δὲ αὐτοῖς καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον ἡ μοῖρα καὶ εὐτυχία, ὥστε αὐτοῖς αὔξειν τὸν ἀγήνορα πλᾶτον.

29. Τῶν δ' ἐν Ἑλλάδι] τῶν δὲ κατὰ τὴν Ἑλλάδα καλῶν μετεσχηκότες ὀλίγου, μὴ ἐναντίαις παρατροπαῖς συντύχωσι παρὰ τῶν θεῶν.

33. Ἀπή-

Ἀπήμων κέαρ. — εὐδαί-
μων δὲ καὶ ὑμνητὸς ἔτος
Ἀνὴρ γίνεται σοφοῖς,
Ὃς ἂν χερσὶν ἢ ποδῶν ἀρετᾷ
Κρατήσας τὰ μέγιστ' ἀέθλων ἔλῃ
Τόλμᾳ τε καὶ σθένει,

Α. β'. Κ. ί.

Καὶ ζώων ἔτι νεαρὸν
Κατ' αἶσαν υἱὸν ἴδῃ τυχόντα
Στεφάνων Πυθίων. —
Ὁ χάλκεος ἐρανὸς ἄποτε ἀμβατὸς αὐ-
τοῖς. —
Ὅσαις δὲ βρότεον ἔθνος
Ἀγλαΐαις ἀπτόμεσθα,
Περαίνει πρὸς ἔσχατον

Πλόον.

33. Ἀπήμων κέαρ] ἀβλαβὴς καὶ ἀνόργητος ἐπὶ τοῖς αὐτῷ κατορθώμασιν εἴη ὁ θεός.

Εὐδαίμων δὲ] εὐτυχὴς δὲ ἔτος ἀνὴρ καὶ πολυύμνητος παρὰ τοῖς σοφοῖς γίνεται, ὃς ἂν πάλῃ, ἢ δρόμῳ, τόλμῃ τε καὶ ἀνδρείᾳ νικήσας, τὰ μέγιστα τῶν κατορθωμάτων δέξηται, καὶ πρὸς ἐπὶ τούτοις ἔτι καὶ ζῶν ἴδῃ τὸν νεώτερον αὐτῷ υἱὸν, κατὰ τὸ προσῆκον, Πυθικῶν στεφάνων τυχόντα· καὶ ἀπὸ καινῆ τὸ, εὐδαίμων.

42. Ὁ χάλκειος ἐρανὸς] οὐκέτι μέντοι ὁ τερεὸς οὐρανὸς καὶ ἰσχυρὸς ἐπίβατὸς αὐτοῖς ἐστιν, οἱονεὶ, τοῖς εἰς ἄκρον ἦτος εὐδαιμονίας ἐλθοῦσιν, οὐκ ἔστι καὶ θεοῖς συγγενέσθαι, ὡς τῶν ἐν ἀνθρώποις ἄκρων καὶ τελείων εὐτυχημάτων αὐτῶν μετασχόντων, τῶν τὴν τοιαύτην εὐτυχίαν εὐτυχησάντων. Ἄλλως. τῷ τοιούτῳ, φησὶ, τῷ παῖδας ἐσχηκότι, καὶ ἃ προείρηκα εὐτυχήματα, οὐκ ἀναβατὸς μόνον ὁ οὐρανός· οἷον, ὡς ἐν θνητοῖς εὐδαίμονές εἰσιν. ἀθάνατοι γὰρ οὐ δύνανται γενέσθαι.

43. Ὅσαις δὲ βρότεον ἔθνος] ὅσων δὲ ἀγλαϊῶν καὶ ἀγαθῶν οἱ ἄνθρωποι ἐφαπτόμεθα εὐδαιμονίας. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τῶν ἀνθρωπίνων καλῶν τὸ πέρας καὶ τὸ τέλος ἔχει ὁ τὴν τοιαύτην εὐδαιμονίαν εὐτυχήσας, τὸ καὶ αὐτὸν νικῆσαι, καὶ τὸν υἱὸν ἰδεῖν νικήσαντα. ὅσαις δὲ, ἀντὶ τοῦ ὅσων, δοτικῇ ἀντὶ γενικῆς ἐχρήσατο.

46. Ναυσὶ

Πλόον. — ναυσὶ δ' ὅτε πεζὸς ἰὼν
Εὕροις ἂν γ' ἐς Ὑπερβορέων ἀγῶ-
να θαυμασίαν ὁδόν.

Ε. β'. Κ. ή.

Παρ' οἷς ποτε Περσεὺς
Εδαίσατο λαγέτας, δώματ' ἐσελθών,
Κλειτὰς ὄνων ἑκατόμβας
Επιτόσσαις Θεῷ
Ρέζοντας· ὧν θαλίαις ἔμπεδον
Εὐφαμίαις τε μάλις' Απόλλων
Χαίρει, γελᾷ θ' ὁρῶν ὕβριν
Ορθιᾶν κνωδάλων.

Σ. γ'.

46. Ναυσὶ δ' ὅτε πεζὸς ἰὼν] ὅτε πεζὸς, ὅτε πλῷ παραγενόμενος εἰς τὸ τῶν Υπερβορέων ἄθροισμα, εὐμαρῶς εὕροις τὴν ἐπ' αὐτὰς θαυμασὴν ὁδόν. ὁ δὲ νῦς αὐτῷ πρὸς τὴν εὐτυχίαν· ὥσπερ οὐκ ἔστιν εὐμαρὲς εἰς τὸ τῶν Υπερβορέων ἔθνος παραγίνεσθαι, ὅτως οὐδὲ ταύτης τῆς εὐτυχίας μείζονα εὑρεῖν εὐμαρές ἐστιν.

47. Ες Υπερβορέων ἀγῶνα] ἀγῶνα δὲ τὸ ἄθροισμά φησιν, ἵν' ᾖ· εἰς τὸ τῶν Υπερβορέων ἄθροισμα πορευόμενος, τὴν ἐπ' αὐτὰς ἄγνοιαν οὐκ ἂν εὕροις ὁδόν. μέχρι δὲ τούτων ὁ Πίνδαρος καλῶς τὸν ἐπίνικον ἔγραψεν. ἠσύχισε δὲ τὰ μετὰ ταῦτα, ἀλόγῳ παρεκβάσει χρησάμενος.

49. Παρ' οἷς ποτε Περσεὺς] παρ' οἷς, τοῖς Υπερβορέοις, ὁ Περσεὺς εὐωχήθη εἰς τὰς οἰκίας αὐτῶν εἰσελθών, καὶ καταλαβὼν αὐτὰς διὰ τῶν ὄνων ἐνδόξως θυσίας τελοῦντας τῷ θεῷ Απόλλωνι. οἱ γὰρ Υπερβόρεοι ὄνους θύουσι τῷ Απόλλωνι, ὡς καὶ Καλλίμαχός φησι (Fragm. 188. T. I. p. 511.)·

Τέρπεσιν λιπαρὰ φοίβον ὀνοσφαγίαι.

53. Ων θαλίαις ἔμπεδον] ὧν τῶν Υπερβορέων μάλιστα διὰ τοιαύτας εὐφημίας καὶ εὐωχίας χαίρει ὁ θεός. ἥδεται γάρ, φησιν, ὁ Απόλλων θεωρῶν τὴν τῶν θηρίων ἀναίρεσιν. ὕβριν γὰρ τὴν ἀναίρεσίν φησι, διὰ τὰ σκιρτήματα, ἃ ἐν τῇ σφαγῇ ποιοῦνται οἱ ὄνοι.

56. Ορθιᾶν κνωδάλων] ἐπῄνεσεν ὁ Πίνδαρος, ὡς τῶν ὄνων ὀρθιούντων, ὅτε ἱερεύγοντο, κνώδαλων μὲν ὄντων κυρίως τῶν θαλαττίων ζώων, καταχρηστικῶς δὲ καὶ τῶν χερσαίων. ἢ ὅτω· μεγάλων διὰ τὸ τῶν ὄνων τετρᾶῶδες τῆ σώματος. ταῦτά, φησι Δίδυμος, μετὰ τῆ

Σ. γ'. Κ. ί.

Μοῖσα δ' ἐκ ἀποδαμεῖ
Τρόποις ἐπὶ σφετέροισι· πάντᾳ
Δὲ χοροὶ παρθένων
Λυρᾶν τε βοᾷ καναχᾷ τ' αὐλῶν δονέονται·
Δάφνᾳ τε χρυσέᾳ κό-
μας ἀναδήσαντες εἰλα-
πινάζουσιν εὐφρόνως.
Νόσοι δ' ὅτε γῆρας ἀλόμενον
Κέκραται ἱερᾷ γενεᾷ. πόνων
Δὲ καὶ μαχᾶν ἄτερ

Α. γ'. Κ. ί.

Οἰκέοισι, φυγόντες
Ὑπέρδικον Νέμεσιν. — θρασείᾳ
Δὲ πνέων καρδίᾳ

Μόλεν

τῷ γελοίῳ καὶ ἄσεμνά ἐστι. τίνα γὰρ λόγον ἂν ἔχοι, ἥδεσθαι τὸν Ἀπόλλωνα τοῖς ὀρθιάζουσιν ὄνοις, φησί.

57. Μοῖσα δ' ἐκ ἀποδαμεῖ] ἡ δὲ μοῦσα ἐκ ἔστιν ἀπόδημος ἀπὸ τῶν τρόπων καὶ τῶν ἠθῶν αὐτῶν, οἷον, ἐκ εἰσὶν ἄμουσοι.

58. Πάντᾳ δὲ χοροὶ παρθένων] πανταχῇ δὲ εἰς τὸ τῶν Ὑπερβορέων ἔθνος παρθένων χοροὶ, λύρας τε ἠχοι καὶ κτύποι, καὶ τῶν αὐλῶν δὲ οἱ κτύποι κινοῦνται, τῇ δὲ εὐφύλλῳ δάφνῃ τὰς ἑαυτῶν κεφαλὰς στεφόμενοι εὐωχοῦνται σωφρόνως καὶ σὺν-τως.

64. Νόσοι δ' ὅτε γῆρας ἁλόμενον] ὅτε νόσοι τῇ ἱερᾷ αὐτῶν γενεᾷ, ὅτε ἀληθριον γῆρας μέμικται, μόχθων δὲ καὶ μάχης μακράν εἰσι, τὴν παρὰ τὸ δίκαιον ἐκφεύγοντες ὕβριν, οἷονεὶ, ἐκ ἀδικα πράττοντες καὶ μέμψιν ὑφίστανται παρὰ τῶν θεῶν, ἐφ' οἷς ὅτε νεμεσῶσιν αὐτοῖς οἱ θεοὶ, ἀλλὰ φυγόντες τὴν ὑπὲρ τὸ δίκαιον νέμεσιν, οἰκοῦσι χωρὶς πόνων· ἐ γὰρ ἀδικοῦσιν ἀλλήλους, ἀλλὰ πεφεύγασι τὴν παρὰ τὸ δίκαιόν τι πράσσειν νέμεσιν, τυτέστι μέμψιν.

68. Θρασείᾳ δὲ πνέων καρδίᾳ] τῇ γενναίᾳ δὲ πνευσιῶν ψυχῇ ὁ Περσεὺς εἰς αὐτὲς παρεγένετο, εἰς δὲ τὸ τῶν μακάρων ἀνδρῶν ἔθνος παραγενομένῳ αὐτῷ προκα-θηγεῖτο ἡ Ἀθηνᾶ.

72. Ἔπε-

Μόλεν Δανάας ποτὲ παῖς, ἄγειτο δ' Ἀθάνα,
Ἐς ἀνδρῶν μακάρων ὄ-
μιλον, ἔπεφνεν δὲ Γοργό-
να, καὶ ποικίλον κάρα
Δρακόντων φόβαισιν ἤλυθε να-
σιώταις λίθινον θάνατον φέρων. —
Ἐμοὶ δὲ, θαυμάσια

Ε. γ'. Κ. ί.

Θεῶν τελεσάντων,
Οὐδὲν ποτε φαίνεται ἔμμεν ἄπιστον. —
Κώπαν σχάσον· ταχὺ δ' ἄγκυ-
ραν

72. Ἔπεφνέν τε Γοργόνα] ἡ ἱστορία ἔχει τοιαύτη, ὅτι ὁ πάππος Ἀκρίσιος ἀποκυήσασαν τὸν Περσέα τὴν Δανάην, λαθραίως τότε ἐνείρξας αὐτὴν εἰς τὴν κιβωτὸν μετὰ τοῦ παιδὸς, καθῆκεν εἰς τὸ πέλαγος· καὶ προσηνέχθη ἡ κιβωτὸς Σεριφῷ τῇ νήσῳ, ἧς Πολυδέκτης ἐβασίλευε. καί ποτε ἀνερωθέντος αὐτῷ καὶ ἑτοιμένου παρὰ τῷ Πολυδέκτῃ, παρ' ἑτέρων ἕτερα εἰσφερόντων εἰς τὸν ἔρανον, αὐτὸς τὴν τῆς Γοργόνος κεφαλὴν ὑπέσχετο· ὁ δὲ Πολυδέκτης εὐκαίρου τὴν πρόφασιν λαβὼν, τὴν ὑπόσχεσιν ἀπῄτει αὐτὸν, καὶ ἐξήλαυνε τῆς νήσου πρὸς τὸ κομίσαι τὴν κεφαλήν· ἦρα γὰρ τῆς μητρὸς αὐτοῦ. ὁ δὲ ἀπελθὼν καὶ τεμὼν τῆς Γοργόνος τὴν κεφαλὴν εἰσήνεγκεν εἰς τὸν ἔρανον, καὶ πάντας ἀπέλιθωσε τοὺς ἐν τῷ συμποσίῳ, καὶ αὐτὸν τὸν Πολυδέκτην. Ζητεῖται δὲ, πῶς εἰς Ὑπερβορέας ἦλθεν ὁ Περσεὺς, ἐπὶ τῷ ἀποτεμεῖν τὴν κεφαλὴν τῆς Γοργόνος. οἱ γὰρ Ὑπερβόρεοι πρὸς τοῖς Ἀρκτῴοις οἰκοῦσιν, αἱ δὲ Γοργόνες, κατὰ μέν τινας, ἐν τοῖς Ἐρυθραίοις μέρεσι καὶ τοῖς Αἰθιοπικοῖς, ἃ ἔστι πρὸς ἀνατολὴν καὶ μεσημβρίαν, κατὰ δέ τινας, ἐπὶ τῶν περάτων τῆς Λιβύης, ἃ ἐστι πρὸς δύσιν. ὅτι δὲ αἱ Γοργόνες ἐκ εἰσὶ πρὸς Ἄρκτους, δῆλον. οὐδεὶς γὰρ ἱστόρησεν.

76. Ἐμοὶ δὲ θαυμάσαι (sic)] ἐμοὶ δὲ ὥστε θαυμάσαι, οὐδὲν εἶναι ἄπιστον φαίνεται, θεῶν καταπραξαμένων. ἢ ὅτως· ὥστε θαυμάσιον, ὥστε ἄπιστον οὐδὲν ἐμοὶ φαίνεται τῶν ὑπὸ θεῶν ἐμοὶ γινομένων. Ὅμηρος (Odyss. X, 306.)·

Θεοὶ δέ τε πάντα δύνανται.

79. Κώπαν σχάσον] ἐπιτιμᾷ ἑαυτῷ ὁ Πίνδαρος, ὡς πολλῇ χρησαμένῳ τῇ παρεκβάσει, καὶ τροπικῶς προάγεται τὸν λόγον, ὡς ἐπὶ

ραν ἔρεισον χθονὶ
Πρώραθε, χοιράδος ἄλκαρ πέτρας. —
Ἐγκωμίων γὰρ ἄωτος ὕμνων
Ἐπ' ἄλλοτ' ἄλλον, ὡς τε μέ-
λισσα, θύνει λόγον. —

Ε. δ'. Κ. ί.

Ἕλπομαι δ', Ἐφυραίων

Ὅπ'

ἐπὶ νεώς· ἐπεὶ κωλύει τὰς ναῦς ἐξοκέλλειν ἐπὶ τὰς πέτρας, οἷον ἀλέξησιν τῆς πέτρας, ὅπως σώσῃ τὴν πρώραν ἀπὸ τῆς πέτρας. ὁ δὲ νῆς· παῦσον τὴν κώπην, ταχέως δὲ τὴν ἄγκυραν ἀπὸ τῆς πρώρας τῇ γῇ κατέρεισον νῆ κατάθες, ὥσαν τὴν ἄγκυραν βοήθημα καὶ ἀλέξημα τῆς χοιράδος πέτρας. χοιράδες δὲ λέγονται πέτραι αἱ ὕφαλοι ἐφ' ὧν καχλάζει τὸ κῦμα, καὶ λανθάνειν αὐτὰς ὑποκειμένας παρασκευάζει, ὥστε λανθάνειν προσπλεύσας τὰς ναῦς. τὸ δὲ πρώραθεν, ὅτι ἐκ τῆς πρώρας καθίεντο αἱ ἄγκυραι εἰς τὴν θάλασσαν.

85. Ἕλπομαι δ' Ἐφυραίων] φατρία παρὰ Θεσσαλοῖς ἡ τῶν Ἐφυραίων. οἱ δὲ, ὅτι κάλλιον τῆς Κρανωνίας ἤκουσαν. ἡ γὰρ Κρανὼν τὸ πρότερον Ἔφυρα ἐκαλεῖτο, ὕστερον δὲ μετωνομάσθη Κρανών, ἀπό τινος βασιλεύσαντος Κρανῶνος, καὶ ἀναιρεθέντος ὑπὸ Οἰνομάου, μνησευσαμένου τὴν Ἱπποδάμειαν. Ἐζήτηται δέ τισι, τίνας νῦν τοὺς Ἐφυραίους φησίν; ὁ μὲν γὰρ Ἀγέστρατος τοὺς Κορινθίους φησὶν· Ἔφυρα γὰρ ἡ Κόρινθος, ὡς καὶ Ὅμηρος (Il. VI, 152.).

Ἔστι πόλις Ἐφύρη μυχῷ Ἀργεος ἱπποβότοιο.

καὶ ἀποδίδωσι τὴν διάνοιαν οὕτως· ὅτι νικήσει ὁ νικηφόρος Ἰσθμια, καὶ ἀπὸ τῶν Κορινθίων ἀνυμνήσεται. γελοῖον δέ. τί γὰρ μᾶλλον εἶπερ εὔχεται μὴ τὸν Ὀλυμπιακὸν ἀγῶνα νικήσειν. τινὲς δὲ Ἐφυραίους τοὺς ἐν Θεσπρωτίᾳ ἤκουσαν, ὡς καὶ Ὅμηρος μνημονεύει (Il. II, 659.)·

Τὴν ἄγεν' ἐξ Ἐφύρης ποταμοῦ ἀπὸ Σελλήεντος.

ὁ δὲ Πίνδαρος ἀμφὶ Πηνειόν φησιν αὐτούς. δῆλον δὲ δήπουθεν, ὡς ὁ Πηνειὸς τῆς Θεσσαλίας ἐστὶ, καὶ φαίνεται, ὅτι Ἐφυραίους ἤτε τοὺς ἐν Θεσπρωτίᾳ, ἤτε τοὺς Κορινθίους φησί. ζητέον ὖν, ὅτι τοὺς Κρανωνίους. Κρανὼν δὲ πόλις Θεσσαλίας· Θεσσαλὸς δὲ καὶ ὁ νικηφόρος. ὕτω δὲ πρότερον οἱ Κρανώνιοι Ἐφυραῖοι ἐκαλοῦντο. μαρτυρεῖ δὲ τοῦτο Καινέας, φησὶ γὰρ ἄρχεσθαι αὐτὸν ὑπὸ τῶν Κρανώνι, καὶ ἐλθεῖν ἐπὶ τὸν τῆς Ἱπποδαμείας γάμον ἐν Πίσῃ, εἶτα ἐκεῖ καταγρέψαντα τὸν βίον· οἱ Θεσσαλοὶ

Ὀπ' ἀμφὶ Πηνειὸν γλυκεῖαν
Προχεόντων ἐμὰν,
Τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς,
Ἑκατι σεφάνων, θα-
90 ητὸν ἐν ἄλιξι θησέ-
μεν ἐνί τε παλαιτέροις,
Νέαισίν τε παρθένοισι μέλη-
μα. — καὶ γὰρ ἑτέροις ἑτέρων ἔρως
Ἐκνιξέ γε φρένας·

Α. δ'. Κ. ί.

95 Τῶν δ' ἕκαστος ὀρέξει,
Τυχών κεν, ἀρπαλέαν σχέθοι φρον-
τίδα τὰν παρ' ποδός.
Τὰ δ' εἰς ἐνιαυτὸν ἀτέκμαρτον προνοῆσαι. —
Πέποιθα ξενίᾳ προσ-

ανεῖ

φαλοὶ τὴν Ἔφυραν καλουμένην πόλιν, εἰς τιμὴν τῆ τεθνηκότος, Κρανώνα μετωνόμασαν. ὁ δὲ νῦς ἕτως· ἐλπίζω δὲ τῶν Κρανωνίων τῶν περὶ τὸν Πηνειὸν ποταμὸν τὴν ἐμὴν ᾠδὴν ἔτι καὶ πλέον τὸν Ἱπποκλέαν ᾀδόντων ἕνεκεν τῶν σεφάνων σὺν ταῖς ᾠδαῖς, θαυμαστὸν καὶ ἐπίδοξον ἐν τοῖς ὁμήλιξι θεῖναι, καὶ ἀποδεῖξαι, καὶ ἐν τοῖς πρεσβυτέροις ἀνδράσι καὶ ταῖς νεωτέραις παρθένοις φροντίδα καὶ μέριμναν, ἀπὸ κοινῆ θησέμεν.

93. Καὶ γὰρ ἑτέροισιν (sic) ἑτέρων ἔρως] ὁ λόγος· καὶ γὰρ ἄλλοις τισι τῶν ἀνθρώπων ἄλλων πραγμάτων ἔρως ὑπεκίνησε τὰς φρένας. ὃ γὰρ πάντες τῶν αὐτῶν ἐπιθυμοῦμεν. ὕτος ἂν ἠράσθη τῆ ἀθλεῖν, καὶ ἐφρόντισεν· αἱ δὲ παρθένοι διὰ τὰς ἐμὰς ὕμνους φροντίδα ἔξουσι.

95. Τῶν δ' ἕκαστος ὀρέξει] τὴν μέριμναν τις, φησὶ, περὶ ἧς ἕκαστος φροντίζει τελειώσας, ὑπὸ τὸν καιρὸν ἐκεῖνον προσηνῶς διάγει, ἢ ἕτως· ὧν ἄν δέ τις ἐρᾷ καὶ ἐπιθυμεῖ, τυχὼν τῆς περὶ πόδας ἐπιθυμίας, ἡδίστην ἂν σχοίη τὴν μέριμναν, οἱονεὶ ἀμέριμνος λοιπόν ἐστι.

98. Τὰ δ' εἰς ἐνιαυτὸν] τὰ δὲ μετ' ἐνιαυτὸν μέλλοντα προγνῶναι ἄδηλον, καὶ ἀδύνατον.

99. Πέποιθα ξενίᾳ προσανεῖ Θώρακος] Θώραξ εἷς τῶν Ἀλευά-

ἀνέϊ Θώρακος, ὅς περ
Ἐμὰν ποιπνύων χάριν
Τόδ' ἔζευξεν ἅρμα Πιερίδων
Τετράορον, φιλέων φιλέοντ', ἄγων
Ἄγοντα προφρόνως. —

Ε. δ'. Κ. ή.

Πειρῶντι δὲ καὶ χρυ-
σὸς ἐν βασάνῳ πρέπει καὶ νόος ὀρθός. —
Ἀδελφεοὺς δὲ ἐπαινή-
σομεν ἐσλούς· ὅτι

Ὑψῦ

δων, ἑταῖρος τῦ νικηφόρυ, ὃς καὶ ἠξίωσε τὸν ποιητὴν ἐπὶ τῇ νίκῃ τὸ ἑταίρυ συντάξαι τὸν ἐπίνικον. ὁ δὲ νῦς· πεπίστευκα δὲ καὶ τῇ προσηνεῖ φιλίᾳ τῦ Θώρακος, ὅτις τὴν ἐξ ἐμῦ χάριν ἐπιθυμῶν, τῦτο τὸ τῶν μυσῶν ἅρμα τέθριππον ἔζευξε· λέγει δὲ τὸν ὕμνον· ὅτι αὐτὸς ἔπεισε γράψαι τῷ νικηφόρῳ τὸν ἐπίνικον.

103. Φιλέων φιλέοντ', ἄγων ἄγοντα] ἤτοι ἀπαγόμενός με πρὸς τὴν φιλίαν τῦ ἀθλητῦ, ἐποίησέ με γράψαι τὸ ποίημα· ἢ, τὸν ἀθλητὴν ἐπαγόμενος πρὸς τὴν φιλίαν μυ, ἐποίησέ με εἰς αὐτὸν γράφειν· ἢ τὸ ἄγοντα, ἀντὶ τῦ ἀγόμενον, ἵν' ᾖ, καὶ ἐμὲ αὐτὸν βυλόμενον, καὶ ἑκυσίως ἀγόμενον.

105. Πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει] ὥσπερ, φησὶ, τῷ πειράζοντι τῇ βασάνῳ ὁ χρυσὸς πρεπτός ἐστι, τυτέστιν, ἔκπρεπὴς, πότερον καλὸς ἐστιν ἢ κίβδηλος, ὕτω καὶ ὁ ὀρθὸς νῦς ἐκ τῆς πείρας δοκιμάζεται· ὅτος ἂν κράτισος ἐξήτασται ἐν φιλίᾳ. Ἄλλως. ἔξωθεν τὸ, πείρᾳ δείκνυται· τῷ δὲ ἀποπειρωμένῳ καὶ δοκιμάζοντι ὁ χρυσὸς ἐν τῇ βασάνῳ διαπρέπει, καὶ τὸ ἑαυτῦ δείκνυσιν ἀνθηρὸν τῆς ὕλης. βάσανος δὲ λίθος ἐστὶ Λυδία, πρὸς ἣν ὁ χρυσὸς ἀκονούμενος διαπρέπει. ὁ δὲ νῦς ὅλος· ὥσπερ ὁ χρυσὸς διὰ τῆς Λυδίας λίθυ δοκιμάζεται, ὕτω πείρᾳ καὶ ἔργῳ ὁ τῶν φίλων τρόπος.

107. Ἀδελφεύς τ' (sic) ἐπαινήσομεν ἐσλὸς] τὺς δὲ τῦ Θώρακος ἀδελφὺς ἀγαθὺς ὄντας ἐγκωμιάσομεν, ὅτι τὺς τῶν Θεσσαλῶν νόμυς αὔξοντες, εἰς ὕψος ἐπαίρυσιν οἰονεὶ, δικαίως ἄρχοντες ἐπαίρυσι τὺς νόμυς τῇ δικαιοσύνῃ.

110. Ἐ

Ὑψῦ φέροντι νόμον Θεσσαλῶν
Αὔξοντες. ἐν δ' ἀγαθοῖσι κεῖνται
Πατρωΐαι κεδναὶ πολί-
ων κυβερνάσιες.

110. Ἐν δ' ἀγαθοῖσι κεῖνται] ἔνθα, ἐν τῇ Θετταλίᾳ, ἀγαθοῖς ἦσι τοῖς Ἀλευάδαις, αἱ πατρικαὶ καὶ ἔνδοξοι κυβερνήσεις κεῖ διοικήσεις ἀπόκεινται. ἢ ὕτως· οἱ ἀγαθοὶ κυβερνῶσι τὰς ἑαυτῶν πατρίδας.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τῆ αὐτῆ (XI.) εἴδες.

Τῆς ἑνδεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐννέα. Τὸ α΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ β΄ Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ γ΄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ δ΄ τροχαϊκὸν δίμετρον καταληκτικόν. Τὸ ε΄ τροχαϊκὸν δίμετρον (ὑπερκατάληκτον) λελυμένον. Τὸ ϛ΄ ἐφθημιμερὲς δακτυλικόν. Τὸ ζ΄ παιωνικὸν δίμετρον καταληκτικόν. Τὸ η΄ ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ θ΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτῆ. Ἡ δὲ ἐπῳδὴ κώλων ἓξ. Τὸ α΄ χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ β΄ Φερεκράτειον ἀπὸ βραχειῶν ἀρξάμενον. Τὸ γ΄ ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον. Τὸ δ΄ περίοδος ἐξ ἰαμβων καὶ τροχαίων. Τὸ ε΄ τὸ αὐτό. Τὸ ϛ΄ ἰαμβικὸν δίμετρον καταληκτικόν.

ARGVMENTVM VNDECIMI CARMINIS.

Cadmi et Harmoniae filiae, Semele atque Ino, cum Alcmena ite ad Meliam (nympham) in templum Apollinis Ismenii, quo vos iam victoris pompa vocat, vt Themin, Pythonem et Delphicum oraculum, atque hymnum in honorem Thebarum et Pythiorum canatis (1 — 20), in quibus Thrasydaeus patriam domum tertium victoria exornauit, reportata in campis (Phocicis) Pyladis, amici Orestis (— 24). Hunc, patre (Agamemnone) caeso, Arsinoe manibus Clytaemnestrae eripuit, quo tempore Troianam Cassandram vna cum Agamemnone interfecit crudelis femina (— 33). Vtrum eam Iphigeniae (filiae) caedes ad Euripum (Aulide) facta impulit ad vindictam? aut concubitus cum alio viro (Aegisthо)? Flagitium maxime inuisum iuniorum vxorum, quod non celatur aliorum linguis. Maledici sunt ciues: magna fortuna non minorem sustinet inuidiam; vulgus clam obtrectat (— 46). Periit fero in Laconiam reuersus Agamemnon, secumque Cassandram perdidit abstractam, cum Troia Helenae causa destrueretur (— 52). Sed Orestes adulescens ad Strophium senem confugit, qui ad Parnassum regnabat, serius vero matrem atque Aegisthum occidit (— 57). Profecto, amici, a recta via deuerti, aut ventus me, vt nauem, extra cursum compulit. Musa, si mercede pacta esses carmen, tuum esset nunc hoc nunc alio modo vel patrem victoris vel Thrasydaeum celebrare, felicitate et gloria insignes (— 69). Olim

quadrigis Olympicam, cursu Pythicam victoriam sunt adepti. Honesta diuinitus contingere mihi cupio, appetens quae iuuentuti conueniunt (— 78). Nam videns in ciuitate mediocrem conditionem magis florere, sperno tyrannorum sortem et virtutibus ciuilibus studeo (— 82). Inuidi sibi malum arcessunt. Qui consecutus summa et quiete viuens ab insolentia sibi temperat, ei mors erit pulcrior, cum posteris clarum reliquerit nomen (— 90). Quemadmodum Iolaus, Castor atque Pollux, qui nunc Therapnis nunc in Olympo viuunt, hymnis celebrantur (— fin.)

ΕΙΔΟΣ ιά.

ΘΡΑΣΥΔΑΙΩι ΘΗΒΑΙΩι

ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ.

Σ. ά. Κ. Θ'.

Κάδμε κόραι, Σεμέλα
Μὲν Ὀλυμπιάδων ἀγυιᾶτις, Ἰ-
νὼ δὲ Λευκοθέα ποντίαν
Ὁμοθάλαμε Νηρηΐδων,
Ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ
Ρ 4 Ματρὶ

Θρασυδαίῳ] γέγραπται ἡ ᾠδὴ Θρασυδαίῳ παιδὶ Θηβαίῳ σταδιεῖ τῷ προκειμένῳ, νικήσαντι τὴν κὴ Πυθιάδα, κὴ λγ' δίαυλον ἢ στάδιον ἄνδρας. ὃκ εἰς τὴν τῦ διαύλυ νίκην γράφει, ἀλλ' εἰς τὴν τῦ σταδίυ.

1. Κάδμε κόραι, Σεμέλα μὲν] τῷ εἶναι Θηβαῖον τὸν Θρασυδαῖον, τὰς ἀποθανατισθείσας ἐν Θήβαις ἡρωΐδας ἐπικαλεῖται. προοιμιάζεται δὲ κατὰ τὸν προσαγορευτικὸν λόγον, κὴ οὐχὶ κατὰ τὸν διηγηματικόν· πρὸς γὰρ αὐτὰς ἀποτείνεται, οὐχὶ δὲ περὶ αὐτῶν λέγει. τὸ δὲ, ἀγυιᾶτις, ἀντὶ τῦ, ὦ ἀγυιᾶτις, ὡς κὴ παρ' Ὁμήρῳ (Il. III, 277.)·

Ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς.

κὴ (Odyss. XVII, 415.), Δὸς, Φίλος. ἀγυιᾶτις ὄν, ἀντὶ τῦ, σύνοικε τῶν θαλαττίων Νηρηΐδων. ὁ δὲ νᾶς· ὦ Κάδμυ κόραι, Σεμέλη μὲν, τῶν Ὀλυμπίων θεῶν σύνοικε, Ἰνὼ δὲ, τῶν Νηρηΐδων, παραγίνεσθε σὺν τῇ μητρὶ τῦ ἀριστογόνυ Ἡρακλέος, φημὶ δὴ τῇ Ἀλκμήνῃ, παραγίνεσθε, ὦ ἡρωΐδες, εἰς Μελίαν, κὴ τῶν τιμίων τριπόδων εἰς τὸν ἄδυτον ἀνθρώποις θησαυρόν· τὴν Μελίαν φησὶ, τὸ δὲ ἄδυτον πρὸς τὸ ἅγαν σεπτόν.

5. Ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ ματρὶ] ἴτε εἰς τὸν ἄδυτον, ὅς ἐστι χρυσέων τριπόδων θησαυρός. πυκνῶς δὲ τίθησιν ὁ Πίνδαρος κατὰ τὸ ἀρσενικὸν, τὸν ἄδυτον. προσκαλεῖται δὲ τὰς Θήβησιν ἡρωΐδας εἰς τὸ Ἰσμήνιον ἥκειν, ἐν ᾧ τὸ τῦ Πηνέρυ ἱερόν ἐστι χρηστήριον. τριπόδων δὲ εἶπε θησαυρὸν τὸ Ἰσμήνιον διὰ τὸ αὐτόθι πολλὰς

Ματρὶ παρὰ Μελίαν χρυσέων
Ἐς ἄδυτον τριπόδων
Θησαυρὸν, — ὃν περίαλλ' ἐ-
τίμασε Λοξίας,

Α. ά. Κ. θ'.

Ἰσμήνιον δ' ὀνύμα-
ξεν ἀλαθέα μαντεῖον θῶκον, — ὦ
Παῖδες Ἁρμονίας, ἔνθα καὶ
Νυν ἐπίνομον Ἡρωΐδων
Στρατὸν ὁμηγυρέα καλεῖ συνίμεν,
Ὄφρα Θέμιν ἱερὰν Πυθῶ-
νά τε καὶ ὀρθοδίκαν

Γᾶς

λὰς ἀνακεῖσθαι τρίποδας. οἱ γὰρ Θηβαγενεῖς ἐτριποδοφόρουν ἐκεῖσε. ἡ δὲ Μελία, Ἰσμηνὸ ἀδελφὴ ὑπὸ Ἀπόλλωνος φθαρεῖσα, καὶ γεννήσασα Τήνερον, ἀφ' ἧ ἐν Θήβαις Τηνερικὸν πεδίον. Ἄλλως. Μελία, Ὠκεανῦ θυγάτηρ, ἐξ ἧς καὶ Ἀπόλλωνος Τήνερος ὁ μάντις, ὃς παρ' Ἰσμηνῷ τῷ ποταμῷ ἐμαντεύετο. καὶ αὐτόθι μαντεῖόν ἐστιν, ὃ καλεῖται Ἰσμήνιον, ἔστι δὲ καὶ κρήνη ὁμώνυμος τῇ ἡρωΐδι. ὁ δὲ νῦς· ὃν τινα τὸν ἄδυτον θησαυρὸν ὁ Ἀπόλλων ἐξόχως ἐτίμησε καὶ ὠνόμασε καὶ αὐτὸν Ἰσμήνιον μαντεῖον, καὶ ἀληθέστατον θεὸν ὄντα τὸν ἄδυτον θησαυρὸν, τυτέστι τὸ Ἰσμήνιον μαντεῖον, ἀληθῆ τῶν μαντευμάτων καθέδραν.

12. Ἔνθα καὶ νῦν (sic) ἐπίνομον] εἰς τὸ Ἰσμήνιον καλεῖ συνέρχεσθαι ἐπίνομον τῶν ἡρωΐδων στρατόν. ἐπίνομον στρατὸν εἶπε τὰς ἐπινεμομένας καὶ ἐποπτευούσας τὰς Θήβας. ἢ ἐπίνομον, τὸν σύννομον Θήβαις, τὸν ἐπὶ τῇ αὐτῇ νομῇ καὶ τῆς αὐτῆς ἐπινομῆς. τίς δὲ καλεῖ; ἤτοι ὁ Ἀπόλλων καλεῖ διὰ τὴν νίκην, ἢ καὶ ἡ Μελία, ὅπερ καὶ βέλτιον. θηλεῖα γὰρ θηλείας εὐλόγως συγκαλοίη. ὁ δὲ νῦς· καὶ νῦν ἐνταῦθα, ἐπὶ τῶ παρόντος, τῶν ἐντοπίων ἡρωΐδων συνηθροισμένων τὸ πλῆθος προσκαλεῖται προσελθεῖν, ἤτοι ὁ νικηφόρος, ἢ ὁ Ἀπόλλων, ἢ ἡ Μελία, ὅ καὶ βέλτιον.

15. Ὄφρα Θέμιν ἱερὰν] Θέμιδος ἦν τὸ χρηστήριον, ὅθεν καὶ τὸ θεμιτεύειν. ὁ δὲ νῦς· ὅπως ἂν τὴν ἱερὰν Θέμιν, καὶ τὴν Πυθῶνα, καὶ τὸν ὄντα ὀμφαλὸν τῆς γῆς, ὑμνήσητε σὺν πανυχίσι χάριν κατατιθέμενοι ταῖς ἑπταπύλοις Θήβαις, καὶ τῷ τῆς Κίρρας ἀγῶνι.

21. Ἐν

Γᾶς ὀμφαλὸν κελαδῆτε
Ἄκρα σὺν ἑσπέρᾳ,

Ε. ά. Κ. ϛ΄.

Ἑπταπύλοισι Θήβαις
Χάριν ἀγῶνί τε Κίρρας·
Ἐν τῷ Θρασυδαῖος ἔμνασεν ἑστίαν
Τρίτον ἐπὶ στέφανον πατρῴαν βαλών,
Ἐν ἀφνεαῖς ἁρπάγαισι Πυλάδα νικῶν,
Ξένᾳ Λάκωνος Ὀρέστα.

Σ. β΄. Κ. θ΄.

Τὸν δή, φονευομένᾳ
P 5 Πατρὸς,

21. Ἐν τῷ Θρασυδαῖος ἔμνασεν] ἐν ᾧ, τῷ τῆς Κίρρας ἀγῶνι, φησὶ δὲ τῷ Πυθικῷ, ἐπιβαλὼν τρίτον στέφανον, τὴν πατρικὴν μνήμην ἤγαγε τῶν πατρικῶν κατορθωμάτων, νικῶν ἐν τῇ χώρᾳ τῇ Πυλάδου, τῇ φίλῃ τῇ Λάκωνος Ὀρέστου. Ἄλλως. ἐν τῷ προκειμένῳ ἀγῶνι τῆς Κίρρας, ἐν τοῖς Πυθίοις, ἀνέμνησε τὴν πατρῴαν ἑστίαν τῶν νικῶν ἐπιβάλλων αὐτῇ τὸν στέφανον. τρίτον δὲ εἶπεν, ὡς ἢ πατρὸς ἢ προγόνου αὐτῷ νενικηκότος τινός. αὐτὸς γὰρ ἅπαξ ἀναγράφεται Πύθια νικήσας. Ἄλλως. ἰστέον, ὅτι τὴν φωκίδα χώραν ἀφνεὰν ἅρπαγαν Πυλάδου εἴρηκε. τῆς γὰρ φωκίδος ἡ Πυθὼν, ἧς Στρόφιος ὁ πατὴρ Πυλάδου ἐβασίλευσε. καὶ ὅτι τὸ, ξένᾳ Λάκωνος Ὀρέστα, τοιοῦτον· ἤτοι ἐν τῇ χώρᾳ τῇ Πυλάδου, ὅτις ἦν τῇ Λάκωνος Ὀρέστῃ ξένος, τὸ δὲ, τρίτον ἐπὶ στέφανον, οὐχ ὅτι αὐτὸς ὁ νικηφόρος τρεῖς ἔσχε νίκας, ἀλλ' ἀναγέγραπται ὁ πατὴρ αὐτοῦ, Ὀλυμπιονίκης γεγονὼς καὶ αὐτὸς εὐτυχήσας, ὅτι τὰς πάσας τρεῖς ὑπέδειξεν αὐτῷ γεγονέναι καὶ τῷ πατρί. ἅρισα τοίνυν ὁ Πίνδαρος τὸ ἐγκώμιον εἰργάσατο. ἐν δὲ τοῖς ἑξῆς σφόδρα ἀκαίρως παρεκβάσει ἐχρήσατο.

25. Τὸν δὴ φονευομένᾳ τῇ (sic) πατρὸς] ἀνείλετο ἡ τροφὸς Ἀρσινόη τὸν Ὀρέστην, φονευομένῃ τῇ πατρὸς ὑπὸ τῆς Κλυταιμνήστρας, φησίν. ἰδίως δὲ ὁ Πίνδαρος Ἀρσινόην εἶναί φησι τὴν Ὀρέστου τροφόν. Φερεκύδης δὲ Λαοδάμειαν λέγων αὐτήν, τὸν ταύτης φησὶ παῖδα ἀνηρῆσθαι ὑπὸ Αἰγίσθου, νομιζόμενον Ὀρέστην εἶναι. τὸν δὲ Ὀρέστην ἐκκλαπέντα εἶναι τριῶν ἐτῶν, ὡς Ἡρόδωρος ἐν Πελοπείᾳ. ὁ δὲ νεὸς· ὄντινα, τὸν Ὀρέστην, φονευομένῃ τῇ πατρὸς αὐτοῦ,

Πατρὸς, Ἀρσινόα Κλυταιμνήστρας χειρῶν ὑπὸ κρατερᾶν ἐκ δόλε
Τροφὸς ἄνελε δυσπενθέος·
Ὁπότε Δαρδανίδα κόραν Πριάμε
Κασσάνδραν πολιῷ χαλκῷ
Σὺν Ἀγαμεμνονίᾳ
Ψυχᾷ πόρευ' Ἀχέροντος
Ἀκτὰν παρ' εὔσκιον

Α. β'. Κ. θ'.

Νηλὴς γυνά. — πότερόν
Νιν ἆρ' Ἰφιγένει', ἐπ' Εὐρίπῳ σφαχθεῖσα τῆλε πάτρας, ἔκνισε
Βαρυπάλαμον ὄρσαι χόλον;
Ἢ ἑτέρῳ λέχει δαμαλιζομέναν
Ἐννύχιοι παράγον κοῖται;
Τὸ δὲ νέαις ἀλόχοις

Ἔχθι-

αὐτῦ, Ἀρσινόη ἡ τροφὸς ἐκ τῶν Κλυταιμνήστρας χειρῶν ὑπὸ τῦ κατ' αὐτῦ δόλε σκευωρημένε ὑπεξέκλεψεν, ὅτε ἡ ἀνηλεὴς γυνὴ τὴν τῦ Δαρδάνε παιδὸς Πριάμε θυγατέρα Κασάνδραν τῷ πολιῷ ξίφει σὺν τῇ τῦ Ἀγαμέμνονος ψυχῇ ἔπεμπε πρὸς τὴν εὔσκιον τῦ Ἀχέροντος ἀκτήν. μετέπεσε δὲ εἰς τὸν περὶ αὐτῦ λόγον.

34. Πότερόν νιν] ἐπιζητεῖ δύο αἰτίας, δι' ἃς τὸν Ἀγαμέμνονα ἀνεῖλε καί φησι· πότερον ἆρα ἡ Ἰφιγένεια ἡ παῖς αὐτῆς, μακρὰν τῆς πατρίδος σφαγεῖσα ἐν τῷ Εὐρίπῳ, ἐλύπησεν αὐτὴν καὶ ἐκίνησεν, ὥστε τὴν ὀργὴν ταύτην ἔχεσαν βαρύτατον τὸ ἐπιχείρημα ἄρασθαι, καὶ λυπῆσαι τολμῆσαι τοσῦτον, ὡς πρὸς τὴν τῦ Ἀγαμέμνονος ὀρμὴν σφαγὴν, ἢ ἑτέρῳ αὐτὴν ἀνδρὶ μισγομένην αἱ νυκτερινοὶ τῆς μοιχείας συνουσίαι παρήγαγον κατὰ τῦ Ἀγαμέμνονος, ὥστε αὐτὸν φονεῦσαι σὺν δόλῳ.

40. Τὸ δὴ (sic) νέαις ἀλόχοις] ὅπερ, φησὶ, τὸ ὑπὸ ἄλλῳ ἀνδρὶ μοιχεύεσθαι, ταῖς νέαις γυναιξὶν ἐχθρότατον ἁμάρτημα, ὅπερ, τὸ τῆς μοιχείας ἁμάρτημα, ἐπικαλύψαι ταῖς ἀλλοτρίαις γλώσσαις ἀδύνατόν ἐστιν· ἢ λαθεῖν τὰς ἔξωθεν ἀποσιωπήσαι, ἀδύνατόν ἐστι πρᾶγμα. οἱ γὰρ ἀλλότριοι λαλοῦσι. κατὰ φύσιν γὰρ λοίδοροί εἰσιν οἱ πολῖται.

45. Ἴσχει

Ἔχθιστον ἀμπλάκιον, κα-
λύψαι τ' ἀμάχανον

Ε. β'. Κ. ς'.

Ἀλλοτρίαισι γλώσσαις. —
Κακολόγοι δὲ πολῖται.
Ἴσχει τε γὰρ ὄλβος ἢ μείονα φθόνον·
Ὁ δὲ χαμηλὰ πνέων, ἄφαντον βρέμει. —
Θάνεν μὲν αὐτὸς ἥρως Ἀτρεΐδας ἰκὼν
Χρόνῳ κλυταῖς ἐν Ἀμύκλαις,

Σ. γ'. Κ. θ'.

Μάντιν τ' ὄλεσσε κόραν,
Ἐπεὶ ἀμφ' Ἑλένᾳ πυρωθέντων Τρώ-
ων ἔλυσε δόμους ἀβρότα-
τος. Ὁ δ' ἄρα γέροντα ξένον,
Στρόφιον, ἐξίκετο νέᾳ κεφαλᾷ,

Παρ-

45. Ἴσχει τε γὰρ ὄλβος ἢ μείονα φθόνον] ἤδη καὶ τῶν ὑπερεχόντων μᾶλλον ἰδίως ἅπτονται ὕτοι. τοῦτο δὲ πρὸς τὸν Ἀγαμέμνονα, ὅτι ἐπιφανὴς ὢν ἐφθονήθη. ἢ ὕτως· ἔχει γὰρ καὶ ἡ εὐτυχία ἢ μικρὸν φθόνον, ὅτι ἀεὶ τοῖς εὐτυχοῦσι βασκαίνουσιν οἱ ἔξωθεν.

46. Ὁ δὲ χαμηλὰ] ὁ δὲ ταπεινὰ καὶ οἰκτρὰ πνέων, τυτέτιν, ὁ εὐτελὴς καὶ πένης ἀφώνως ἠχεῖ, οἷον, ζῇ. διὰ γὰρ τὴν πενίαν εὐτελής τις ὤν, καὶ ἀφανὴς ἐστιν. ἢ ὕτως· ὁ δὲ ταπεινὸς ἀκ ἐν φανερῷ βρέμει.

47. Θάνε μὲν αὐτὸς ἥρως] ἀπέθανε μὲν ἐν αὐτὸς ὁ Ἀγαμέμνων χρόνῳ πολλῷ παραγεγονώς ποτε ἐν Λακεδαίμονι, καὶ τὴν μάντιν ἀπελέσθαι πεποίηκε κόρην Κασάνδραν. αἰτιος γὰρ αὐτὸς τῆ ὑπὸ Κλυταιμνήστρας ἀποθανεῖν αὐτὴν γέγονεν.

50. Ἐπεὶ ἀμφ' Ἑλένᾳ] παραγεγονὼς δὲ ὁ Ἀγαμέμνων εἰς Λακεδαίμονα, τίθνηκεν, ἐπειδή, φησι, περὶ τῇ Ἑλένῃ μαχόμενος συμφλεχθείσης τῆς Τροίας, καὶ τῶν ἐνοικούντων Τρώων, διέλυσε τὰς οἴκας τῆς εὐδαιμονίας, τυτέστι, τὰς πλησίας οἴκας κατεσρέψατο.

53. Νέᾳ κεφαλᾷ] ἀντὶ τοῦ, νέος ὢν ἔτι. ὁ δὲ Ὀρέστης, φησὶν, ἔτι νεώτερος ὢν, τὰς τῆς μητρὸς ἀποφυγὼν χεῖρας, πρὸς Στρόφιον τὸν

Παρνασσῦ πόδα ναίοντ᾽· ἀλ-
λά γε χρόνῳ σὺν Ἄρει
Ἔπεφνε πατέρα, θῆκέ
Τ᾽ Αἴγισθον ἐν Φωναῖς. —

Α. γ᾽. Κ. θ᾽.

Ἦ ῥ᾽, ὦ φίλοι, κατ᾽ ἀμευ-
σίπορον τρίοδον ἐδινάθην, ὀρ-
θὸν κέλευθον ἰὼν τὸ πρίν· ἦ
Μέ τις ἄνεμος ἔξω πλόου
Ἔβαλεν, ὡς ὅτ᾽ ἄκατον εἰναλίαν. —
Μοῖσα, τὸ δὴ τεὸν, εἰ μισθῷ
Γε συνέθευ παρέχειν

Φωνάν

τὸν Πυλάδη πατέρα παρεγένετο, σὶκκῦντος πρὸς τὸ ἔσχατον τῦ Παρνασσῦ.

55. Ἀλλὰ χρόνῳ (sic) σὺν Ἄρει] ἀλλὰ χρόνῳ ποτε ἡβήσας ὁ Ὀρέστης, καὶ ἐν τῇ πατρίδι παραγεγονὼς, τῷ ξίφει ἀνεῖλε τὴν μητέρα, καὶ τὸν Αἴγισθον ἔθηκεν ἐν Φωναῖς. Φωναὶ δὴ, οἱ τόποι, εἰς ὃς φονεύονται, καλοῦνται. Ὅμηρος (Il. X, 521.)· Ἐν ἀγαλέῃσι φονῆσι.

58. Ἦ ῥ᾽ ὦ φίλοι, κατ᾽ ἀμευσίπορον] συνήθηται καὶ αὐτὸς ἀκαίρῳ παρεκβάσει κεχρημένος, καὶ φησιν· ὦ φίλοι, ἆρα ἐπλανήθην τῆς ὁδῦ, τὸ πρότερον ἀρθὴν πορευόμενος ὁδόν· ἢ ἄνεμός με τῦ πλῦ παρέσφηλεν. ἀμευσίπορον δὲ φησιν, ὃν ἀμείβομεθα, καὶ ἀνιόμεν, μὴ κατὰ πλάνην παρεκτρεχόμενοι. διὸ ἀπέτρεψε τὸν λόγον πρὸς τὴν Μῦσαν, καὶ φησιν· εἰ συνέθυ καὶ μισθὸν ἔλαβες, ἵνα ἐγκωμιάσῃς τὸν νικηφόρον, δέον ἐστὶ, τὸν ὕμνον ἄλλοτε ἄλλῃ μετάγειν, ἢ περὶ τῦ Θρασυδαίᾳ τι λέγοντας, ἢ περὶ τῦ κατρὸς αὐτῦ τῦ Πυθιονίκη. ὑπάρχυρος γάρ ἐστιν ἡ φωνὴ καὶ ἔμμισθος, ὥστε ἃ δεῖ παρεκβαίνειν καὶ περὶ ἄλλων λέγειν, μισθὸν εἰληφότα. Ἄλλως. Ἦ ῥ᾽, ὦ φίλοι. ἐσφάλη ὁ Πίνδαρος τῦ δέοντος, παρεκβάσει χρησάμενος· κατὰ τρίοδον δὲ πεπλανῆσθαί φησιν, ἐπειδὴ δοκεῖ ὁ ἀπ᾽ εὐθείας ἐν τριόδῳ παραγινόμενος ἀπορεῖν, ὁποίαν ὀφείλει βαδίσαι ὁδόν. ὁ δὲ νῦς· νοὶ δή, ὦ φίλοι, κατ᾽ ἀμευσίπορον ὁδὸν ἐπλανήθην, εὐθεῖαν τὸ πρότερον πορευόμενος, ἢ ἄνεμός με τις ἐξέβρῖψε τῦ δέοντος πλῦ, καὶ ἐκπεσεῖν ἐποίησεν, ὡς θαλάσσης ναῦν.

63. Εἰ μισθῷ συνέθευ] εἰ δὲ ἀληθῶς, ὦ Μῦσα ἡμετέρα, μισθὸν καὶ ἀργυρίου τὴν σὴν φωνὴν ὑπέσχῃ

Φωνὰν ὑπάργυρον, ἄλλ'
Ἄλλοτε ταρασσέμεν

Ε. γ'. Κ. ε'.

Ἢ πατρὶ Πυθονίκῳ
Τό γέ νυν, ἢ Θρασυδαίῳ·
Τῶν εὐφροσύνα τε καὶ δόξ' ἐπιφλέγει.
Τὰ μὲν ἐν ἅρμασι καλλίνικοι πάλαι
Ὀλυμπία ἀγώνων πολυφάτων ἔσχον
Ἀκτῖνα θοὰν σὺν ἵπποις·

Σ. δ'. Κ. θ'.

Πυθοῖ δὲ γυμνοὶ ἐπὶ
Στάδιον καταβάντες ἤλεγξαν Ἑλ-
λανίδα ῥατιὰν ὠκύτα-
τι. — Θεόθεν ἐραίμαν καλῶν,
Δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ.

Τῶν

ὑπέσχε παρασχεῖν, ἄλλοτε ἄλλα ὀφείλοις ἀνακινεῖν ἐγκώμια. ὀφείλεις δὲ ἐπὶ τῷ παρόντος ἀνακινεῖν τὸ ἐγκώμιον ἢ αὐτῷ τῷ πατρὶ τῷ Πυθιονίκῃ, ἢ αὐτῷ τῷ Θρασυδαίῳ, ὧν ἡ δόξα τ.ς νίκης καὶ ἡ εὐφροσύνη, πανταχῇ διαλάμπει.

66. Ταρασσέμεν] ἀντὶ τῦ τάρασσε, καὶ μετάφερε.

70. Τὰ μὲν ἅρμασι καλλίνικοι πάλαι] τὰ μὲν γὰρ ἅρμασι καὶ τεθρίππῳ σὺν τοῖς ἵπποις τὸ παλαιὸν καλλίνικοι γενόμενοι, τῶν πολυθρυλλήτων ἀγώνων ἔσχον τὴν ταχείαν ἀκτῖνα καὶ λαμπηδόνα ἐν Ὀλυμπίᾳ. ἀπὸ κοινῦ δὲ τὸ νικήσαντες ἀκτῖνα ἔσχον, καὶ τῷ Πυθοῖ δὲ κατελθόντες ἐπὶ τὸ γυμνὸν στάδιον ἀγωνίσασθαι, ἤλεγξαν τῇ τῶν ποδῶν ταχυτῆτι τὸν τῶν Ἑλλήνων ὄχλον, παρὰ πάντας εὐδοκιμήσαντες μόνοι. τὸ δὲ ὅλον, ὕτω φησίν· οἱ μὲν πρόγονοι αὐτῦ ἔσχον Ὀλυμπικὰς νίκας, αὐτὸς δὲ ὁ Θρασυδαῖος ἐν τῇ Πυθοῖ τάδιον ἐνίκησε. τὸ δὲ τῷ Θρασυδαίῳ πεπραγμένον συλληπτικῶς ἐπὶ πάντων τέταχεν.

76. Θεόθεν ἐραίμαν καλῶν] θεῶν δὲ βελήσει ἔρωτα ἔχοιμι τῶν καλῶν, τὲ δυνατὰ ἐπιθυμῶν ἐν τῇ παρούσῃ μοι ἀεὶ ἡλικίᾳ, τυτέσιν, ἑκάστοτε.

78. Τῶν

Τῶν γὰρ ἀνὰ πόλιν εὑρίσκων
Τὰ μέσα μακροτέρῳ
Ὄλβῳ τεθαλότα, μέμφο-
μ' αἶσαν τυραννίδων.

Α. δ'. Κ. Θ'.

Ξυναῖσιν ἀμφ' ἀρεταῖς
Τέταμαι. Φθονεροὶ δ' ἀμύνοντ' ἄτᾳ. —
Εἴ τις ἄκρον ἐλὼν ἡσυχᾷ
Τε νεμόμενος αἰνὰν ὕβριν
Ἀπέφυγεν, μέλανος ἂν ἐσχατιὰν
Καλλίονα θανάτᾳ ἔσχεν,
Γλυκυτάτᾳ γενεᾷ

Εὐώνυ-

78. Τῶν γὰρ ἀνὰ πόλιν] τῶν γὰρ κατὰ πόλιν, φησὶν, εὑρίσκων τὰ τοιαῦτα τῶν πραγμάτων ἐπὶ πλεῖστον χρόνον θάλλοντα, ὅσα τὸ ἄκρον οὐκ ἔχει τῆς εὐδαιμονίας, μέμφομαι τὰς τυραννίδας, μέμφομαι τῆς τῆς ὑψηλῆς καὶ τυραννικῆς ἐπιθυμοῦντας τύχης.

82. Ξυναῖσιν] περὶ ταῖς κοιναῖς δὲ καὶ συμμέτροις ἀρεταῖς, εὐτυχίαις, τὴν ἐπιθυμίαν τεταμένην ἔχω.

83. Φθονεροὶ δ' ἀμύνοντ' ἄτᾳ] οἱ δὲ φθονεροὶ τῇ αὐτῶν ἄτῃ καὶ βασκανίᾳ, φησὶν, ἀμύνονται καὶ βλάπτονται, βασκαίνοντες, εἴ τις τὸ τέλειον τῆς εὐδαιμονίας καὶ εὐτυχίας λαβὼν, καὶ ἐν ἡσυχίᾳ καὶ εἰρήνῃ διάγων, τὴν χαλεπὴν τάσιν καὶ ὕβριν ἀπέφυγε κατὰ τὴν τελευτὴν τὴν τοῦ θανάτου, τοιοῦτος μέχρι καὶ θανάτου δικαίως ἔζησε, καλλίονα καὶ ἐντιμότερον τὸν ἑαυτοῦ θάνατον τῶν ἑαυτοῦ κτημάτων χάριν τῇ ἰδίᾳ αὐτοῦ γενεᾷ παρεσχηκὼς, καὶ καταλιπὼν ἔξωθεν δόξαν, καὶ τὴν μετὰ θάνατον ἑαυτῷ εὐφημίαν. ἢ οὕτω· τὸν δὲ ἄκρως εὐτυχοῦντα, κἂν μετὰ ἡσυχίας ζῇ μηδὲν παρασχὼν πρᾶγμα, ὅμως οἱ πονηροὶ βασκαίνοντες βλάπτουσιν. ἢ οὕτως· εἴ τις, φησὶ, τὸ ἄκρον καὶ τὸ πρῶτον ἔχει, οἱ φθονεροὶ τῇ ἄτῃ αὐτὸν ἀμύνονται, τοιοῦτοι βλάπτονται, ἐπειδὴ ἐπὶ τοῖς ἀλλοτρίοις καλοῖς λυπούμενοι, διαφθείρονται τηκόμενοι. διὸ βέλτιόν ἐστι τὴν μεσότητα σώζειν ἐπὶ πάντων. Μέλανος δὲ θανάτου, τοῦ ᾅδου φησί. εἴτις ὢν μὴ ἔστιν ὑβριστὴς, φησι, καὶ τὸ ἄκρον ἔχει, καλλίονα τὸν θάνατον αὐτῷ περιποιησάμενος, πάντων κτημάτων ἀπολείπει τῇ γενεᾷ αὐτοῦ τὴν εὐφημίαν. ταύτην γὰρ εἶπε κρατίστην χρημάτων χάριν. παντὸς γὰρ χρήματος κρείσσων ἐστὶν ἡ εὐφημία.

91. Ἄτε

Εὐώνυμον πτεάνων κρα-
τίσαν χάριν πορών.

Ε. δ'. Κ. ς'.

Ἄτε τὸν Ἰφικλείδαν
Διαφέρει Ἰόλαον,
Ὑμνητὸν ἐόντα, καὶ Κάστορος βίαν,
Σέ τε, ἄναξ Πολύδευκες, υἱοὶ Θεῶν,
Τὸ μὲν παρ' ἅμαρ ἕδραισι θεράπνας, τὸ δὲ οἰ-
κέοντας ἔνδον Ὀλύμπᾳ.

91. Ἄτε τὸν Ἰφικλείδαν] ἥτις ἡ εὐδοξία ἔνδοξον ὄντα καὶ τὸν Ἰφικλέα παῖδα Ἰόλαον πανταχῆ διάγει καὶ ἐπίσημον ποιεῖ καὶ διατέλλει, καὶ τὸν Κάστορα, καὶ σέ, ὦ δέσποτα Πολύδευκες, υἱοὶ θεῶν, ποτὲ μὲν παρ' ἡμέραν ἐν ταῖς Λακωνικαῖς ὄντας καθέδραις, ποτὲ δὲ ἐν τοῖς τῆ Διὸς οἰκοῦντας, καὶ ἀπὸ κοινῆ τὸ, διάγει ἡ εὐφημία.

95. Τὸ μὲν παρ' ἅμαρ ἕδραισι] τὸ Ὁμηρικὸν παραφράζει (Od. XI, 302 f.)·

Ἄλλοτε μέν τε ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε
Τεθνᾶσιν.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τὸ αὐτὸ (XII.) εἶδος.

Ἡ δωδεκάτη ᾠδὴ καὶ τελευταία μονοστροφική ἐστιν ἐκ κώλων ιδ΄. Τὸ α΄ περίοδος δωδεκάσημος ἐκ σπονδείου καὶ πυρρίχιος καὶ τροχαίου καὶ ἰάμβου. Τὸ β΄ τὸ αὐτό. Τὸ γ΄ δακτυλικὸν πενθημιμερές. Τὸ δ΄ τὸ αὐτὸ τῷ πρώτῳ καὶ δευτέρῳ. Τὸ ε΄ τὸ αὐτό. Τὸ ς΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ζ΄ δακτυλικὸν πενθημιμερές. Τὸ η΄ ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. Τὸ θ΄ τὸ αὐτὸ τῷ πρώτῳ καὶ δευτέρῳ. Τὸ ι΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ια΄ προσῳδιακὸν, μιᾷ συλλαβῇ περιττεῦον, ὅμοιον τῷ· Ἐρασμονίδα Χαρίλαε. Τὸ ιβ΄ τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον. Τὸ ιγ΄ ἐγκωμιολογικὸν παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ ιδ΄ Στησιχόρειον τρίμετρον ἀκατάληκτον.

ARGV-

ARGVMENTVM DVODECIMI CARMINIS.

Rogo te, pulcherrima vrbium, Proſerpinae ſedes, Agrigentum, benigne Pythicam Midae coronam et ipſum excipe (— 11), qui Graecos arte vicit, quam Minerua inuenit, imitata threnum Gorgonum, quem ediderunt, cum Perſeus tertiam ſororem (Meduſam) necaret, Seripho et incolis perniciem afferens. Lumine priuauit Phorci progeniem, et exitioſum Polydectae munus atque matris ſuae ſeruitutem Meduſae capite reddidit Danaes filius, aurea pluuia ſatus (— 31). Poſtquam vero Minerua ex his periculis ſeruauerat amicum, inuenit tibiarum cantum, vt Euryales (Gorgonis) luctum imitaretur (— 38). Inuentam artem hominibus tradidit et multicipitem modum tibiae inſtituit, homines ad certamina cientem, per aes et calamos emiſſum, qui iuxta Gratiarum vrbem (Orchomenum) progerminant, comites chorearum (— 48). Si quae inter homines eſt felicitas, ea non ſine labore paratur; deus vero euentum dat; quod fato deſtinatum eſt, vitari nequit; tempus vero praeter ſpem aliud dare, aliud negare, poteſt (— 56).

ΕΙΔΟΣ ιβ'.

ΜΙΔΑΙ ΑΚΡΑΓΑΝΤΙΝΩΙ ΑΥΛΗΤΗΙ.

Σ. ά. Κ. ιδ'.

Αἰτέω σε, Φιλάγλαε, καλλίστα βροτέων πολίων,
Φερσεφόνας ἕδος, ἄτ' ὄχθαις ἔπι μηλοβότοις
Ναίεις Ἀκράγαντος εὐδμάτου κολώναν, ὦ ἄνα,
Ἵλαος Ἀθανάτων Ἀνδρῶν

Μίδᾳ αὐλητῇ] ἐγέραπται ἡ ᾠδὴ Μίδᾳ Ἀκραγαντίνῳ. ὗτος ἐνίκησε τὴν εἰκοστὴν τετάρτην Πυθιάδα, καὶ τὴν κέ. φασὶ δὲ αὐτὸν καὶ Παναθήναια νενικηκέναι, ἱστοροῦσι δέ τι ἴδιον σύμπτωμα συμβεβηκέναι περὶ τὸν αὐλητὴν τοῦτον· ἀγωνιζομένῳ γὰρ αὐτῷ, ἀνακλασθείσης τῆς γλωσσίδος ἀκουσίως, καὶ προσκολληθείσης τῷ ὑρανίσκῳ, μόνοις τοῖς καλάμοις τρόπῳ σύριγγος αὐλῆσαι, τὰς δὲ θεατὰς ξενισθέντας τῷ ἤχῳ τερφθῆναι, καὶ οὕτω νικῆσαι αὐτόν.

1. Αἰτέω σε, φιλάγλαε καλλίστα] ὁ λόγος ἀπόστασις τῷ Πινδάρῳ πρὸς τὴν ἡρῳΐδα τὴν Ἀκράγαντα, ἢ καὶ τὴν Ἀκράγαντα πόλιν· ὦ φιλόκαλε καὶ καλλίστη τῶν πόλεων, ἥτις εἶ Φερσεφόνης ἕδος, αἰτέω σε, ἵνα ἵλεως δέξῃ τὸ σεφάνωμα τῷ Μίδᾳ, ὃ ἐκ τῶν Πυθῶνος ἤνεγκεν. ὁ δὲ νῦς· αἰτέω σε, ὦ καλλίστη τῶν ἀνθρώπων καὶ φιλόκαλε πόλι, καὶ τῆς Φερσεφόνης ἕδαφος, ἥτις ἐν ταῖς ὄχθαις τῶν προβατοτρόφων Ἀκράγαντος, τὴν εὐκατασκεύαστον Ἀκράγαντα τὴν δμώνυμον σαυτῇ οἰκεῖς πόλιν. ἀπὸ μέρους δὲ τὸ ὅλον ἔφη. ὅλην γὰρ τὴν Σικελίαν ἐδωρήσατο τῇ Φερσεφόνῃ ὁ Ζεύς.

6. Ὦ ἄνα ἵλαος Ἀθανάτων] ὦ δέσποινα Φερσεφόνη, εὐμενὴς

Ἀνδρῶν τε σὺν εὐμενίᾳ
Δέξαι τεφάνωμα τόδ' ἐκ
Πυθῶνος εὐδόξῳ Μίδᾳ,
Αὐτόν τέ νιν, Ἑλλάδα νικά-
σαντα τέχνᾳ· τάν ποτε
Παλλὰς ἐφεῦρε θραισειᾶν Γοργόνων
Οὔλιον θρῆνον διαπλέξαισ' Ἀθάνα.

Α. ά. Κ. ιδ'.

Τὸν παρθενίοις ὑπό τ' ἀ-
πλάτοις ὀφίων κεφαλαῖς
Ἄϊε λειβόμενον
Δυσπενθεῖ σὺν καμάτῳ·

μενὴς σὺν θεῷ καὶ ἀνδρῶν εὐμενείᾳ τὸ ἐκ τῆς Πυθῶνος τεφάνωμα, τὸν ὕμνον, δέξαι τῷ εὐδόξῳ Μίδᾳ.

11. Αὐτόν τε νιν] τὸν Μίδαν, ἀπὸ κοινοῦ τὸ δέξαι, τὴν Ἑλλάδα νικήσαντα τῇ ἑαυτοῦ τέχνῃ.

12. Τάν ποτε Παλλὰς ἐφεῦρε] ἣν τινα, τὴν αὐλητικὴν τέχνην, εὗρετό ποτε ἡ Ἀθηνᾶ τῶν θρασειῶν Γοργόνων τὸν θρῆνον διαπλέξασα καὶ μιμησαμένη.

15. Τὸν παρθενίοις ὑπό τ'] μυθεύεται τι τοιοῦτον, ὅτι, ὅτε ὁ Περσεὺς ἐκαρατόμησε τὴν Μέδουσαν, αἱ δύο ἀδελφαὶ ἐθρήνην τὴν ἀδελφὴν, καὶ ἐκ τῆς κεφαλῆς αὐτῶν, καὶ τῶν ὄφεων τῶν περὶ τὴν κεφαλὴν συριγμός τις ἀνεδίδετο. τοῦτο τοῦ συριγμοῦ καταικούσασα ἡ Ἀθηνᾶ τοῦ ἐκ τῶν ὄφεων προσγινομένου, πρὸς μίμησιν τοῦ θρήνου καὶ τοῦ γινομένου συριγμοῦ ἐκ τῶν ὄφεων, ἐπενόησε τὴν αὐλητικὴν, ἣν καὶ ὠνόμασε πολυκέφαλον νόμον διὰ τοῦτο· ἐπεὶ γὰρ ἐκ τῶν πολλῶν κεφαλῶν τῶν ὄφεων εἷς τις ἀνεδίδοτο συριγμὸς, πολλὰς δὲ κεφαλὰς εἰκότως εἶχον οἱ ὄφεις, διὰ τοῦτο πολυκέφαλον νόμον τὴν κατὰ μίμησιν αὐλητικὴν συνθεῖσα ὠνόμασεν. ὁ δὲ νοῦς· ὃν τινα τὸν θρῆνον ὑπὸ παρθενίοις Γοργόνων κεφαλαῖς καὶ ὀφίων ἁπλησιάτοις κεφαλαῖς ἐπήκουσε, σὺν τῷ δυσπενθεῖ καμάτῳ καὶ θρήνῳ κατασπενδόμενον.

18. Δυσπενθεῖ σὺν καμάτῳ] τῷ τῶν Γοργόνων. ἀδελφὴν γὰρ ἐπένθων κάμνουσαν. αὗται γάρ εἰσιν αἱ παρθένοι κεφαλαί· δῆλον ὅτι αἱ τῶν παρθένων ἀδελφῶν, τῆς Μεδούσης, Σθενούσης (γράφεται καὶ Σθενοῦς) καὶ Εὐρυάλης.

19. Περ-

Περσεὺς ὁπότε τρίτον ἄ-
νυσεν κασιγνητᾶν μέρος,
Εἰναλίᾳ Σερίφῳ
Λαοῖσί τε μοῖραν ἄγων. —
Ἦτοι τό τε θεσπέσιον
Φόρκοι ἀμαύρωσεν γένος,
Λυγρόν τ' ἔρανον Πολυδέκτα
Θῆκε μητρός τ' ἔμπεδον
Δυσσύναν τό τ' ἀναγκαῖον λέχος,
Εὐπαράᾳ κρᾶτα συλήσας Μεδοίσας,

Σ. β'.

19. Περσεὺς ὁπότε τρίτον ἄνυσε κασιγνητᾶν μέρος] τυτέσι τὴν μίαν. τρεῖς γὰρ ἦσαν. τὸ δὲ ἄνυσεν ἤτοι ἐπὶ τῆς μιᾶς τῶν Γοργόνων ἀκουτέον, ὡς ἄνυσε καρατομηθεῖσα διὰ τὴν ἀλαζονίαν· τὸ δὲ ἄμεν ἡ Ἀθηνᾶ τὸν θρῆνον τῶν ἀδελφῶν αὐτῆς· ἢ ἄνυσεν ὁ θρῆνος καρατομήσαντος τοῦ Περσέως. οἱ δὲ ἀπὸ τῆς αὐτῆς ἐσχηματίσθω θέλουσι, τυτέστι τῆς μάχης, οἷον, κατεπολέμησε τὸ τρίτον μέρος αὐτῶν. διχῶς δὲ εἴρηται, ἢ ἄνυσεν, ὅ ἐστιν ἀνυσθῆναι ἐποίησεν, ἢ ἄνυσεν, ἀντὶ τοῦ, ἐκραύγασε κεκαρατομημένη.

21. Ἐναλίᾳ (ἧς) Σερίφῳ] ἐν τῇ θαλασσίᾳ Σερίφῳ μοῖραν καὶ θάνατον κομίζων τῷ τρίτῳ μέρει τῶν Γοργόνων, ἐκ δὲ τότε πάλιν, τῇ τῆς Γοργόνος κεφαλῇ.

24. Φόρκοι' ἀμαύρωσε γένος] Φόρκυος γένος τὰς Γοργόνας φησί. τοῦτο δὲ ἐπὶ τῶν τριῶν ἀκουτέον, ὅτι τὴν μὲν μίαν ἐκαρατόμησε, τὰς δὲ δύο ὀξυτύφλωσεν, ἀφελόμενος τὸν ἕνα ὀφθαλμόν· μόνῳ γὰρ ἐνὶ ἐχρῶντο αἱ τρεῖς. εὐπάραον δὲ φησι τὴν Μέδουσαν, οὐχ ὅτι οὕτω φύσει εἶχεν, ἀλλ' ὅτι περὶ ἑαυτῆς ἡ Μέδουσα ὡς εὐμόρφου διέκειτο· διὸ καὶ περὶ κάλλης τῇ Ἀθηνᾷ ἐφιλονείκησεν. ὁ δὲ νῦν· καὶ γὰρ ὁ Περσεὺς τὸ θεῖον γένος τῶν Γοργόνας ἐφάνισε, τῆς εὐπαράου Μεδούσης τὴν κεφαλὴν ἀποτεμών, καὶ ὀλεθριώτατον ἔρανον τῷ Πολυδέκτῃ ἔθηκε, καὶ τὴν τῆς μητρὸς αὐτοῦ θυλείαν, ἀσφαλῆ καὶ ἐλευθέραν, καὶ τὴν μετ' ἀνάγκης κοίτην, ἀπὸ κοινοῦ τὸ, ἔθηκεν.

25. Λυγρόν τ' ἔρανον] λυγρὸν ἔρανον εἶπεν, ἐπεὶ ἐν ἐράνῳ ποτὲ ἐπέταξεν ὁ Πολυδέκτης ἑκάστῳ ὡς ἂν βασιλεὺς προσφέρειν αὐτῷ δῶρον, καὶ τῷ Περσεῖ τὴν κεφαλὴν τῆς Γοργόνος. κοινῶς δὲ ληπτέον τὸ, ἀμαύρωσε, τῆς Γοργόνος δηλονότι.

29. τὸν

Σ. β'. Κ. ιδ'.

Υἱὸς Δανάας· τὸν ἀπὸ
Χρυσᾶ Φαμὲν αὐτορύτᾳ
Ἔμμεναι. — ἀλλ' ἐπεὶ ἐκ
Τέτων φίλον ἄνδρα πόνων
Ἐῤῥύσατο, παρθένος αὐ-
λῶν τεῦχε πάμφωνον μέλος,
Ὄφρα τὸν Εὐρυάλας
Ἐκ καρπαλιμᾶν γενύων
Χριμφθέντα σὺν ἔντεσι μι-
μήσαιτ' ἐρικλάγκταν γόον. —
Εὗρεν Θεός· ἀλλά νιν εὑροῖ-
σ' ἀνδράσιν θνατοῖς ἔχειν,
Ὠνόμασεν κεφαλᾶν πολλᾶν νόμον,

29. Τὸν ἀπὸ χρυσᾶ φαμὲν] ὄντινα Περσέα φαμὲν ἀπὸ χρυσᾶ γενέσθαι αὐτομάτως ῥέοντος.

32. Ἀλλ' ἐπεὶ ἐκ τέτων] ἀλλ' ἐπειδὴ ἐκ τέτων τῶν πόνων τὸν προσφιλέστατον ἄνδρα ἐῤῥύσατο Περσέα ἡ Ἀθηνᾶ, τότε τὸ πολύφωνον μέλος τῶν αὐλῶν κατεσκεύαζεν. ἐῤῥύσατο δὲ πόνων· ἔδιωξε γὰρ τὸν Περσέα μέχρι Βοιωτίας ἡ Μέδουσα.

35. Ὄφρα τὸν Εὐρυάλας] ἀπὸ μιᾶς ἤρεσεν καὶ τὸ περὶ τὴν ἑτέραν τὴν Σθενὼ πάθος παρασῆσαι. ὃ γὰρ μέντι ἐθρέννησεν ἡ Εὐρυάλη, ἀλλὰ καὶ ἡ Σθενώ· ἡ γὰρ Εὐρυάλη τῆς Μεδούσης ἀδελφὴ· ὁμοίως καὶ ἡ Σθενώ. ὁ δὲ νῦς· ὅπως σὺν τοῖς ὀργάνοις τῆς αὐλητικῆς τὸν ἐκ τῶν ἰσχυρῶν γενύων τῆς Εὐρυάλης ἐκθορόντα θρῆνον μιμήσαιτο, ἵν' ᾖ, φησὶ, τὸν ταύτης μιμήσαιτο γόον ἐρικλάγκταν, τετέχνι, μεγαλόκρακτον, μεγαλόηχον. ἡ γὰρ Ἀθηνᾶ εὗρε τὸ μέλος τῆς αὐλητικῆς.

39. Ἀλλά νιν εὑροῖσ'] ἀλλ' εὑρᾶσα τὸ τᾶ αὐλᾶ μέλος μετέδωκε τᾶς ἀνθρώποις ἔχειν, καὶ ὠνόμασε τὸ μέλος πολυκέφαλον νόμον, ἐπεὶ καὶ αἱ τῶν δρακόντων πλείες εἰσὶ κεφαλαὶ, καὶ ἦσαν αἱ συρίξασαι, ὧν κατὰ μίμησιν συνέθηκε. τινὲς δὲ πολυκέφαλόν, φασιν, εἶπεν, ἐπειδὴ πεντήκοντα ἦσαν ἄνδρες, ἐξ ὧν ὁ χορὸς συνεστῶς προκαταρχομένᾳ τᾶ αὐλητᾶ τὸ μέλος πρασεφέρετο. οἱ δὲ κεφαλὰς ἀκούσι τὰ προοίμια. ᾠδὴ ἦν διὰ πολλῶν προοιμίων συνεστῶσα, ἃν λέγεσι τὸν Ὄλυμπον πρῶτον εὑρηκέναι.

42. Εὐ-

Εὐκλεᾶ λαοσσόων μναστῆρ' ἀγώνων,

Α. β'. Κ. ιδ'.

Λεπτῷ διανισσόμενον
Χαλκῷ θ' ἅμα καὶ δονάκων,
Τοὶ παρὰ καλλιχόρῳ
Ναίοισι πόλει Χαρίτων
Καφισίδος ἐν τεμένει,
Πιστοὶ χορευτᾶν μάρτυρες. —
Εἰ δέ τις ὄλβος ἐν ἀν-
θρώποισιν, ἄνευ καμάτῳ
Οὐ φαίνεται. ἐκ δὲ τελευ-
τάσει νυν ἤτοι σάμερον
Δαίμων. τό γε μόρσιμον ἁ παρ-

Φυκτὸν·

42. Εὐκλέα λαοσσόων (sic)] ἔνδοξον ὑπόμνημα τὸ τῶν ἀγώνων τῶν τὰς λαὰς σοὺντων καὶ παρορμώντων εἰς τὴν θέαν. φησὶ δὲ τὸ μέλος.

43. Λεπτῷ διανισσόμενον χαλκῷ] τὸ μέλος λέγει. διαπορευόμενόν φησι τὸ μέλος ἐμοῖ, διά τε χαλκοῦ καὶ καλάμου, ἀντὶ τοῦ, διὰ τῶν αὐλῶν.

45. Τοὶ παρὰ καλλιχόρῳ ναίοισι (sic)] τὰς δονακας λέγει, οἳ τῷ Ὀρχομενῷ φύονται, ἐξ ὧν αἱ αὐλητικαὶ γλωσσίδες γίνονται. ἐν γὰρ τῷ Κηφισσῷ οἱ αὐλητικοὶ κάλαμοι φύονται. εἴρηται δὲ καὶ ἐν παιᾶσι περὶ αὐλητικῆς. ὁ δὲ νοῦς· οἵ τινες οἱ κάλαμοι οἰκοῦσιν εἰς τὴν τῶν Χαρίτων πόλιν, τυτέσι, τὴν Ὀρχομενὸν, ἐν τῷ τεμένει τῷ Κηφισοῦ, τῶν χορευτῶν πιστοὶ καὶ ἀληθεῖς ὄντες μάρτυρες. τὸ δὲ, ναίοισι κάλαμοι, σκληρῶς καὶ διθυραμβωδῶς προσήγαγεν. ἔδει γὰρ εἰπεῖν, φύονται. πόλιν δὲ Χαρίτων τὴν Ὀρχομενὸν λέγει.

49. Εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισι] συυπακουστέον, τοιοῦτόν ἐστι, ἢ ὑπάρχει. ὁ γὰρ λόγος· εἰ δέ τις ὄλβος ἐν ἀνθρώποις ἐστὶν, ἄνευ καμάτου οὐ φαίνεται, οὐδὲ γίνεται, ἐκτελευτήσει δὲ τὸν ὄλβον ὁ δαίμων, τυτέσιν, ἐπὶ τέλος ἄξει, ἤτοι σήμερον ἢ ὕστερον· τοῦτο γὰρ ἔδει ἐπενεγκεῖν, ὃ παρέλιπε· τυτέσιν, ἐὰν μὴ παραχρῆμα τὶς εὐτυχήσῃ, μὴ ἀδημονείτω· ὁ γὰρ θεὸς τὸ εἱμαρμένον ἢ σήμερον τελέσει, ἢ αὔριον. τοῦτο δέ φησιν, ἐπειδὴ ἀπροσδοκήτως ἐνίκησε, κλασθέντος τοῦ καλάμου.

54. Ἀλλ'

Φυκτόν· ἀλλ' ἔσαι χρόνος
Οὗτος, ὃ καί τιν' ἀελπτία βαλὼν
Ἔμπαλιν γνώμας τὸ μὲν δώσει, τὸ δ' ἕ πω.

34. Ἀλλ' ἔσαι χρόνος οὗτος] ὁ λόγος οὗτος· ὁ πονήσας, κἂν μὴ παραχρῆμα τύχῃ πλήτω, μὴ καμνέτω. Θεὸς γὰρ ἢ σήμερον ἢ ὕστερον ποιήσει, καὶ ἐπὶ τέλος ἄξει. πῶς δὲ ἐπὶ τέλος ἄξει; σὺν τῇ εἱμαρμένῃ. διό φησι· τὸ δὲ μόρσιμον. ὁ δὲ νῦς οὗτος· ἀλλ' ἔσαι οὗτος ὁ χρόνος, ὅτις καὶ τὲ ἐν ἀνελπιστίᾳ κατασήσας τὸ ἀνάπαλιν τῆς γνώμης καὶ ἐλπίδος, τὸ μὲν δώσει, ὅπερ οὐκ ἤλπιζε, τὸ δὲ οὐ δώσει, ὅπερ προσεδόκησε. τοῦτο δέ φησιν, ἐπειδὴ ἀπροσδοκήτως ἐνίκησεν ὁ Μίδας, κλασθέντος τοῦ καλάμου, ὡς εἴρηται.

ΠΙΝΔΑΡΟΥ ΝΕΜΕΑ.

Ὑπόθεσις Νεμέων.

Τὸν ἀγῶνα τῶν Νεμέων τινὲς μὲν ὑφ' Ἡρακλέους τεθεῖσθαί φασιν, ἐπὶ τῇ τοῦ λέοντος ἀναιρέσει. οἱ δὲ οὐχ οὕτως, ἀλλὰ ἱστορίαν τινὰ λέγουσιν ἐπ' αὐτῷ, ὡς ἀπὸ τοῦ Ὀφέλτου μὲν πρότερον, νυνὶ δὲ Ἀρχεμόρου, ἀπὸ τοῦ μαντεύσασθαι τοῖς ἐπὶ Θήβας στρατευομένοις διὰ τὸν ἰδίου θανάτου. ὁ δὲ ἀγὼν ἐπιτάφιος. καὶ γὰρ οὕτως ἀπὸ τῶν Ὁμηρικῶν δεικνύουσιν, ἐξ ὧν οὐδένα νικήσαντα ὑπὲρ στεφάνου εἰσάγει, οὐδὲ Νέστορα, τὸν πολλὰς νίκας ἑαυτοῦ πολλάκις ἐξηγούμενον· καὶ φασιν, οὐδὲ ὄνομα τοῦ στεφάνου εἰδέναι τὸν ποιητήν, ἀποδεικνύντες, ὡς οὐδαμοῦ παρὰ τῷ ποιητῇ εἰρηται. στεφάνας μὲν γὰρ λέγει, στεφάνους δὲ οὔ. Τῶν οἱ μὲν καλὰς στεφάνας εἶχον. (Hom. Il. XVIII, 597.)

Ἄλλως. Ὑπόθεσις τῶν αὐτῶν.

Οἱ ἑπτὰ ἐπὶ Θήβαις παραβαλόντες τῇ Νεμέᾳ διψήσαντες συνέτυχον Ὑψιπύλῃ τῇ Λημνίᾳ Φερούσῃ τὸν Λυκούργου τοῦ τοῦ Διὸς ἱερέως καὶ Εὐρυδίκης παῖδα Ὀφέλτην· ἡ δὲ ἀφηγήσατο αὐτοῖς εἴς τινα πηγήν, καταλιποῦσα τὸν παῖδα ἐν τινι λειμῶνι, ὃν δράκων περιελιηθεὶς, ἰὸν ἀφεὶς, ἀνεῖλεν. οἱ δὲ ὑποστρέψαντες, καὶ τὸ πάθος θεασάμενοι, τόν τε δράκοντα κτείνουσι, καὶ ἀγῶνα ἐπιτάφιον ἰσῶσι τριετηρικόν. ἠγωνίζοντο δὲ στρατιῶται καὶ παῖδες στρατιωτῶν, ὕστερον δὲ καὶ ἐπὶ τὸ δημωτικὸν πλῆθος ἔδραμεν. ἦν δὲ γυμνικὸς καὶ ἅρμα, οὐχὶ δίφρος οὐδὲ κέλης. ἔτυχε δὲ ἔτους Ὑψιπύλη ἐν Νεμέᾳ. ὡρισμένου παρὰ τῶν Λημνιάδων,

πᾶν

πᾶν τὸ ἄρσεν ἀναιρεθῆναι γένος, ἐκ πασῶν Ὑψιπύλη τὸν πατέρα Θόαντα ἐνείρξασα κιβωτῷ, ἐφύλαττεν. ὕστερον δὲ μετὰ τὸ τὰς Ἀργοναύτας ἐκπλεῦσαι, φανερᾶ γενομένη ταῖς Λημνιάσι τὰ κατὰ τὸν Θόαντα, αὐτὸν μὲν κατεπόντωσαν ἐνείρξασαι τῇ κιβωτῷ, ἐψηφίσαντο δὲ καὶ κατὰ τῆς Ὑψιπύλης θάνατον· ἡ δὲ μαθοῦσα φεύγει. ἐν τοσούτῳ τε λῃσταῖς περιτυχοῦσα πιπράσκεται Λυκούργῳ. ἐν ἐκείνῳ δὲ τῷ καιρῷ κατὰ ζήτησιν οἱ παῖδες Θόας καὶ Εὔνεως παρέβαλον ἐν Νεμέᾳ. Εὐρυδίκης δὲ τῆς Λυκούργου γυναικὸς βαλομένης διὰ τὸν Ὄφελτα θάνατον ἀνελεῖν τὴν Ὑψιπύλην, διὰ τοῦτό τε ἔν τινι τόπῳ λαθραίῳ κατακλεισάσης, Ἀμφιάραος μαντευσάμενος δείκνυσι τοῖς παισὶ τὴν Ὑψιπύλην. ἡ δὲ τοῦτο εὐτυχήσασα παρεκάλει τὰς ἥρωας, τοῖς παισὶν ἀγωνίσασθαι.

Ἄλλως.

Τὰ Νέμεα φασιν ἄγεσθαι ἐπὶ Ὀφέλτῃ, τῷ Εὐφήτου καὶ Κρεούσης παιδί, ὃν Εὐφήτην ἐκάλεσαν οἱ Ἀργεῖοι, τελευτήσαντα ἐπὶ τὸν Θηβαϊκὸν πόλεμον. τοῦτον δὲ ἔτυχε τροφεύουσα Ὑψιπύλη, ἣν ἤτησαν οἱ Ἀργεῖοι ὕδωρ· τῆς δὲ ἀπελθούσης ὑδρεύσασθαι, ὄφις ἐπελθὼν ἀνεῖλε τὸν παῖδα. Ἀμφιάραος δὲ τούτοις μαντευόμενος Ἀρχέμορον αὐτὸν ἐκάλεσεν, ὅτι αὐτοῖς ἀρχὴ μόρου ἐγένετο ὁ τοῦ παιδὸς θάνατος, ἐφ' ᾧ καὶ τὸν ἀγῶνα διέθηκαν, τὴν Ὑψιπύλην παραμυθέμενοι. Ἄλλοι δέ, ὧν ἐστι καὶ Αἰσχύλος, ἐπ' Ἀρχεμόρῳ, τῷ Νεμέας παιδί. οἱ δέ, ἐπὶ τῷ Ταλαοῦ παιδί, Ἀδράστου δὲ ἀδελφῷ. Εἰσὶ δέ τινες, οἳ καὶ παλαιότερον εἶναί φασι τὸν ἀγῶνα τοῦ Θηβαϊκοῦ πολέμου. ἤθλησαν δὲ ἐν αὐτῷ περὶ στεφάνου μόνου, οὐκ ἐθελήσαντες δωροδοκεῖν, ἐν τιμῇ καθιστάντες τὸν ἀγῶνα. ὑπέστρωντο δὲ

ἐκ τῶν λαφύρων ὑπονοσήσαντες ἀργυρίτην αὐτὸν ποιῆσαι. καὶ διὰ τοῦτο στεφανίτης πρῶτον ἐκλήθη. προέστησαν δὲ τῶν ἀγῶνος καὶ Ἀργεῖοι καὶ Κορίνθιοι καὶ Κλεωναῖοι. ἐμπεδῶντες δὲ αὐτὸν, τῷ Νεμεαίῳ ἀνέθηκαν Διΐ. ἐστέφοντο δὲ τὸ παλαιὸν ἐλαίᾳ, ὕστερον δὲ μετὰ τὴν συμφορὰν τῶν Μηδικῶν, ἐπὶ τιμῇ τῶν κατοιχομένων, σελίνῳ. οἱ δὲ ἐξ ἀρχῆς ἐπ' Ἀρχεμόρῳ τοῦτον τεθῆναι. ἔστι δὲ ἡ Νεμέα τῶν Ἀργείων τῆς χώρας μοῖρα, ὠνομασμένη ἀπὸ τῆς σελήνης καὶ Διός· οἱ δὲ ἀπὸ τῶν βοῶν, τῶν ὑπὸ Ἄργε νεμομένων ἐν τῷ χωρίῳ, αἵ ἦσαν Ἥρας ἱεραί· οἱ δὲ ἀπὸ τῶν Δαναΐδ παίδων, οἵ κατενείμαντο καὶ ἐκληρώχησαν τὸ χωρίον.

Ἄλλως.

Ὁ ἀγὼν ἐπιτάφιος ἐπὶ Ἀρχεμόρῳ, τῷ Λυκούργε, τοῦ ἱερέως, παιδὶ, καθ' ὃν καιρὸν οἱ ἑπτὰ τῶν Ἀργείων λοχαγωγοὶ ἐπεστράτευσαν Θηβαίοις, Πολυνείκει συμμαχοῦντες. ὅτοι γὰρ δυσφορήσαντες, ὅτι δὴ ἡ αὐτῶν χρεία αἰτία τῆς τοῦ παιδὸς ἀναιρέσεως γεγένηται, βραχεῖαν παραμυθίαν τῇ συμφορᾷ πορίζόμενοι, ἐπιτάφιον ἀγῶνα θέσθαι τὸν Νεμεαῖον, καθ' ὃν οἱ κριταὶ φαιὰς ἐσταλμένοι στολὰς κρίνουσι τοὺς ἀγωνιζομένους, ὑπόμνημα τοῦ πένθους ταῖς στολαῖς ἐμφανίζοντες. ὁ γὰρ ἀγὼν ἐπιτάφιος. ὕστερον δὲ νικήσας Ἡρακλῆς καὶ καταγωνισάμενος τὸν Νεμεαῖον λέοντα, ἐπεμελήθη τοῦ ἀγῶνος τὰ πολλὰ ἀνορθωσάμενος, καὶ Διὸς εἶναι ἱερὸν ἐνομοθέτησε. καὶ ἔστι τριετὴς, τελούμενος μηνὶ Πανέμῳ, δωδεκάτῃ. ὁ δὲ ἀγὼν ἱππικός τε καὶ γυμνικός.

Ἄλλως.

Καθ' ὃν καιρὸν οἱ ἑπτὰ ἐπὶ Θήβαις τῶν Ἀργείων λοχαγωγοὶ ἐπεστράτευσαν, Πολυνείκει συμμαχοῦντες,

εἰς

εἰς Λῆμνον τὴν Θρακικὴν καταντήσαντες καὶ δίψει συσχεθέντες, συνέτυχον Ὑψιπύλῃ, τῇ Λημνίᾳ γυναικὶ, καὶ καθικέτευον, ἅτε τῶν ἐγχωρίων ἔμπειρον ὄσαν, ξυναγῆσαι ἐπὶ πότιμον ὕδωρ. τοῖς δὲ λοχαγοῖς τὴν ἀβλαβῆ χάριν ἀπονεῖμαι βεληθεῖσα, καταλιπεῖν ἐπί τινα τόπον τὸν Ἀρχέμορον, Λυκούργε τῆ ἱερέως παῖδα, ὃν εἶχε πρὸς ἀνατροφὴν, Ἀργεῖον τὸ γένος· ὄφιν δὲ τῆς χειᾶς ἐξελθόντα κατὰ τὴν Ὑψιπύλης ἀπουσίαν περιπλακῆναι τῷ παιδὶ, καὶ ταῖς σπείραις ἀποτεταμένα, ἀποπνίξαι τὸ βρέφος· τὰς δὲ ἐπανελθόντας τοξεῦσαι μὲν τὸν ὄφιν, σφόδρα δὲ ἐπὶ τῷ γεγονότι δυσφορῆσαι, ὅτι δὴ ἡ αὐτῶν χρεία αἰτία τῆς τοῦ παιδὸς ἀναιρέσεως γεγένηται, εἶτα τῇ συμφορᾷ βραχεῖαν παραμυθίαν ποριζόμενοι θάψαι τὸν παῖδα, καὶ ἐπιτάφιον ἀγῶνα θέσθαι τὸν Νεμεαῖον, καθ' ὃν κριταὶ φαιὰς ἐστολισμένοι στολὰς, κρίνεσι τὰς ἀγωνιζομένας, ὑπόμνημα τοῦ πένθους, ταῖς στολαῖς ἐμφανίζοντες. ὁ γὰρ ἀγὼν ἐπιτάφιος. ὕστερον δὲ νικήσας Ἡρακλῆς, καὶ καταγωνισάμενος τὸν Νεμεαῖον λέοντα ἐπεμελήθη τοῦ ἀγῶνος τὰ πολλὰ ἀνορθωσάμενος καὶ Διὸς εἶναι ἱερὸν ἐνομοθέτησεν. ὁ δὲ στέφανος ἐκ χλωρῶν πλέκεται σελίνων. διαφέρει δὲ τοῦ κατὰ τὸν Ἰσθμὸν, καθόσον ἐκεῖνος ἔχει τὰ σέλινα. προέστησαν δὲ τοῦ ἀγῶνος πρῶτοι μὲν οἱ Κλεωναῖοι, εἶτα Κορίνθιοι, καὶ ἔστι τριετὴς, τελούμενος μηνὶ Πανέμῳ ιβ', ἐκ ἐξὸν δὲ πρότερον, εἰ μὴ τοὺς ἀπὸ στρατιωτικοῦ γένους, ὕστερον δὲ ἐπιλειψάντων, καὶ τοῦ ἔτους διαλυθέντος συνέβη τοὺς πάντας ἀγωνίζεσθαι. ὁ δὲ ἀγὼν ἱππικός τε καὶ γυμνικός.

Περὶ

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τῆ πρώτη τῶν Νεμέων εἴδης.

Τῆς πρώτης τῶν Νεμέων ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶ δέκα. Τὸ α', ἰαμβικὸν δίμετρον ἀκατάληκτον ὡς τό· τίς σὰς παρῆειρε φρένας. Τὸ β' ἰαμβέλεγος. Τὸ γ' πενθημιμερὲς δακτυλικόν. Τὸ δ' ἰαμβέλεγος. Τὸ ε' Εὐριπίδειον. Τὸ ς' δακτυλικὸν τετράμετρον ἀκατάληκτον. Τὸ ζ' Εὐριπίδειον. Τὸ η' Πινδαρικὸν ἐκ Σαπφικῆ. σύγκειται ἐκ τροχαϊκῆς συζυγίας, (χοριάμβῳ) καὶ ἰάμβῳ καὶ συλλαβῆς. ὁ δὲ Πίνδαρος τῆ ἰάμβῳ τὴν μακρὰν συνέστειλε. Τὸ θ' Εὐριπίδειον. Τὸ ι' ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτῆ. Ἡ δὲ ἐπῳδὴ κώλων ὀκτώ. Τὸ α' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ β' ἐφθημιμερὲς δακτυλικόν. Τὸ γ' πενθημιμερὲς δακτυλικόν. Τὸ δ' Ἰωνικὸν ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικόν. Τὸ ε' Σαπφικὸν ἑνδεκασύλλαβον. Τὸ ς' Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ζ' τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. Τὸ η' Εὐριπίδειον.

Περὶ τῆς ἐπιγραφῆς αὐτῆ. Χρομίῳ Αἰτναίῳ. Γέγραπται ὁ ἐπίνικος Χρομίῳ Αἰτναίῳ. Ἱέρων γὰρ οἰκιστὴς ἀντὶ τυράννου βουλόμενος εἶναι, Κατάνην ἐξέλων, Αἴτνην μετωνόμασε τὴν πόλιν, ἑαυτὸν οἰκιστὴν προσαγορεύσας, καὶ ἐν ταῖς ἀναῤῥήσεσιν ἔν τισι τῶν ἀγώνων Αἰτναῖον ἑαυτὸν εἶπε. ταυτὸν δέ, φησιν ὁ Δίδυμος, εἰκὸς παθεῖν καὶ τὸν Χρόμιον, ἑταίρῳ κεχρημένου αὐτῷ. Τίμαιος δὲ τὸν ἐπίνικον Ὀλυμπικὸν εἶναι τοῦτόν φησιν ἁμαρτάνων. ὁ γὰρ Πίνδαρος ἀντικρυς Νεμεακὸν αὐτὸν εἶναί φησιν (v. 8 ſ.)· Ἅρμα δ' ὀτρύνει Χρομίῳ, Νεμέα θ' ἕργμασι νικαφόροις.

ARGV-

ARGVMENTVM CARMINIS PRIMI NEMEI.

Ortygia (Syracusae), a te hymnus incipit celebrare victoriam curulem Iouis Aetnaei beneficium (1 — 7), nam Chromii Nemeaca victoria me impellit ad hymnum canendum (— 10). Dii materiem ei parārunt per virtutes Chromii. Summa felicitas in victoria est, eam Musa celebrare solet. Lauda nunc Siciliam insulam, quam Proserpinae Iupiter dedit promisitque, se eam altis vrbibus esse conspicuam redditurum et populum bellicosum, equestrem, in ea esse iussit, saepe in Olympicis ludis victorem. Multa opportune et vere dixi (— 28). At venio cum carmine ad virum hospitalem, vbi et mihi et aliis frequenter paratum est hospitium (— 34). Vir probus obtrectatores facile refutat. Varia sunt hominum studia. Cuique pro natura sua alloborandum est, vt recta sequatur. Ad certamen robur, ad consilia mens prodest, prouidere futura solent, quibus a natura datum est (— 42). Tibi, Chromie, vtrumque est. Nolo diuitias domi conditas tenere, sed amicos iuuando bene et facere et audire; quod quidem omnes laborioſi homines optant (— 49). Equidem lubenter in virtutibus celebrandis Herculem memoro, prisca fabula allata. Scilicet quum primum in lucem editus est vna cum fratre, non lunonem latuit (— 58). Illa irata serpentes misit, qui ingressi cubiculum necare vtrumque infantem voluerunt. At Hercules vtrumque manibus corripuit, et suffocauit. Territae erant mulieres ministrantes Alcmenae puerperae;

ipsa

ipsa quoque e lecto exsiluerat ad propulsandas bestias. Accurrerant Cadmeorum duces cum armis; Amphitruo sollicitus nudum ensem vibrauit. Omnes enim domestica calamitas percellit, alieni luctus expertes. Stupuit vero et simul gauisus est, filii fortitudine conspecta, et euento aliter quam nunciatum erat cadente (— 89). Tiresiam vatem arcessiuit, qui ipsi et Thebanis dixit, quot feras et homines insolentes Hercules sit interfecturus. Etiam in Phlegraea deorum cum gigantibus pugna ipsius telis hos deiectum iri, ipsum vero in laborum praemium perpetua esse quiete fruiturum in Olympo et Hebe ducta apud Iouem habitaturum ostendit (— 112).

ΠΙΝΔ. ΝΕΜΕΑ.

ΕΙΔΟΣ α'.

ΧΡΟΜΙΩι ΑΙΤΝΑΙΩι

ΑΡΜΑΤΙ.

Σ. α'. Κ. ί.

Ἄμπνευμα σεμνὸν Ἀλφεῦ,
Κλεινᾶν Συρακοσσᾶν θάλος, Ὀρτυγία,
Δέμνιον

1. Ἄμπνευμα σεμνὸν Ἀλφεῦ] οἷον ἀνάπνευμα, καὶ ἀναπνοή. ἔνιοι δὲ ἀναφύσημα, διὰ τὸ ἀποβρῶγα καὶ οἷον τόμα εἶναι τῆ Ἀλφειῶ τὴν αὐτόθι Ἀρέθουσαν, ἢ ἔτι κρήνην. ἀπὸ γὰρ καταδύσεων ἀφανῶν εἰς τὴν Ἀρέθουσαν ἀναφαίνεται. τὸ δὲ ἀνάπαυμα ἐπὶ τῆς ἐρωτικῆς σπουδῆς ἐπὶ τῶ ποταμῶ τάττει. ἔστι γὰρ κατὰ Ὀρτυγίαν τὴν νῆσον. ἡ δὲ Ὀρτυγία πρότερον μὲν ὕσα νῆσος, εἶτα προσχωσθεῖσα, Χερρόνησος γέγονεν, ὡς καὶ Ἴβυκος ἱστορεῖ· Παρὰ Χερσὸν λίθινον τὸν παλάμαις βροτῶν πρόσθε νιν πέδον νήριτον ἵκοντο ἀμφάγυι νέμοντο. Σεμνὸν δ' εἶπεν, ἤτοι ὅτι ἐκ ἔτυχε τῆς συνουσίας ὁ Ἀλφειὸς, ἢ διὰ τὸ καθαρὸν, ὡς Εὐριπίδης (Med. 68.)·

Φάσσουσι σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ·

ὥστε εἶναι τὸν νῦν τοιοῦτον· ὦ Ὀρτυγία, ἐν ᾗ ἐστι τὸ τῦ Ἀλφειῦ πνεῦμα. τίς; ἡ Ἀρέθουσα; ἀλλ' οὐ τὴν Ἀρέθουσαν εἴρηκεν ἄμπνευμα, ἀλλὰ τὴν Ὀρτυγίαν, ἐν ᾗ ὁ Ἀλφειὸς ἀναπνεῖ, τῷ περιέχειν τὴν Ἀρέθουσαν. Ζητεῖται δὲ, τί δήποτε τῷ Ἀλφειῷ προσδιελέγετο καὶ τῇ Ὀρτυγίᾳ, τῆς νίκης ἐκ ὕσης Ὀλυμπιακῆς, ἀλλὰ Νεμεακῆς; Ἔνιοι μὲν οὖν φασὶν, ὅτι τὰ ἱπποτρόφια τῦ Ἱέρωνος καὶ τῦ Χρομίῳ ὁμοίως ἐν τῇ Ὀρτυγίᾳ ἦν, τῷ δὲ ἱερὰν εἶναι τὴν κρήνην Ἀρτέμιδος, τὴν δὲ θεὸν ἱππικὴν εἶναι· καθὸ Σάφρων μὲν αὐτὴν ἀτρέστην, Ὅμηρος δὲ χρυσήνιον (Il. VI, 205.)· καὶ ὁ Πίνδαρος προσεφώνησεν αὐτὴν καὶ τὴν ἐπ' αὐτῆς Ἄρτεμιν. διὰ τῦτο δὲ καὶ ἐν ἄλλοις φάναι τὸν Πίνδαρον (Pyth. II, 12.)· Ποταμίας ἕδος Ἀρτέμιδος. ἀπόχρη δὲ εἰπεῖν, ὅτι

Δέμνιον Ἀρτέμιδος,
Δάλυ κασιγνήτα· σέθεν ἀδυεπὴς
Ὕμνος

ὅτι ἱππικὴ ἡ θεός. ἀνάκειται δὲ αὐτῇ ἡ νῆσος τῇ θεῷ. ψευδῶς γὰρ τὸ εἶναι τὰ ἱπποσάσια τῶν Ἱέρωνος αὐτόθι. Ἀρίστων καὶ ἐν Ἐφέσῳ φησὶν εἶναι Ὀρτυγίαν, ἐφ' ἧς ἐδόκει γεγεννῆσθαι ἡ Ἄρτεμις· ὁ μὲν γὰρ Ἀπόλλων ἐν Δήλῳ, αὐτὴ δὲ δοκεῖ ἐν τῇ Ἀσιατικῇ Ὀρτυγίᾳ. Ἄλλως. Ἄμπνευμα σεμνὸν Ἀλφεοῦ. κατὰ μὲν τὴν ἱστορίαν ὧν αὐτὴ ἡ Ὀρτυγία, καθ' ἣν ἡ Λητὼ τὴν Ἄρτεμιν, ἀλλὰ περὶ Ἔφεσον ἑτέρα, ἡ πλησίον τῆς Σικελίας ἦν. τὴν γὰρ νῆσον τῶν Συρακουσῶν ἔφαμεν γεγενῆσθαι καὶ αὐτὴν ἱερὰν τῆς Ἀρτέμιδος, διὰ τὴν πρὸς Δῆλον ὁμωνυμίαν, ᾗ χαριζόμενοι τῇ θεῷ αἱ νύμφαι καὶ πηγὴν πεποιήκασιν ὁμωνύμην Ἀρέθουσαν. ἐν ταύτῃ τῇ νήσῳ ὅτε ἀρύσασθαι, ὅτε ἰχθῦς λαμβάνειν νόμος.

3. Δέμνιον Ἀρτέμιδος] ὁ μὲν Ἀρίσταρχος τὴν Ὀρτυγίαν ἀκούει, διὰ τὸ κατ' ἐνίας αὐτόθι δοκεῖν αὐτὴν γεγεννῆσθαι. προσθείη ἄν τις, ὅτι συνήθως ὁ Πίνδαρος τοῖς ὁμωνύμοις χωρίοις ἐπιτίθησι καὶ τὰ ἐπὶ τοῖς ἄλλοις ἱστορούμενα. καθὰ καὶ ἐπὶ τῶν Πλειάδων (Nem. II, 16 f.)· Ἔστι δ' εἰκὸς, ὀρείαν τε Πελειάδων μὴ τήλοθεν Ὠρίωνα νεῖσθαι, ὀρείαν δὲ τὸ ζῶον. ἔνιοι δὲ ἱστορικώτερον ἀκούουσιν. τὸν γὰρ Ἀλφειὸν φασιν ἔρωτι ἁλόντα τῆς Ἀρτέμιδος, ἐπιδιῶξαι αὐτὴν ἄχρι τῆς Σικελίας· τῆ δὲ τέλος τῆς διώξεως αὐτόθι γενομένῃ, αὐτόθι συνῆναι τὴν Ἀρέθουσαν. διὰ τοῦτο δὲ καὶ τὴν Ἄρτεμιν Ἀλφειαίαν προσαγορεύεσθαι. καὶ ἐν Ὀλυμπίᾳ δὲ ὁ Ἀλφειὸς τῇ Ἀρτέμιδι συναφίδρυται. καὶ τὴν ποταμίαν δὲ (Pyth. II, 12.) Ἄρτεμιν εἶναι οἱ παρὰ τῷ Πινδάρῳ ἀκούσαι, διὰ τὸ ἐπ' αὐτῇ τῷ Ἀλφειῷ πάθος. εἰσὶ δὲ οἳ Ἀλφειαίαν τὴν Ἄρτεμιν λέγεσι διὰ τὸ τὸν Ἀλφειὸν πλησίον τῆς Ἠλείας Ἀρτεμισίας καταφέρεσθαι. ἔχοι δ' ἂν ὡ φαῦλος, δέμνιον Ἀρτέμιδος λέγεσθαι τὴν Ὀρτυγίαν, οἷον ἐνδιαίτημα καὶ διατριβήν· ἱερὰν γὰρ τὴν πᾶσαν νῆσον τῆς Φερσεφόνης φασιν. ὅτι δ' ἡ αὐτὴ ἐστὶ τῇ Ἀρτέμιδι, Καλλίμαχος ἐν Ἑκάλῃ (Fragm. 48. p. 432. Ern.)·

Οἵ νυ καὶ Ἀπόλλωνα πανάρκεος ἠελίοιο
Χῶρι διατμήγουσι καὶ εὔποδα Δηϊώνην
Ἀρτέμιδος.

4. Δάλυ κασιγνήταν (sic)] τὴν Ὀρτυγίαν τῆς Δήλυ κασιγνήτην εἴρηκε, μετάγων τὰ ἐπὶ τῶν θεῶν λεγόμενα κατὰ τῶν τόπων, οἵτινες ἀπ' ἐκείνων προσηγορεύθησαν. οἱ δὲ διὰ τὴν ὁμωνυμίαν ὡσανεὶ ἔφη· ἐν ᾗ ἡ Ἄρτεμις ἐγεννήθη, ὥσπερ ἐν Δήλῳ· εἴωθε γὰρ ὁ Πίνδαρος μετάγειν τὰς ὁμωνυμίας· ὥστε τὸ λεχθὲν ἐπὶ τῆς εἰς Δῆλον Ὀρτυγίας, τοῦτο ἐπὶ τῆς πρὸς Συρακούσαις μετήχθη. ἔνιοι δὲ κασιγνήτην ἀκούουσιν ἀντὶ τοῦ συγγενῆ, διὰ τὴν ὁμοιότητα, κοινὰ

Ὕμνος ὁρμᾶται θέμεν
Αἶνον ἀελλοπόδων μέγαν ἵππων,
Ζηνὸς Αἰτναίᾳ χάριν.
Ἅρμα δ' ὀτρύνει Χρομίᾳ Νεμέα
Θ', ἔργμασιν νικαφόροις
Ἐγκώμιον ζεῦξαι μέλος.

Α. ά.

καινὰ γὰρ τὰ ἐφ' ἑκατέρας ἱστορούμενα. καὶ γὰρ ἡ νῆσος ἡ Δῆλος, καὶ ἡ Ὀρτυγία, ἡ ἐν Συρακούσαις, νῆσοι, καὶ ὑπεδέξαντο θεὺς ἀμφότεραι· καὶ ἡ μὲν ἐκρύβη διὰ πελάγους, ἡ δὲ ἐκ τῆ Νείλω διὰ τὸν Ἰνωπόν. Ἄλλως. δοκεῖ μὲν πρὸς τὸ βέλτιον τὴν πρὸς ταῖς Συρακούσαις ἀδελφὴν λέγειν τῆς Δήλου. τὸ δὲ ὅλον, διὰ τὴν ὁμωνυμίαν αὐτῷ ὁ λόγος προήχθη. ὁ δὲ νῦς· ὦ σεμνότατον ἀνάπαυμα τῆ Ἀλφειῆ, τῶν Συρακουσῶν καὶ τῆς Σικελίας κόσμε καὶ βλάστημα, τῆς Ἀρτέμιδος ἐνδιαίτημα, καὶ τῆς Δήλου ἀδελφή. τοῦτο δέ φησι καὶ διὰ τὴν ὁμωνυμίαν (Ὀρτυγία γὰρ καὶ ἡ Δῆλος ἐκαλεῖτο) καὶ διὰ τὸ θεοφιλές· ἐν Δήλῳ γὰρ ἦν ἡ Ἄρτεμις. Ὀρτυγία δὲ νῆσος πρὸ τῶν Συρακουσῶν, εἰς ἣν διὰ πελάγους φερόμενος ὁ Ἀλφειὸς ἐμβάλλει, καὶ ποιεῖ τὴν Ἀρέθουσαν κρήνην.

Σέθεν ἁδυεπὴς ὕμνος ὁρμᾶται] ἐκ σοῦ ἡδυεπὴς καὶ εὔφημος. ὁ δὲ νῦς· ἀπὸ σοῦ, ὦ Ὀρτυγία, ὁ ἡδυεπὴς ὕμνος τὴν ὁρμὴν ἔχει, ὥστε θεῖνα καὶ πληρῶσαι ἔπαινον μέγαν τῶν ὀξυτάτων ἵππων, Διὸς ἕνεκεν τοῦ ἐν τῇ Αἴτνῃ. Διὸ γὰρ ἀνάκειται καὶ ὕτος ὁ ἀγών. ἐν γὰρ τῇ Αἴτνῃ Διὸς ἱερόν ἐστιν.

7. Ζηνὸς Αἰτναίᾳ χάριν] ἢ εἰς χάριν τοῦ Διός, ἢ ἕνεκεν τοῦ Διός, παρόσον ἐν τῷ ἀγῶνι καὶ ἐν τῇ πανηγύρει τὸ Αἰτναίῳ Διὸς ἦγον οἱ περὶ τὸν Ἱέρωνα τοὺς ἐπὶ τοῖς στεφανίταις ἀγῶσι πεποιημένους ἐπινίκους καὶ ᾖδον. πιθανὸν ἓν φησιν ὁ Δίδυμος, καὶ τὸν ἐπὶ τῆς Χρομίου Νεμεακῆς νίκης ἐπίνικον ἕνεκα τούτου συντετάχθαι, ὑπὲρ τοῦ μέλλειν αὐτὸν ὑπὲρ τῆς πανηγύρεως αἰσθήσεσθαι. ὁ δὲ τρόπος ποιητικὸς, ὥσε τὸ ἀπὸ τοῦ ταυτομάτου συμβαῖνον, ὡς αἴτιον λαμβάνειν. ὃ γὰρ ἕνεκα τοῦ ἀισθῆναι τὸν ἐπίνικον, ἐν τῇ πανηγύρει τοῦ Αἰτναίου Διὸς ἐνίκησεν, ἀλλὰ νικήσαντος ἔμελλεν εἰς αὐτὸν ᾠδὴ αἰσθήσεσθαι.

8. Ἅρμα δ' ὀτρύνει Χρομίᾳ] Χρόμιος ἡνίοχος ἦν Ἱέρωνος παιδόθεν. ὕτος ἅτε δὴ βασιλεῦσι συνὼν, καὶ ἄριστος ὢν τὴν ἱππικὴν ἐπαΰτησε, καὶ ἤρξατο ἀποσὰς τοῦ Ἱέρωνος καθ' ἑαυτὸν ἱπποτροφεῖν. νικᾷ δὲ νῦν ἵπποις ἅρματι πρῶτον ἀγωνισάμενος.

Α. ά. Κ. ί.

Ἀρχαὶ δὲ βέβληνται Θεῶν
Κείνᾳ σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.
Ἔστι δ' ἐν εὐτυχίᾳ
Πανδοξίας ἄκρον· μεγάλων δ' ἀέθλων
Μοῖσα μεμνᾶσθαι φιλεῖ. —
Σπεῖρέ νυν ἀγλαΐαν τινὰ ναίσῳ,
Τὰν Ὀλύμπᾳ δεσπότας
Ζεὺς ἔδωκεν Φερσεφόνᾳ· κατένευ-
σέν τέ οἱ χαίταις, ἀρι-
σεύοισαν εὐκάρπᾳ χθονός

Ε. ά.

11. Ἀρχαὶ δὲ βέβληνται] ἀρχαὶ αἱ τῆ ἐγκωμίᾳ. τοῦτο δὲ λέγει διὰ τὸ ἀπὸ θεᾶ τῆς Ἀρτέμιδος κατῆρχθαι, ὥστε ἀρχὰς τὰ προοίμια τῆς ᾠδῆς αὐτοῦ λέγειν. ἔθος δὲ Πινδάρῳ θεοῖς ἀνάπτειν τὰ ὀπωσδῶν τοις ἀνθρώποις ἐκπονήμενα. ὁ δὲ νῦς· αἱ γὰρ ἀρχαὶ ταῖς δαιμονίαις καὶ θείαις ἀρεταῖς ἐκείνᾳ τῆ ἀνδρὸς ἐκ θεῶν βέβληνται, ἀντὶ τοῦ, ἐκ πρώτης καταβολῆς ἡ τύχη τύτῳ συνέβαλεν.

13. Ἔστι δ' ἐν εὐτυχίᾳ] ἔστι δὲ καὶ ἐκ τῆς εὐτυχίας καὶ εἰς ἄκρον εὐδοξίας ἀφικέσθαι, ἀντὶ τοῦ, κατὰ πάντα μέρη τὸ βίᾳ ἄκρως ἔνδοξος ὁ εὐτυχής. καὶ Εὐριπίδης (Fragm. inc. CCIV. ed. Lipf.)·

Τὸν εὐτυχοῦντα καὶ φρονεῖν
νομίζομεν.

14. Μεγάλων δ' ἀέθλων] μεγίστων ἐν ἀγωνισμάτων ἡ μοῦσα μεμνῆσθαι βούλεται.

16. Νῦν ἔγειρ' (sic) ἀγλαΐαν] ἔκπεμπε τοίνυν, ὦ μοῦσα, καὶ σπεῖρε λαμπρότητά τινα τῆ νήσῳ τῆ Σικελίᾳ, ἥντινα ὁ Ζεὺς ἐξαίρετον δέδωκε τῆ Φερσεφόνῃ ἀρίστην οὖσαν καὶ ἐπιτηδειοτάτην τῆς γῆς τῆς εὐκαρποτάτης, ἤγουν, ἐπένευσε τῆ ἑαυτοῦ κεφαλῆ τὴν Σικελίαν πιέζειν καὶ λιπαρῶς ἀνορθώσειν, ἢ τὴν πιοτάτην καὶ καλλίστην οὖσαν, πλησίον πόλεων ἐνοικήσειν ταῖς ὑπ' αὐτὴν ἐσομέναις. Ἄλλως. Περὶ τῆς ὅλης Σικελίας ἐστὶν ὁ λόγος. δοκεῖ δὲ αὐτὴν ὁ Ζεὺς εἰς τὸν γάμον Πλούτωνος τοῖς ἀνακαλυπτηρίοις τῆ Φερσεφόνῃ δωρήσασθαι. λέγεται δὲ ἡ πᾶσα Σικελία ἐξ ἀρχῆς Δήμητρος καὶ Κόρης, τοῦ Διὸς ὕστερον ἐξ ἀρχῆς βουληθέντος· ἤγουν, Περσεφόνη περὶ τὰς τῆς Αἴτνης διατρίβουσα λειμῶνας ἡρπάσθη παρὰ τοῦ Πλούτωνος. τὸ δὲ ὀρθώσειν, ἀντὶ τοῦ διαφυλάξειν ὀρθὴν τῆ Περσεφόνῃ, διὰ τῶν πόλεων τῶν ἐσομένων ἐν αὐτῆ ἀφνεῶν. ὕστερον γὰρ ἔμελλεν ὀρθοῦσθαι, ἡ Σικελία δηλονότι, εἰ ἀξιολόγους ἔχοι πόλεις ἐν αὐτῆ.

23. Ὦπα-

Ε. α'. Κ. η'.

Σικελίαν πίειραν ὀρθώ-
σειν κορυφαῖς πολίων ἀφνειᾶς·
Ὤπασε δὲ Κρονίων
Πολέμοι μναστῆρά οἱ χαλκεντέος
Λαὸν ἵππαιχμον, θαμὰ δὴ καὶ Ὀλυμ-
πιάδων φύλλοις ἐλαιᾶν
Χρυσέοις μιχθέντα. — πολλῶν ἐπέβαν
Καιρὸν, ὃ ψεύδει βαλών.

Σ. β'. Κ. ί.

Ἦσαν δ' ἐπ' αὐλείαις θύραις

23. Ὤπασε δὲ Κρονίων πολέμοι μναστῆρα] οἷον μνήμονα πολέμου, ἐπιστήμονα, ὐκ ἀμελῶντα τῶν πολεμικῶν, ἀλλὰ κατατιθέμενον ἐν τῷ νῷ, ὅτι δεῖ παρασκευάζεσθαι εἰς τὰ πολεμικὰ διόλυ. ὅμοιον τῷ (Hom. Il. IV, 328.)· μήσωρες ἀϋτῆς. ὁ δὲ νοῦς· παρέσχε δὲ πρὸς τοῖς εἰρημένοις ὁ Ζεὺς αὐτῇ, γενναίων ἀνδρῶν καὶ πολεμικῶν πλῆθος, ὥστε δι' ὅπλων μεμνῆσθαι τῶν πολεμικῶν, καὶ ἱππαιχμίαις εὐδοκιμεῖν.

25. Θαμὰ δὴ καὶ Ὀλυμπιάδων] ὐ μόνον, φησὶ, τὰ περὶ πόλεμον θρασυρίας ἀπέδειξε τὰς Σικελιώτας, ἀλλὰ καὶ Ὀλυμπιονίκας. οἷον, πολλάκις ἐνίκησαν ἐπ' Ὀλυμπίᾳ. ἔστι δὲ ὁ λόγος τῷ Πινδάρῳ ὐ περὶ τῆ Χρομίᾳ μόνῃ, ἀλλὰ καὶ περὶ τῆ παντὸς λαῆ, οἳ πολλὰς ἔσχον νίκας Ὀλυμπικάς. ἐντεῦθεν ἴσως πλανηθεὶς ὁ Τίμαιος, Ὀλυμπικὸν τὸν ἐπίνικον ᾠήθη εἶναι. ἔστι δὲ καὶ ὕτως ἀναγωνῶναι· ἵππαιχμόν θ' ἅμα δή· καὶ ὁ λόγος κατὰ συναλοιφὴν, ἵν' ᾖ, ὁ λαὸς μνησθὲ ἅμα πολέμου καὶ τῶν Ὀλυμπιακῶν ἀθλημάτων.

27. Πολλῶν ἐπέβαν καιρὸν] πολλῶν ἐπέβην καὶ ἡψάμην ἐγκωμίων, ὐδαμῆ τῷ καιρῷ πρὸς ψεῦδος χρησάμενος. ἢ ἕτω· τῆ καιρῆ τῆ ἀληθείᾳ τυχών.

29. Ἦσαν δ' ἐπαυλείαις (sic)] ἀμφίβολον πότερον ὁ χορὸς, ἢ ὁ ποιητὴς τῦτό φησι; δύνατω γὰρ ὁ χορὸς λέγειν ἐφ' ἑαυτῆ κυρίως, δύνατω δὲ καὶ ὁ Πίνδαρος μεταφορικῶς εἰπεῖν· ἔστι τῷ λόγῳ καὶ τῇ μολπῇ μέλπων αὐτὸν καὶ ὑμνῶν. ἐὰν μὲν ὖν ὁ χορὸς λέγῃ, κυρίως ἀκουσόμεθα δεῖπνον παρασκευάσασθαι· κῶμον γὰρ στέλλουσιν οἱ χορευτοί· ἐὰν δὲ ὁ ποιητὴς, κεκόσμηται τὰ δοθησόμενά μοι δῶρα, φησὶ, διὰ τῆ ὕμνυ. ὁ δὲ νοῦς· ἔστην δὲ παραγενόμενος ἐπὶ τοῖς οἴκοις τῆ φιλοξένυ ἀνδρὸς, τὰ καλὰ δὲ τύτῳ ἀναβαλλόμενος.

32. Θα-

Ἀνδρὸς Φιλοξείνου καλὰ μελπόμενος·
Ἔνθα μοι ἁρμόδιον
Δεῖπνον κεκόσμηται· θαμὰ δ' ἀλλοδαπῶν
Οὐκ ἀπείρατοι δόμοι
Ἐντί. — λέλογχε δὲ μεμφομένοις ἐσ-
λός γ' ὕδωρ καπνῷ φέρειν
Ἀντίον. τέχναι δ' ἑτέρων ἕτεραι.
Χρὴ δ' ἐν εὐθείαις ὁδοῖς

Στει-

32. Θαμὰ δ' ἀλλοδαπῶν ἐκ ἀπείρατοι] οἱ τῷ Χρομίῳ, φησὶ, δόμοι ἐκ εἰσὶν ἀπείρατοι ξένων, τουτέστι, φιλόξενοί εἰσιν. ὁ δὲ νῦς· ἡ γὰρ ἀπείρατος τῆς συνεχοῦς δεξιώσεως οἱ τήτε οἶκοι. συνεχῶς γαρ τὰς ἐκ τῆς ἀλλοδαπῆς ὑποδέχονται γῆς.

34. Λέλογχε δὲ μεμφομένοις] Ἀρίσταρχος ὕτω· τοῖς δὲ τὰς ἀγαθὰς μεμφομένοις τοῦτο λέλογχε, καὶ ὑποκείμενόν ἐστιν· οἷον ἀκολουθεῖ, ὥσπερ καπνῷ ὕδωρ φέρειν ἀντίον κατασβεννύναι. καταλείπεται δὲ τῇ ἀρχαίᾳ σημασίᾳ τὸ, ἐσλὸς, καὶ ἡ ἀντίστροφος ἀπῄτει τὸ ῡ. ταῖς δὲ τοιαύταις παραβολαῖς χρῆται ἀποτόμως, ὑ λέγων τὸ καθάπερ. καὶ ὁ μὲν Ἀρίσταρχος ταῦτα. βέλτιον δὲ ὕτως ἀκοῦειν κατ' ἐναλλαγὴν πτώσεως, μεμφομένοις, ἀντὶ τοῦ μεμφομένῃ σβεννυειν ὡς ὕδατι καπνόν, ἵνα αὐτὸς ὁ ἀγαθὸς καταβεννύῃ τὸν φθονερὸν, ἀλλα μὴ σβεννύηται ὑπ' ἐκείνου. χρῆται δὲ ὁ Πίνδαρος τῷ καπνῷ, ἀντὶ πυρὸς, ἐκ τοῦ παρακολουθοῦντος τὸ πρῶτον σημαίνων. ἡ ὕτω· τὸ ἐσλὸς, ἀντὶ τοῦ, ἐσλὺς, εἴρηται διωρικῶς. καὶ ὅτι τὸ λέλογχεν εἶπεν ἑνικῶς, ἀντὶ τοῦ, λελόγχασι. λελόγχασι δὲ οἱ καταμεμφόμενοι καπνῷ ὕδωρ ἐπιφέρειν, ὅ ἐστι, τὸς ἐχθομένῃς αὐτῷ οἴκοις ἐστὶ καταπραύνειν, ὥσπερ καπνῷ ὕδωρ ἐπιφέρων. τινὲς δὲ ὕτως· ὡς ὕδατι καπνὸν σβεννύουσι καὶ πῦρ, ὕτω τὰς ἐσλὰς σβεννύουσιν οἱ φθονεροὶ μεμφόμενοι. ἡ ὕτως· ἐκ ἀνύουσιν οἱ φθονεροὶ μεμφόμενοι τὰς ἀγαθὰς· ὁ γὰρ ἀγαθὸς ἀγαθός ἐστι, κἂν μυριάκις μέμφωνται αὐτόν. ὁ δὲ νῦς· πεφύκασι δὲ τοῖς μεμφομένοις τὰς ἀγαθὰς ὕτως τήκεσθαι, ὥσπερ ὑπὸ ὕδατος πῦρ, ὐκέτι δυνάμενον φέρειν τὴν θέρμην καὶ τὸν καπνόν.

36. Τέχναι δ' ἑτέρων ἕτεραι] τουτέστι, ἄλλοι ἄλλα φιλοτεχνοῦσι, τοῦτο δὲ λέγει· πρὸς ἃ πέφυκέ τις, πρὸς ταῦτα ἀκολουθοῦντα τῇ φύσει ἕνεκα, καὶ περὶ αὐτὰ ἐνεργεῖν. ἡ τέχναις, φησὶν ὁ Διόδυμος, ἀκτέον τὰς δόκας, ὅθεν καὶ τὸ ἀτεχνῶς παρὰ τοῖς Ἀττικοῖς. ἄλλαι δ' ἄλλων ἐπιτεχνήσεις. εἴρηται δὲ παράτε Ὁμήρῳ (Il. XIII, 730)·

Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα.

38. Μάτ-

Στείχοντα μάρνασθαι φυᾷ.

Α. β'. Κ. ί.

Πράσσει γὰρ ἔργῳ μὲν σθένος,
Βυλαῖσι δὲ φρήν· ἐσσόμενον προϊδεῖν
Συγγενὲς, οἷς ἕπεται. —
Ἀγησιδάμᾳ παῖ, σέο δ' ἀμφὶ τρόπῳ
Τῶν τε καὶ τῶν χρήσιες. —
Οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλῦ-
τον κατακρύψας ἔχειν·

R 3 Ἀλλ'

38. Μάρνασθαι φυᾷ] μάρνασθαι ἂν Ἀρίσταρχος ἀντὶ τοῦ μάχεσθαι, καὶ ἀντερίζειν χρώμενον φύσει κατὰ τρόπον, καὶ μηδὲν παρὰ φύσιν πράττειν. μήποτε δὲ τὸ μάρνασθαι, οὐκ ἔξι μάρνασθαι, ἀλλ' ἐνεργεῖν, ὡς φησι Δίδυμος, καὶ πραγματεύεσθαι, ὥστε εἶναι τὸ κεφάλαιον τοῦ λόγου· προσήκει δὲ εὐθὺ ἀδόλως πράττειν, καθ' ἣν εἴληχεν ἕκαστος φύσιν, ἢ ἔργῳ, ἢ γνώμῃ. ἄριστον ἂν χρὴ, καθ' ἣν γεγέννηταί τις φύσιν, ταύτῃ ἀκολουθεῖν, καὶ μὴ βιάζεσθαι αὐτὴν εἰς ἄλλα τρέποντα, μηδὲ τῷ φθόνῳ μάρνασθαι πρὸς τὰς ἀγαθὰς, ἀλλὰ συνασκεῖν, ἅ τις ἔχει ἐκ φύσεως. ὁ δὲ νῦς· χρὴ δὲ ταῖς εὐθείαις ὁδοῖς βαδίζοντα καταχρᾶσθαι ταῖς ἑαυτοῦ, καὶ τῇ φύσει, μὴ δι' ἑτέρων ἐπιτηδευμάτων τὴν ἰδίαν ἐνυβρίζειν τέχνην.

39. Πράσσει γὰρ ἔργῳ μὲν σθένος] συμπράσσει καὶ συνεργεῖ τοῖς μὲν ἔργοις, φησὶν, ἡ ἀνδρεία, τοῖς δὲ βυλεύμασι καὶ λόγοις ὁ νῦς· μετέβαλε δὲ τὸ Ὁμηρικὸν (Il. XVI, 630.)·

Ἐν γὰρ χερσὶ τέλος πολέμου,
ἐπέων δ' ἐνὶ βυλή.

ὕτω τῷ νῷ ὁ λόγος ἕπεται, ὥστε τὸ μέλλον προγνῶναι ἀκολουθῶς, ὡς ἔξι συγγενὲς καὶ σύμφυὲς καὶ ἀκόλουθον. συγγενὲς γὰρ τὸ συμφυές.

42. Ἀγησιδάμᾳ παῖ, σέο δ' ἀμφὶ τρόπῳ] σοῦ δὲ, ὦ Χρόμιε, τοῦ Ἀγησιδάμου παῖ, περὶ τὸν τρόπον καὶ τὸν βίον ἀμφοτέρων ἡ χρῆσις ὑπάρχει καὶ λόγων καὶ ἔργων. πρὸς ἀμφότερα γὰρ χρήσιμος εἶ, τυτέσιν ἐπὶ τῶν ἔργων καὶ τῆς συνέσεως. ἐνεργεῖς γὰρ καὶ προβυλεύῃ.

44. Οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον] πιθανῶς ὃ θέλει παραινέσαι τῷ Χρομίῳ, ἐξενήνοχεν ἐφ' ἑαυτοῦ· οὐκ ἐπιθυμῶ, φησὶ, κατακρύψαι θησαυρὸν, ἵνα πλουτῶ, ἀλλὰ παρόντων τῶν ἀπὸ τοῦ πλούτου, καὶ εὖ παθεῖν καὶ εὖ ἀκοῦσαι θέλω, ἐξαρκοῦν τοῖς φίλοις. τὸ δὲ ὅλον· ἀφελητικός, φησι, γίνου.

48. Κοι-

Ἀλλ' ἐόντων, εὖ τε παθεῖν καὶ ἀκῦσαι φίλοις ἐξαρκέων.
Κοιναὶ γὰρ ἔρχονθ' ἐλπίδες

Ε. β'. Κ. η'.

Πολυπόνων ἀνδρῶν. — ἐγὼ δ' Ἡρακλέος ἀντέχομαι προφρόνως

Ἐν

48. Κοιναὶ γὰρ ἔρχονθ' ἐλπίδες] αἱ γὰρ ἐλπίδες κοιναὶ καὶ αἱ μέλλησίς, φησι, προσδοκίαι, κοιναὶ καὶ ἄδηλοι τοῖς ἀνθρώποις εἰσίν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἴ τις τοῖς φίλοις ἐπαρκέσει, ὕτος καὶ ἐλπίδος ποτὲ διαπεσῶν, τῆς ἴσης τύχοι ἀμοιβῆς. ἄδηλα γὰρ τὰ παρὰ τῆς τύχης συμπτώματα.

49. Ἐγὼ δ' Ἡρακλέος ἀντέχομαι προφρόνως] ἐπαπορήσειεν ἄν τις, διατὶ τὸ Ἡρακλέος μνημονεύει; ἢ γὰρ εὔκαιρος δοκεῖ ἡ μνήμη νῦν Ἡρακλέους· καὶ φαμὲν, ὅτι βιλόμενος δεῖξαι, ὡς οἱ διαφανεῖς ἐν τοῖς ἔργοις καὶ τοῖς λόγοις ἀθάνατοι γίνονται τῇ μνήμῃ, διὰ τοῦτο μέμνηται Ἡρακλέους ἀρετῆς, ἐπιφέρων τοῖς τοῦ Χρομίου θαύμασιν· ὅτι ἐγὼ ἀντέχομαι ἐν ταῖς κορυφαῖς ταῖς τῶν σῶν ἀρετῶν, καὶ μνημονεύω τῶν κατὰ Ἡρακλέα διηγημάτων. Ἄλλως. Ὁ μὲν οὖν Ἀρίσταρχός φησιν, ὅτι ὅσοντοι τινες, ὅτι ὑπόθεσις αὐτῷ ἐδέδοτο τοιαύτη, ὥστε μνησθῆναι τοῦ θεοῦ, ὅπερ ἐστὶν, ὡς καὶ Ἀρίσταρχός φησιν, ἀπίθανον. μήποτε δὲ, ὅτι ἀεὶ ὁ Πίνδαρος ἐπαινεῖ τὰς φύσει μᾶλλον τῶν ἐκ διδαχῆς περιγινομένας. ὁ δὲ Ἡρακλῆς τοιοῦτος. τοῦτο δὲ ἀπίθανον. τί γὰρ ὅτι τὴν πρώτην περὶ Ἡρακλέους γινομένην συμφορὰν συμφορὰν ἰδίως ἐξύμνησεν; εἰς ἔνδειξιν δὲ τῶν φυσικῶν ἀγαθῶν. Ἡρακλῆς γὰρ μέχρι παντὸς ἐκ φύσεως ἀγαθὸς ὢν ἀνεφάνη, ὥστε ἐκ ἂν ὁμοίωσε τὸν ἔπαινον, ἓν μόνον τὸ περὶ τοὺς δράκοντας αὐτῷ διαπραχθὲν εἰπών· ἀλλ' εἴπερ ἄρα, ἀπὸ τῶν ἐπιφανεστέρων ἂν ἐπῆνει τὸν Ἡρακλέα. ὁ δὲ Χαῖρίς φησιν, ὅτι ὁ Χρόμιος πολλὰ συμπονήσας τῷ Ἱέρωνι κατὰ τὴν ἀρχὴν, ἀμοιβῆς ἔτυχεν ἐξ αὐτοῦ, ὥστε ἐκ περιουσίας καὶ ἱπποτροφῆσαι. ὡς ἓν ὕτος ἔπαθλον ἔλαβε πόνων τὴν ἐπιφάνειαν, ὕτω καὶ Ἡρακλῆς πολλὰ ταλαιπωρήσας ἔπαθλον ἔσχε τὴν ἀθανασίαν καὶ τὸν γάμον τῆς Ἥβης. Καὶ πρὸς τοῦτον δὲ ἔνεστιν εἰπεῖν· τί δή ποτε ὁ Πίνδαρος ἰδιώτην ἐπαινῶν τὴν τοῦ Ἡρακλέους παρέλαβε συμφορὰν εἰς ἐπίδειξιν τῆς φιλοπονίας; μᾶλλον γὰρ ἔδει κοινοτέρου πάντας τοὺς ἄθλους εἰς ὑπόμνησιν ἀγαγεῖν, ὅτι καθήρας γῆν καὶ θάλασσαν ἀπεθεώθη. ὁ δὲ Χρύσιππος Νεμεακὸν εἶναί φησι τὸν ἀγῶνα, καὶ τὸν ἐπὶ τούτῳ ἆθλον ἐπίνικον, διά τε τὸ, Νεμεαῖον

Ἐν κορυφαῖς ἀρετᾶν
Μεγάλαις, ἀρχαῖον ὀτρύνων λόγον·
Τόνδ', ὅπως σπλάγχνων ὕπο ματέρος αὐ-
τίκα θαητὰν ἐς αἴγλαν
Παῖς Διός γ' ὠδῖνα φεύγων διδύμῳ
Σὺν κασιγνήτῳ μόλεν,

μεταῖον εἶναι τὸν λέοντα, ταύτῃ τὸν Ἡρακλέα τοῖς τῆ νεμηκότος ἐπαίνοις ἐγκαταμεμίχθαι. ἀντιπράττει δὲ καὶ τούτῳ τὸ, μηδ' ὅ τι ἦν τὸν Πίνδαρον εἰπεῖν περὶ λέοντος, ὅπερ αἰτιώτατον τῆς παραβάσεως φησὶν ὁ Χρύσιππος εἶναι. βέλτιον δὲ φησιν ὁ Δίδυμος ἐκεῖνο λέγειν, ὅτι, ὃ περὶ τῆς Αἴτνης ἔφη, τοῦτο καὶ νῦν βέλεται δηλῶν ὁ Πίνδαρος (Pyth. I, 64 f.)· ναυσιφορήτοις δ' ἀνδράσι πρώτη χάρις ἐς πλόον ἐρχομένοις, πομπαῖον ἐλθεῖν ὄρον. τοιοῦτο λέγει ἂν τις καὶ ἐπὶ τῆ Χρομίᾳ, ἐπεὶ νῦν ἤρκτου ἀγωνίζεσθαι, καὶ ἀρξάμενος εὐθὺς ἐνίκησεν, ἐλπὶς ἐστιν αὐτῷ, καὶ τῶν ἄλλων τεύξεσθαι στεφάνων. πρὸς τί ἂν τὸ περὶ τῆ Ἡρακλέους ἐστὶν ὑπόδειγμα; ὅτι καὶ Ἡρακλῆς, βρέφος ἔτι ὤν, μεταχειρισάμενος τὼς δράκοντας, καὶ τὼς αὖθις ἄθλως κατεπράξατο· καὶ, ὥσπερ τότε περὶ τὸν Ἡρακλέα γεγενημένος ὁ Ἀμφιτρύων θηβαῖον ὄντα τὸν Τειρεσίαν προανέκρινε περὶ τῆ παιδός, ὁ δὲ προεμαντεύσατο, τὼς ἐσομένως αὐτῷ ἄθλως, ὅτως αὐτὸς ὁ Πίνδαρος ὑπὸ τῆς πρώτης τῆ Χρομίᾳ νίκης πρεμαντεύεται, ὅτι καὶ τῶν λοιπῶν στεφάνων τεύξεται. ὁ δὲ νῦς· ἐγὼ δ' ἐφίεμαι καὶ ἐκ ἀφίσταμαι τῆ Ἡρακλέος, ἐγείρων τὸν λόγον ὄντα ἀρχαῖον, τὸν ἐν ταῖς μεγίσταις τῶν ἀρετῶν, ἃ κορυφαῖς τὸν ἐμὸν ὁπλίζων καὶ ἐγείρων λόγον· ἀντέχομαι γὰρ καὶ ζηλῶ αὐτόν. ἢ ὅτως· ἐν ταῖς κορυφαῖς τῶν ἀρετῶν, τὸν ἐξ ἀρχῆς παροτρύνων περὶ αὐτῆ λόγον, οἷον, ἀπ' ἀρχῆς τῶν περὶ αὐτὸν γεγονότων μνημονεύων.

53. Ὡς ἐπεὶ σπλάγχνων ὑπὸ ματέρος] διηγησομαί, φησιν, ὥσπερ ἐκ τῆς μητρικῆς νηδύος εἰς τὰς αὐγὰς ἦλθε τὰς ἡλιακὰς, ὁ τῆ Διὸς παῖς Ἡρακλῆς, ἅμα τῷ ἀδελφῷ Ἰφικλεῖ διδύμῳ ὄντι, ἐκφυγὼν τὴν ὠδῖνα. ἐναντίος ὅτος τῷ Θεοκρίτῳ. ἐκεῖνος γάρ φησι (Idyll. XXIV, 2.) καὶ νυκτὶ νεώτερον Ἰφικλέος. ἡμέραν δὲ λαμπρὰν καὶ θαυμαστὴν, ἤτοι τὴν ἐρατὴν αἴγλαν, τὸ φῶς, ἢ τὴν αἰτίαν τῆ θεάσασθαι ἡμᾶς. καθὸ καὶ μητέρα ἡλίᾳ θείαν διεπλάσαντο. θεὰς γὰρ αἴτιος ἡμῖν ὁ θεός.

57. Ὡς

Σ. γ'. Κ. ί.

Ὡς τ' ἐ λαθὼν χρυσόθρονον
Ἥραν κροκωτὸν σπάργανον ἐγκατέβα.
Ἀλλὰ Θεῶν βασιλὶς
Σπερχθεῖσα θυμῷ πέμπε δράκοντας ἄφαρ.
Τοὶ μὲν οἰχθεισᾶν πυλᾶν
Ἐς θαλάμυς μυχὸν εὐρὺν ἔβαν, τέ-
κνοισιν ὠκείας γνάθυς
Ἀμφελίξασθαι μεμαῶτες. ὁ δ' ὀρ-
θὸν μὲν ἄντεινεν κάρα,
Πειρᾶτο δὲ πρῶτον μάχας,

Α. γ'. Κ. ί.

Δισσαῖσι δοιὰς αὐχένων

Μάρ-

57. Ὡς τ' ἐ λαθὼν χρυσόθρονον Ἥραν] διηγήσομαι ἔν, φησι, καὶ ὅπως μὴ δυνηθεὶς διαλαθεῖν τὴν Ἥραν, εἰς κροκοβαφὲς ὕφασμα ἐπετέθη σπαργανωθείς. κροκωτὸν δὲ, ἤτοι ἀπὸ τῆς κρόας, τὸ κροκοειδὲς, ἢ ἀπὸ τῆς κρόκης, τὸ ὑφαντόν.

59. Ἀλλὰ Θεῶν βασίλεια (sic)] ἐ ἀλλὰ κεῖται ἀντὶ τοῦ δέ.

60. Σπερχθεῖσα θυμῷ] ἐπιχυθεῖσα, λυπηθεῖσα, ταραχθεῖσα δὲ τῇ ψυχῇ, καὶ ὑπερζέουσα τῷ θυμῷ, ὅ τότε ὅτε ἐνετέθη τῷ κροκωτῷ σπαργάνῳ, ἀλλ' ἔτι πάλαι, ὅτε ἐμίσγετο τῇ Ἀλκμήνῃ ὁ Ζεύς.

61. Τοὶ μὲν οἰχθεισᾶν πυλᾶν] οἱ μὲν ἕν δράκοντες, ἀνεωχθεισᾶν τῶν πυλῶν, εἰς τὸ ἐσώτατον τῶν οἴκων παρεγένοντο, ἔνθα κατέκειτο ὁ παῖς. τὸ δὲ ἀμφιελίξασθαι, ἀντὶ τοῦ μασᾶσθαι, ἀπὸ τοῦ παρεπομένου δεδήλωκε, τυτέτι καταφαγεῖν, διὰ τὸ συσρέφειν τὰς γνάθυς τὰς μασσωμένης· ἢ ἐπεὶ μεγαλοσωμώτατόν ἐσι τὸ ζῶον, καὶ ὅμοιον τῇ εἰλήσει τὴν κατάποσιν ποιεῖ.

64. Ὁ δ' ὀρθὸν μὲν ἄντεινε κάρα] ὁ δὲ Ἡρακλῆς, φησὶν, ὀρθώσας ἑαυτὸν, πρώτης ταύτης τῆς μάχης πεῖραν ἐλάμβανε, καὶ ταῖς δύο χερσὶν ἑαυτοῦ τοὺς δύο ὄφεις ἐκ τῶν αὐχένων σφίγξας ὕπνου ἀφύκτου κατεῖχεν. εἰσὶν ὧν, οἳ ὑπὸ Ἀμφιτρύωνος ἐπιπεμφθῆναι τοὺς ὄφεις φασὶν, ἐπὶ διαπείρᾳ τοῦ γνῶναι, πότερος εἴη τοῦ Διὸς, ὡς Φερεκύδης φησὶν, ἐνιαυσίους ὄντας ἤδη· καὶ ὁ μὲν Ἰφικλῆς φεύγει, ὁ δὲ ἐπὶ τῆς εὐνῆς μείνας ἀμφοτέρους ἀνέπνιξεν.

69. Ἀγχο-

Μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας·
Ἀγχομένοις δὲ χρόνος
Ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων.
Ἐκ δ' ἄρ' ἄτλατον δέος
Πλᾶξε γυναῖκας, ὅσαι τύχον Ἀλκμήνας ἀρήγοισαι λέχει.
Καὶ γὰρ αὐτὰ ποσσὶν ἄπεπλος ὀρθ-
σασ' ἀπὸ τρωμνᾶς, ὁμῶς
Ἄμυνεν ὕβριν κνωδάλων. —

Ε. γ'. Κ. ή.

Ταχὺ δὲ Καδμείων ἀγοὶ χαλκέοις σὺν ὅπλοις ἀθρόοι ἔδραμον.
Ἐν χερὶ δ' Ἀμφιτρύων
Κολεῷ γυμνὸν τινάσσων φάσγανον
Ἵκετ', ὀξείαις ἀνίαισι τυπείς. —

69. Ἀγχομένοις δὲ] τούτους φησὶ, τοὺς δράκοντας τρεβλυμένους καὶ πνιγομένους αἱ ψυχαὶ ἀπέλιπον, καὶ νεκροὺς εἶσαν τὸ παμμέγεθες σῶμα. ἀφάτων μελέων γάρ φησιν, ἀντὶ τοῦ ἀῤῥήτων, ἐκ ἐπιδεχομένων τὸ φατισθῆναι διὰ μέγεθος· ἢ φθαρτικῶν ἄγαν, κατ' ἐπίτασιν λαμβανομένου τοῦ α. φάσκει γὰρ τὸ φθεῖρον, ἔνθεν καὶ τὸ φάσγανον.

71. Ἐκ δ' ἄρ' ἄτλαντον (sic) δέος πλᾶξε γυναῖκας] ἐξέπληξε δὲ τοῦτο τὸ ἀνυπομόνητον κακὸν τὰς ἐκείσε γυναῖκας πάσας, ὅσαι ἔτυχον περὶ τὴν θεραπείαν τῆς Ἀλκμήνης καὶ τὴν κοίτην.

74. Καὶ γὰρ αὐτὰ ποσὶν ἄπεπλος ὀρθώσασα] τὴν ἄπεπλον ὡ δεκτέον γυμνήν· ἁπρεπὴς γὰρ ἡ εἰκών· ἀλλὰ νοητέον, ὅτι τὸν μὲν πέπλον ἔῤῥιψεν, ἐν δὲ τῷ χιτωνίσκῳ ἀνήλατο νεοτόκος ὅσα, τὴν βλάβην τῶν δρακόντων ἐκφεύγουσα. κνώδαλα δὲ κυρίως τὰ ἐν τῇ θαλάσσῃ θηρία, παρὰ τὸ ἐν ἁλὶ κινεῖσθαι, καταχρηστικῶς δὲ καὶ πᾶν θηρίον, ὡς καὶ Ὅμηρος (Od. XVI, 317.)·

Κνώδαλον ὅττι δίοιτο καὶ ἴχνεσι γὰρ περιήδει.

ὁ δὲ νῦς· καὶ γὰρ αὐτὴ ἡ Ἀλκμήνη μονόπεπλος, αὐτοποδητὶ ἐκπηδήσασα ἀπὸ τῆς κοίτης, ἐπὶ βοή-

Τὸ γὰρ οἰκεῖον πιέζει
Πάνθ' ὁμῶς· εὐθὺς δ' ἀπήμων κραδία
Κᾶδος ἀμφ' ἀλλότριον. —

Σ. δ'. Κ. ί.

Ἕστα δὲ θάμβει δυσφόρῳ
Τερπνῷ τε μιχθείς. εἶδε γὰρ ἐκνόμιον
Λῆμά τε καὶ δύναμιν
Τῆδ. παλίγγλωσσον δέ οἱ Ἀθάνατοι
Ἀγγέλων ῥῆσιν θέσαν.
Γείτονα δ' ἐκκάλεσεν Διὸς ὑψί-
στᾳ προφάταν ἔξοχον,

Ὀρθό-

βοήθειαν ἠπείγετο πρὸς τὴν τῶν θηρίων βλάβην.

82. Τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὁμῶς] τὸ γὰρ οἰκεῖον καὶ ἴδιον κακὸν ὁμοίως πιέζει καὶ λυπεῖ τοὺς οἰκείους πάντας· περὶ δὲ τὰ ἀλλότρια συμπτώματα καὶ κακὰ ἀβλαβὴς καὶ ἄλυπος ἡ καρδία παράκρημα γίνεται. Ἄλλως. ἕκαστος θάκνεται τῷ οἰκείῳ κακῷ· ὅταν δὲ τὰ τῶν ἄλλων ἴδῃ κακά, εὐκόπως ὑπομένει.

85. Ἕστα δὲ θάμβει δυσφόρῳ τερπνῷ] δυσυπομονήτῳ. πῶς δὲ ταυτὸν δυσυπομόνητον καὶ τερπνόν; ὅτι μὲν δρακόντων ἦν ἔφοδος ἐπὶ νεογνὰ τὰ τέκνα, δύσελπις ἐγένετο· καθὸ δὲ εἶδεν αὐτὸς ἀγχομένης ὑπὸ Ἡρακλέους, ἐτέρφθη. διὸ ἐξεπλάγη δυσφορῶν ἅμα καὶ τερπόμενος. ὁ δὲ νὺς ὅτως· ἔστη δὲ ὁ Ἀμφιτρύων ἐκπλήξει βαρυτάτῃ καὶ τέρψει πολλῇ συγκραθείς. Ὅμηρος (Il. VI, 484)· Δακρυόεν γελάσασα. καὶ ἐν ἄλλοις (Od. XIX, 471)· Τῇ δ' ἅμα χάρμα καὶ ἄλγος ἔλε φρένα.

86. Εἶδε γὰρ ἐκνόμιον λῆμα] ἐκνόμιον λῆμα, ἤτοι ἀπὸ τῶν παρὰ τὰς νόμους τινὰ πραττόντων καὶ βιαζομένων, ἢ ἀπὸ τῆς νομῆς, καθὸ ἀτιμαγέλαι τινὲς λέγονται βόες. ὁ δὲ νὺς· ἐθεάσατο γὰρ ἄνθρωπος καὶ ὃ νομιζόμενον δυνάμεως ἔργον τῇ ὑιῇ, τυτέστι, τῇ Ἡρακλέους.

88. Παλίγγλωσσον δέ οἱ ἀθάνατοι] τὴν ἐναντιόφημον, τὴν ἐναντίαν τοῖς προηγγελμένοις τὸν λαὸν ἔχουσαν. οἱ μὲν γὰρ ἄγγελοι ἐσήμαινον, ὅτι νεκρὰ ἦν τὰ βρέφη, ὁ δὲ εὗρε σώας, καὶ ὑπ' αὐτῶν τοὺς δράκοντας ἀνῃρημένους. ἐναντίον οὖν ἐγένετο τοῖς ὁρωμένοις τὸ ἄγγελμα, ὅ ἐστιν ἐναντιόφημον.

90. Γείτονα δ' ἐκάλεσεν (sic) Διὸς ὑψίστῳ] ἐκάλεσεν δὲ τὸν ἔξοχον προφήτην τῷ Διὸς, πλησίον ὄντα, τὸν ἀληθῆ μάντιν Τειρεσίαν.

92. Ὁ

Ὀρθόμαντιν Τειρεσίαν. ὁ δέ οἱ
Φράζε καὶ παντὶ τρατῷ,
Ποίαις ὁμιλήσει τύχαις,

Α. δ'. Κ. ί.

Ὅσσας μὲν ἐν χέρσῳ κταναὼν,
Ὅσσας δὲ πόντῳ θῆρας ἀϊδροδίκας,
Καί τινα σὺν πλαγίῳ
Ἀνδρῶν κόρῳ τειχοντα τῷ ἐχθροτάτῳ
Φᾶσέ νιν δώσειν μόρῳ.
Καὶ γὰρ ὅταν Θεοὶ ἐν πεδίῳ Φλέγρας γιγάντεσσιν μάχαν

Ἀντιά-

92. Ὁ δέ οἱ φράζε καὶ παντὶ] ὁ δὲ μάντις Τειρεσίας εἶπεν αὐτῷ τῷ Ἀμφιτρύωνι καὶ ὅλῳ τῷ ὄχλῳ τῶν Θηβαίων, ὁποίαις συντεύξεται καὶ συναναστραφήσεται πράξεσί τε καὶ τύχαις ὁ Ἡρακλῆς.

96. Ὅσσας δ' ἐν πόντῳ θῆρας ἀϊδροδίκας] ἀπέκτεινε γὰρ καὶ τὸ κῆτος τὸ ἐν τῇ Τρωάδι. μέμνηται δὲ τούτου καὶ Ὅμηρος (Il. XX, 146 f.)·

τὸ ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη
Ποίεσν, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέοιτο.

97. Καί τινα σὺν πλαγίῳ ἀνδρῶν κόρῳ τειχοντα] πρὸς τὸ ὀρθὸν τῇ λόγῳ, ἀντὶ αἰτιατικῆς τὴν δοτικὴν ἀκηκτέον, ᾧ ἤ· καί τινι ἀδίκῳ ἀνδρὶ αὐτὸν τὸν Ἡρακλέα ἔφασκε δώσειν μόρον, ἀντὶ τοῦ, τὸν ἀδίκως ἀνελεῖν. Ἄλλως. σὺν πλαγίῳ· ᾧ κατ' εὐθὺ ὄντι, ἐκ παρὸ τὸ δικαίᾳ περισσιαζομένῳ. μετῆκται δὲ ἀπὸ τῶν κακούργων. ᾧ γὰρ τὴν λεωφόρον βαδίζουσιν, ἀλλ' ἐκτρεπόμενοι, τὰς ἐρήμους. τείνει δὲ ὁ λόγος ἐπὶ Βούσιριν καὶ Ἀνταῖον. ὅτοι γὰρ δὴ ὕβριν ὑφ' Ἡρακλέος ἀπώλοντο ἑκάτεροι. ὁ δὲ νῦς· καί τινα συμβήσεται ἄνδρα ἄδικον πλάτῳ ἐπαιρόμενον, δίκην ὑποσχεῖν, καὶ ἐχθροτάτῳ καὶ ἀπεύκτῳ μόρῳ περιπεσεῖν· εἰπεῖν αὐτῷ καὶ τοῦτο ὁ μαντευόμενος Τειρεσίας.

100. Καὶ γὰρ ὅταν Θεοὶ] καὶ ὅταν οἱ Θεοὶ τοῖς γίγασιν εἰς μάχην συνάπτωσιν. ἔξωθεν γὰρ τὴν εἰς πρόθεσιν παραλαμπτέον. Φλέγρα δὲ τόπος ἐν Θράκῃ, καὶ κώμη, ἔνθα οἱ γίγαντες ἀνῃρέθησαν ὑπὸ θεῶν. τῶν δὲ ἐχόντων τὴν μάχην πρὸς τοὺς γίγαντας, καὶ μὴ περιγινομένων τῇ μάχῃ, φασὶν εἰρηκέναι τὴν Γῆν, μὴ ἄλλως ἀλῶναι τούτους, εἰ μὴ συμμαχήσειαν αὐτοῖς δύο τῶν ἡμιθέων. Ἡρακλέος τοίνυν καὶ Διονύσου συνελθόντων, ἐκράτησαν οἱ θεοὶ τῶν γιγάντων.

προεί-

Ἀντιάζωσιν, βελέων ὑπὸ ῥι-
παῖσι κείνᾳ Φαιδίμαν
Γαίᾳ πεφύρσεσθαι κόμαν

Ε. δ'. Κ. ή.

Ἔνεπεν· αὐτὸν μὰν ἐν εἰρή-
να τὸν ἅπαντα χρόνον σχὲν ἀεὶ
Ἡσυχίαν, καμάτων
Μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον,
Ὀλβίοις δ' ἐν δώμασι, δεξάμενον
Θαλερὰν Ἥβαν ἄκοιτιν,
Καὶ γάμον δαίσαντα παρ' Διὶ Κρονίδᾳ
Σεμνὸν αἰνήσειν δόμον.

προεῖπεν ὧν ὁ μάντις, ὅτι καὶ τὴν ἐκεῖ τὴν ἐν τῇ Φλέγρᾳ πρὸς τοὺς γίγαντας μάχην μέλλειν ἔσεσθαι, ὅτε ὁ πόλεμος τῶν θεῶν ὑπὸ τοῖς τοῦ Ἡρακλέους τόξοις πεσεῖται, καὶ τὴν κόμην αὐτῶν τὴν φαιδίμην συμφυρήσεσθαι τῇ γῇ συμβησεται, διὰ τὸς ἀγῶνας τὸς πρὸς τὸς γίγαντας. σκληρότερον δὲ ἐξενήνεκται. μᾶλλον γὰρ ἐπὶ νεκρῷ ἑλκομένη τὸ τοιοῦτο τάσσεται. Ὁμηρος (Il. XXII, 427)· ὡς τοῦ μὲν κεκόνιστο κάρη.

105. Ἔνεπεν (sic) αὐτὸν μὰν ἐν εἰρήνᾳ] καὶ τοῦτο δὲ προεῖπεν ὁ μάντις, ὅτι καὶ τοῦ λοιποῦ αὐτὸς ὁ Ἡρακλῆς ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ διατελέσει, ταύτην ἀμοιβὴν τῶν ἑαυτοῦ πόνων λαβών, καὶ ὅτι λήψεται μὲν γυναῖκα, τὴν θαυμασίαν Ἥβην, παρ' αὐτῷ τῷ Διὶ τελουμένης τῆς εὐωχίας τοῦ γάμου, οὗ τινος Διὸς καὶ θαυμάσει τὴν σύνοδον· εἷς δὲ ἐκ τῶν θεῶν γενόμενος σύννομος ἔσται τοῖς οὐρανίοις θεοῖς.

Περὶ τῶν κώλων τῆ δευτέρᾳ τῶν Νεμέων εἴδῃς.

Ἡ δευτέρα τῶν Νεμέων ᾠδὴ μονόστροφός ἐστι κατὰ ὀγδοάδας διῃρημένη, ὧν τὸ α΄ Γλυκώνειον. Τὸ β΄ Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ γ΄ λογαοιδικὸν, Ἀλκαϊκόν. Τὸ δ΄ δίμετρον δακτυλικόν. Τὸ ε΄ δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ϛ΄ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. Τὸ ζ΄ ἰαμβικὸν πενθημιμερές. Τὸ η΄ δακτυλικὸν τετράμετρον.

ARGVMENTVM SECVNDI CARMINIS.

Vnde rhapsodi initium canendi faciunt, a Ioue, inde et hic vir initium victoriarum cepit, in Iouis Nemeaei luco (1 — 8). Oportet vero eum (Timodemum), si paterno instituto Athenas ornabit, multas victorias Isthmicas et Pythicas consequi; probabile vero est, Orionem a Pleiadibus non multum abfore (victoriam Olympicam non abfore) (— 17). Salamis vero educare virum fortem potest. Sic Hector Aiacem ad Troiam expertus est. Te, Timodeme, pancratium celebrem reddit (— 24). Acharnae olim iam fortibus viris frequentes. Quoties Timodemidae in certaminibus eximii praestiterunt! Ad Parnassum quatuor victorias reportarunt; in Pelopis recessu, Corinthiis iudicantibus, octo; Nemeae septem; domi in Iouis ludis multo plures (— 37). Hunc Iouem, ciues, in glorioso Timodemi reditu celebrate carmine suaui (— 40).

ΕΙΔΟΣ β'.

ΤΙΜΟΔΗΜΟΣ ΑΘΗΝΑΙΟΣ

ΠΑΓΚΡΑΤΙΑΣΤΗΣ.

Ὠγδοὰς α'.

Ὅθεν περ καὶ Ὁμηρίδαι
Ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ
Ἄρχονται, Διὸς ἐκ, προοιμί-
α, καὶ ὅδ' ἀνὴρ

Κατα-

1. Ὅθεν περ καὶ Ὁμηρίδαι] Ὁμηρίδας ἔλεγον τὸ μὲν ἀρχαῖον τοὺς ἀπὸ τοῦ Ὁμήρου γένους, οἵ καὶ τὴν ποίησιν αὐτοῦ ἐκ διαδοχῆς ᾖδον· μετὰ δὲ ταῦτα καὶ οἱ ῥαψῳδοὶ, οὐκέτι τὸ γένος εἰς Ὅμηρον ἀνάγοντες. ἐπιφανεῖς δὲ ἐγένοντο οἱ περὶ Κύναιθον, οὗς φασι πολλὰ τῶν ἐπῶν ποιήσαντας ἐμβαλεῖν εἰς τὴν Ὁμήρου ποίησιν. ἦν δὲ ὁ Κύναιθος Χῖος, ὃς καὶ τῶν ἐπιγραφομένων Ὁμήρου ποιημάτων τὸν εἰς Ἀπόλλωνα γεγραμμένον ὕμνον λέγεται πεποιηκέναι. οὗτος οὖν ὁ Κύναιθος πρῶτος ἐν Συρακούσαις ἐραψῴδησε τὰ Ὁμήρου ἔπη, κατὰ τὴν ἑξηκοστὴν ἐννάτην Ὀλυμπιάδα, ὡς Ἱππόστρατός φησιν. Ἄλλως. Τοὺς ῥαψῳδοὺς οἱ μὲν ῥαβδῳδοὺς ἐτυμολογοῦσι διὰ τὸ μετὰ ῥάβδου δηλονότι τὰ Ὁμήρου ἔπη διεξιέναι. Καλλίμαχος (Fragm. p. 138. Bentl. T. I. p. 497.)

Καὶ τὸν ἐπὶ ῥάβδῳ μῦθον
ὑφαινόμενον
Ἠνεκὲς ἀείδω δεδεγμένος.

οἱ δέ φασι, τῆς Ὁμήρου ποιήσεως μὴ ὑφ' ἓν συνηγμένης, σποράδην δὲ ἄλλως καὶ κατὰ μέρη διῃρημένης, ὁπότε ῥαψῳδοῖεν αὐτὴν, εἱρμῷ τινι καὶ ῥαφῇ παραπλήσιον ποιεῖν, εἰς ἓν αὐτὴν ἄγοντας. οὕτω καὶ ὁ Πίνδαρος εἰσδέδεκται. οἱ δὲ, ὅτι κατὰ μέρη πρότερον τῆς ποιήσεως διαδιδομένης, τῶν ἀγωνιστῶν ἕκαστος ὅ τι βούλοιτο μέρος ᾖδε· τοῦ δὲ ἆθλα τοῖς νικῶσιν ἀρνὸς ἀποδεδειγμένα, προσαγορευθῆναι τότε μὲν ἀρνῳδούς· αὖθις δὲ ἑκατέρας τῆς ποιήσεως εἰσενεχθείσης τοὺς ἀγωνιστὰς οἷον ἀκηκοέναι πρὸς ἄλληλα τὰ μέρη, καὶ τὴν σύμπα-

σαν

5 Καταβολὰν ἱερῶν ἀγώνων
Νικαφορίας δέδεκται
Πρῶτον, Νεμεαίοις
Ἐν πολυϋμνήτῳ Διὸς ἄλσει.

Ο. β'.

Ὀφείλει δέ τι, πατρίαν

Εἴπερ

σαν ποίησιν ἐκιόντας, ῥαψῳδοὺς προσαγορευθῆναι. ταῦτα φησὶ Διονύσιος ὁ Ἀργεῖος. Φιλόχορος δὲ ἀπὸ τοῦ συντιθέναι καὶ ῥάπτειν τὴν ᾠδὴν, οὕτω φησὶν αὐτοὺς προσκεκλῆσθαι. δηλοῖ δὲ Ἡσίοδος λέγων (Fragm. p. 444 f.)·

Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοί,
Μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ.

ῥαψῳδῆσαι δέ φησι πρῶτον τὸν Ἡσίοδον Νικοκλῆς. Μέναιχμος δὲ ἰσορρεῖ τοὺς ῥαψῳδοὺς, τιχῳδοὺς καλεῖσθαι, διὰ τὸ τοὺς τίχας ῥάβδους λέγεσθαι ὑπό τινων. Ἄλλως. Ὁμηρίδαι πρότερον μὲν οἱ Ὁμήρου παῖδες, ὕστερον δὲ οἱ περὶ Κύναιθον ῥαβδῳδοί. οὗτοι γὰρ τὴν Ὁμήρου ποίησιν σκεδασθεῖσαν ἐμνημόνευον καὶ ἐπήγγελλον· ἐλυμήναντο δὲ αὐτὴν πάνυ. αὐτοὶ οὖν τὴν ἀρχὴν ὡς ἐπὶ τὸ πλεῖστον ἐκ Διὸς ἐποιοῦντο προοιμιαζόμενοι, ἐνίοτε δὲ καὶ Μουσῶν· ὅλοι γὰρ οὗτοι εἰς τὸν Δία προοιμιασάμενοι τοὐντεῦθεν ἤδη τῆς ἐποποιίας ἥπτοντο. τῷ δὲ μὴ διὰ παντὸς ἄρχεσθαι ἀπὸ τοῦ Διὸς τοὺς ῥαψῳδοὺς, προσέθηκεν ὁ Πίνδαρος, τὰ πολλὰ, ἵν' ᾖ, ὡς ἐπὶ τὸ πλέον. ὃ δὲ νοῦς ὅλος· ὅθεν δὴ καὶ οἱ Ὁμηρίδαι λεγόμενοι ἀοιδοὶ τὴν ἀρχὴν τοῦ λέγειν ὡς ἐπὶ τὸ πολὺ ποιοῦντες, ἐκ Διὸς προοιμιαζόμενοι, ἐντεῦθεν καὶ οὗτος ὁ ἀνὴρ τὴν καταβολὴν, τουτέστι, τὴν ἀρχὴν καὶ τὸν θεμέλιον τῶν ἱερῶν ἀγώνων ἀπὸ τοῦ Διὸς πεποίηται, Νέμεα νικήσας πρῶτον. Διὸ δὲ ἀνάκειται ὁ Νεμεακὸς ἀγών. ὅτι δὲ καταβολὰς ἔλεγον τὰς ἀρχὰς οὑτιοσοῦν ἔπους, Καλλίμαχός φησιν (Fragm. p. 196.)·

Ἀρσινόης, ὦ ξεῖνε, γάμου καταβάλλομ' ἀείδειν.

μετῆκται δὲ ἡ λέξις ἀπὸ τῶν τὰς οἰκίας κατασκευαζόντων καὶ βαλλόντων τοὺς θεμελίους. ἐπὶ οὖν, φησὶν, ἐστὶν ἀπὸ Διὸς ἀρξάμενον αὐτὸν τῶν ἀγώνων καὶ μετὰ ταῦτα νικήσειν. ὃ καὶ ἐγένετο εὐθέως· μετὰ γὰρ τὴν Νεμεακὴν νίκην ἐστεφανοῦτο τὰ Ὀλύμπια.

9. Ὀφείλει δέ τι (sic) πατρίαν] ὀφειλόμενον καὶ πρέπον ἐστὶ, τὸν Τιμονόα παῖδα οὕτω τὸ ὑπέρβατον δεῖ νοηθῆναι. Ἀρίσαρχος δὲ οὐκ ἐπὶ τοῦ ἀνδρὸς τὸ, ὀφείλει, ἀλλ' ἐπὶ τοῦ πράγματός φησιν,

Εἴπερ καθ' ὁδόν νιν εὐθυπομπὸς
Αἰὼν ταῖς μεγάλαις δέδωκεν
Κόσμον Ἀθάναις,
Θαμὰ μὲν Ἰσθμιάδων ὀρέπεσθαι
Κάλλιστον ἄωτον, ἐν Πυ-
θίοισί τε νικᾶν
Τιμοσθένη παῖδ'. ἔστι δ' εἰκὼς,

Ο. γ.

φησιν, ὡς ἄν τις εἴπῃ· ὀφειλόμενον δέ τι ἐστιν. οὕτω γὰρ τὰ ἑπόμενα συναρμοσθήσεται, ὅταν λέγῃται· Πυθίοισί τε νικᾶν Τιμοσθένη παῖδα. ᾧ γὰρ εἴρηκε παῖς. ὀφειλόμενον δὲ, τουτέστιν, ἀναγκαῖόν ἐστι, νικᾶν αὐτὸν καὶ Πύθια καὶ Ἴσθμια, εἴπερ κατὰ τὰ ἴχνη τῶν πατέρων ὁ εὐθυπομπὸς αἰὼν δέδωκεν αὐτὸν εἰς κόσμον ταῖς Ἀθήναις. ἀναγκαῖον οὖν νικᾶν αὐτὸν, ὡς οἱ πατέρες ἐνίκησαν, Ἴσθμια καὶ Νέμεα, ὡς τῶν προγόνων ἱερονίκων γεγονότων.

16. Τιμοσθένου παῖδα δ' ἔστιν (sic) ἐοικὸς] ἵνα ἀξιωματικὸν ποιήσῃ τὸν λόγον, ἐλλειπτικῶς εἶπε. λείπει γὰρ τὸ, νικᾶν αὐτὸν ἀεί. τοῦτο γὰρ ἔθει προσκεῖσθαι. εἰκὸς οὖν ἐστι καὶ προσδοκητέον, τὸ νικῆσαι αὐτὸν ἐν τοῖς προειρημένοις ἀγῶσι, Τιμοσθένου ὄντα παῖδα, καὶ κατ' ἴχνος βαίνοντα τοῦ πατρὸς, ὥσπερ εἰκός ἐστι, καὶ τῶν ὅρων καὶ τῶν τόπων, ὧν ἔχουσιν αἱ Πλειάδες, μὴ πορρώτερω, μηδὲ μακρὰν τὸν Ὠρίωνα πορεύεσθαι, ἀλλ' ἐγγύς. τὸ δὲ σύντομον· ὥσπερ γὰρ τῶν Πλειάδων ὁ Ὠρίων οὐκ ἀφίσταται, οὐδὲ αἱ Πλειάδες τῆ Ὠρίωνος, οὕτω καὶ τοῦτον πάρεδρον ἔσεσθαι τῇ νίκῃ εἰκός ἐστι. Τὸ δὲ (v. 17.) Ὀρειᾶν γε Πελειάδων, ἤτοι τῶν πρὸς τὸν Ὠρίωνα κεκλιμένων, ἢ τῶν ὀρείων· ἐπειδὴ ὁ Ἄτλας, ὁ τῶν Πλειάδων πατὴρ, ὁμώνυμα ἔσχεν ὄρη· ἢ ὅτι ὄροι εἰσὶ τῆ ἀμήτῳ· ἢ λιτότερον, τῶν ὄρων καὶ τῶν τόπων, ἐν οἷς εἰσὶν οἱ ἀστέρες. αἱ γὰρ Πλειάδες κατὰ τὴν ἰσορίαν ἄστρον ἐστὶν, ἐξ ἑπτὰ ἀστέρων συγκείμενον, κατὰ δὲ τὴν ὄψιν, ἕξ. ὡς καὶ Ἄρατος (Phaen. 257 f.)·

Ἑπτάποροι δὴ τοι γε κατ' ἀνθρώπους ὑδέονται
Ἐξ οἷαί περ ἐοῦσαι ἐπόψιοι.

πλησιάζουσι δὲ τῷ Ὠρίωνι αἱ Πλειάδες. Ἀρίσαρχος δὲ ἐν τούτοις μὲν, ταῖς Πλειάσι φησὶ τὸν Ὠρίωνα ἐπέχειν, ἐν ἄλλοις δὲ, τὴν Πλειάδα φησὶν αὐτὸν διώκειν, ὑποτιθέμενος τὸ σύστημα τῶν Πλειάδων ἔν ζῴδιον. θέλοι δ' ἄν δηλῶν τοῦτο ὅτι τῇ Νεμεακῇ δεῖ συνάπτειν τὴν Ἰσθμιακὴν καὶ Πυθικὴν, καὶ οὕτως ἀκολουθεῖν, ὡς ταῖς Πλειάσιν ὁ Ὠρίων ἕπεται. ἐπέχει γὰρ τῇ ἐπιτολῇ τοῦ Ταύρου ὁ Ὠρίων κυνηγετικὸς ὤν. διό φησιν Ἄρατος (Phaen. 322 f.)·

Λοξὸς μὲν Ταύροιο τομὴ ὑποκέκλιται αὐτὸς
Ὠρίων.

Ο. γ'.

Ὀρειᾶν γε Πελειάδων
Μὴ τηλόθεν Ὠρίωνα νεῖσθαι. —
Καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι

Φῶτα

εἰσὶ δὲ αἱ Πλειάδες ἐπὶ τῇ ὠρᾷ τῶ Ταύρω, καὶ ὁτὲ μὲν Πλειάδας καλεῖ πληθυντικῶς, ὁτὲ δὲ Πληϊόνην, ὡς μίαν (Fragm. p. 49.) τρεχέτω δὲ μετὰ Πληϊόναν· ἅμα δὲ αὐτῷ κύων. δοκεῖ γὰρ, κατ' αὐτὸν τὸν Πίνδαρον, ἐρασθῆναι αὐτῆς ὁ Ὠρίων, καὶ διώκειν αὐτὴν ἐπὶ πολλοῖς χρόνοις. ὑπομνήματα δὲ τήτων ὁ Ζεὺς κατηστέρισε. παρὸ δή φησιν· ὁ Ὠρίων ἐπιὼν ταῖς Πλειάσι. ζητεῖται δὲ, διατί ὀρείας εἶπε τὰς Πλειάδας; καί τινες μὲν ἔφασαν, ὅτι νύμφαι ἦσαν, ὡς οἱ ἀστέρες ὅτοι

Τηϋγέτη τ' ἐρύεσσα καὶ Ἠλέκτρη κυανῶπις,
Ἀλκυόνη τε, καὶ Ἀστερόπη, δίη τε Κελαινώ,
Μαῖά τε καὶ Μερόπη, τὰς γείνατο Φοίβιμος Ἄτλας.

Σιμωνίδης δὲ μίαν τῶν Πλειάδων Μαῖαν ὀρείαν προσηγόρευσεν εἰπών·

Μαιάδος ὀρείας ἑλικοβλεφάρω κατάλεγον

αὕτη γὰρ

Κυλλήνης ἐν ὄρεσσι θεὸν κήρυκα τέχ' Ἑρμῆν.

τινὲς δὲ ἐπὶ τὴν τῶν ὁμωνύμων ὕλην ἀποχωρήσαντες, Ἄτλαντος φασὶ λεγομένας θυγατέρας, ἐπειδὴ ἔκτη κληίζεται κατὰ τὴν τῶ πατρὸς ὁμωνυμίαν, ὡς ἐξ ὄρους γεγενημένας ὀρείας προσηγορεῦσθαι. οἱ δὲ, καθὸ Πελειάδας αὐτὰς εἶπε, καὶ ὀρείας. αἱ γὰρ περιστερὰι ὄρειαί εἰσιν. εἴωθε δὲ ὁ Πίνδαρος ταῖς ὁμωνυμίαις ἐπαναπαύεσθαι. ἔνιοι δὲ, διὰ τὸ ἐπὶ τῆς ὠρᾶς τῶ Ταύρω κεῖσθαι, κατὰ ὕφεσιν τῶ υ, ὡς καὶ τὸ (Fragm. p. 64.) Κλεὸς ἔκατι, ἀντὶ τῶ κλεῦς. εἶπε δ' ἂν ὠρείας, ὡς καὶ παρ' Ὁμήρῳ (Il. XXIII, 519 f.)·

Τῶ μέν τε ψαύσειν ἐπισσώτρω τρίχες ἄκρου
Οὐραῖοι.

εἰ μὴ, καθὸ ἀπόγειον ἄνεμον λέγομεν, ὅτω καὶ ὀρείας τὰς ὠρείας ἀκουστέον. τάχα δὲ ἀπὸ τῶ συνόντος Ὠρίωνος τὰς ὠρείας ἐν συσολῇ γενέσθαι ὀρείας. βέλτιον ὦν ἀποδιδόναι, τῇ ὁμωνυμίᾳ προσαναπαυόμενον τὸν Πίνδαρον ὅτως εἰρηκέναι, ἢ ἀπὸ τῆς Κυλλήνης, ἐν ᾗ ἐτράφη. ὁ δὲ Κράτης γράφει, θερείᾱν Πελειάδων, ὅτι θέρει ἐπιτέλλουσι. τούτῳ δὲ ἀντιτράσσει ἥ τε ἀντίτροφος, καὶ τὸ μὴ μόνον θέρους αὐτὰς ἐπιτέλλειν, ἀλλὰ καὶ χειμῶνος. δύναιτο δ' ἂν καὶ ὀρείας λέγειν τὰς ὀρυκτικὰς, τυτέστιν ὁρμητικὰς, διὰ τὸ φευγειν τὸν Ὠρίωνα, ἢ διὰ τὸν φόβον τῶν Ἡρακλείων βελῶν.

19. Καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι] ζητεῖται, διὰ τί δήποτε τὰ

πρὸ

Φῶτα μαχατὰν
Δυνατός. ἐν Τροΐᾳ μὲν Ἕκτωρ
Αἴαντος ἄκουσεν. — ὦ Τι-
μόδημε, σὲ δ' ἀλκὰ
Παγκρατὶς τλάθυμος ἀέξει.

Ο. δ'.

Ἀχάρναι δὲ παλαίφατον

S 2 Εὐά-

περὶ Σαλαμῖνα εἰς τὰς περὶ Τιμοδήμου λόγους προσῆκτο· ἦ γὰρ δήπου Σαλαμίνιος ἦν. ἀντικρυς γὰρ αὐτὸν Ἀχαρνέα φησὶ τὸν δῆμον. Ἀρίσταρχος μὲν οὖν, τῆς Αἰαντίδος φυλῆς εἶναι, οὐκ ὀρθῶς δέ, φησιν· οἱ γὰρ Ἀχαρνεῖς τῆς Οἰνηΐδος φυλῆς εἰσίν. οἱ δὲ περὶ Ἀσκληπιάδην φασὶν, ὅτι εἰκός ἐστιν αὐτὸν εἶναι τῶν τὴν Σαλαμῖνα κατακληρουχησάντων Ἀθηναίων. εἰκὸς δὲν αὐτὸν γεννηθέντα Ἀθήνησι τεθράφθαι ἐν Σαλαμῖνι. Δίδυμος δὲ φησιν, ὅτι ἴσως ἄμεινον λέγειν, ὅτι εἰς Αἴαντα ἀνέφερε τὸ γένος, ὥσπερ καὶ Μιλτιάδης καὶ Κίμων, καὶ Ἀλκιβιάδης, καὶ Θουκυδίδης ὁ συγγραφεὺς ὁ Ὀλόρου. ἴσως, ὅτι διὰ τιμῆς ἦγον οἱ Ἀθηναῖοι τὸν Αἴαντα, ὡς μὴ μόνον Αἰαντίδα φυλὴν ἀποδεῖξαι, ἀλλὰ καὶ κλίνην αὐτῷ μετὰ πανοπλίας κατακοσμεῖν, λόγον τε ἔχειν παγκρατιαστὴν ὄντα τὸν Τιμόδημον τῷ μαχιμωτάτῳ τῶν Ἑλλήνων καὶ ἀνδρειοτάτῳ καραβεβλῆσθαι. θρέψαι δ' ἂν ἡ Σαλαμὶς ἱκανὴ ἐστιν ἄνδρα μαχητήν· τίς ἀπόδειξις; ἡ ἐπιφερομένη

21. Ἐν Τροΐᾳ μὴν (sic) Ἕκτωρ Αἴαντος ἄκουσε] τούτῳ γὰρ μονομαχήσας ἐλείφθη.

22. Αἴαντος ἄκουσεν] ἤσθετο τῇ πείρᾳ, ὅτι ἡ Σαλαμὶς φέρει ἄνδρας ἀγαθούς. ὡς καὶ Ὅμηρος (Il. XI, 532.)· τοὶ δὲ πληγῆς αἴοντες, ἀντὶ τοῦ αἰσθόμενοι. ἔοικε δὲ ὁ Πίνδαρος τὸ παρ' Αἴαντος ῥηθὲν πρὸς Ἕλληνας ὑπονενοημένον εἰρῆσθαι πρὸς Ἕκτορα. φησὶ γάρ (Il. VII, 198 f.)·

ἐπεὶ οὐ' ἐμὲ νήϊδα γ'
ἔτως
Ἕλπομαι ἐν Σαλαμῖνι γενέσθαι
τε τραφέμεν τε.

εἰ μὴ ἄρα τις τῇ πείρᾳ μεμαθηκέναι ὑποτήσεται τὸν Ἕκτορα, ὡς ἐπιτηδείως ἡ Σαλαμὶς ἔχει πρὸς τὴν τῶν ἡρώων γένεσιν. οὐ δὲ νῆς· τούτῳ γὰρ τῇ τὴν Σαλαμῖνα φέρειν ἀνδρείως τὴν πεῖραν ἔσχεν ὁ Ἕκτωρ ἐν τῇ Ἰλιάδι, τῇ πείρᾳ τῶν Αἴαντος.

25. Ἀχάρναι δὲ παλαίφατον] φανερὸν ἐκ τούτου, ὅτι Ἀχαρνεὺς τὸν

Εὐάνορες. — ὅσσα δ' ἀμφ' ἀέθλοις
Τιμοδαμίδαι ἐξοχώτατοι προλέγονται; —
Παρὰ μὲν ὑψιμέδοντι Παρνασσῷ, τέσσαρας ἐξ ἀέθλων
Νίκας ἐκόμιξαν·
Ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν

Ο. ε'.

Ἐν ἑσλῇ Πέλοπος πτυχαῖς
Ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη·
Ἑπτὰ δ' ἐν Νεμέᾳ· τὰ δ' οἴκοι,

Μάσ-

τὸν δῆμον ὁ νικηφόρος. ναὶ σὺ ὦν Ἀχαρνεὺς τυγχάνων ἀγαθὸς ἀνὴρ πέφυκας. ἦ ὕτως· ναὶ αἱ Ἀχάρναι, ὅθεν ὑπάρχεις, ἀπ' ἀρχῆς ὡς εὐανδροι ὑμνῶντο. Ἀχάρναι δὲ δῆμος τῆς Ἀττικῆς, ὅθεν ἦν ὁ Τιμοδημος. Παλαίφατοι δὲ, ἀντὶ τοῦ, ἐξ ἀρχῆς λέγονται.

26. Ὅσσα δ' ἀμφ' ἀέθλοις Τιμοδημίδαι] τὸ ὅσσα θαυμαστικῶς ἀντὶ τοῦ πάνυ. πλειστάκις ἐν τοῖς ἄθλοις οἱ πρόγονοί σε προεκρίθησαν. Τιμοδημίδαι γὰρ φατρία, ὅθεν οἱ πρόγονοί τοῦ Τιμοδήμου. τὸ δὲ προλέγονται, ἀντὶ τοῦ προκέκριντται. Ὅμηρος (Il. XIII, 689.)· οἱ μὲν Ἀθηναίων προλελεγμένοι. ἦ ὕτως· ἐν τοῖς πρὸ τούτου χρόνοις λέγονται.

29. Παρὰ μὲν ὑψιμέδοντι Παρνασσῷ] Παρνασσὸς ὄρος τῆς Φωκίδος, τῇ Πυθοῖ. ὑψιμέδοντι δὲ καταχρηστικῶς, ἀντὶ τοῦ ὑψηλῷ. φησὶ δὲ, ὡς τῶν προγόνων αὐτοῦ τέσσαρας νίκας Πυθικὰς εἰληφότων.

32. Ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν] ὁ ἀλλὰ σύνδεσμος ἀντὶ τοῦ δὲ, ναὶ ἡ ὑπὸ ἀντὶ τῆς παρὰ, ὦν ἦ· παρὰ δὲ Κορινθίων, ἐν ταῖς πτυχαῖς τοῦ Πέλοπος, τετέχνιν ἐν Πελοποννήσῳ, ἔλαβον ὀκτὼ νίκας, ἐπεὶ Κορίνθιοι τότε ἐτίθεσαν τὸν ἀγῶνα· ἑπτὰ δὲ στέφανος ἐν τῇ Νεμέᾳ, φησὶν, ἔλαβον, ἤτοι αἱ Ἀχάρναι, ἦ οἱ Τιμοδημίδαι.

35. Τὰ δ' οἴκοι μάσσον' ἀριθμῶ] τὰ δὲ οἴκοι, ἐν ταῖς Ἀθήναις, μείζονά ἐστιν, ἢ ἀριθμεῖσθαι, οἷον ὑπερβαίνει πάντα ἀριθμὸν, ἃ ἐνίκησαν οἶκοι. τίθεται δὲ ἐν Ἀθήναις Διὸς ἀγὼν, τετέχι τὰ Ὀλύμπια.

37. Τὸν

Μάσσον' ἀριθμῷ,
Διὸς ἀγῶνι. — Τὸν, ὦ πολῖται,
Κωμάξατε, Τιμοδήμω
Σὺν εὐκλεΐ νόστῳ·
40 Ἀδυμελεῖ δ' ἐξάρχετε φωνᾷ.

37. Τὸν, ὦ πολῖται, κωμάξατε] ἢ τὸν ἀγῶνα τῶν Ὀλυμπίων, ἢ τὸν Δία, ᾧ ἀνατίθεται ὁ ἀγών, σὺν τῷ Τιμοδήμῳ κωμάσατε νῦν μετὰ κωμασίας ὑμνήσατε, εὐκλεῶς παραπέμποντες διὰ τῶν ἡδυτάτων ὕμνων. ἢ ὅτω· σὺν τῇ ἀπονοσήσει ἀπὸ τῆς Νεμέας κωμάσατε· ἀπὸ τῆ κώμη τὸ ἐγκώμιον νοητέον· τετέτιν, ὑμνήσατε.

Περὶ τῶν κώλων τῆς τροφῆς καὶ ἀντιστροφῆς τὸ αὐτὸ (III.) εἶδος.

Τῆς τρίτης ᾠδῆς ἡ τροφὴ καὶ ἀντίστροφος κώλων ιγ'. Τὸ α' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ β' ἐπιχοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ γ' ἰθυφαλλικόν. Τὸ δ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ε' τὸ αὐτό. Τὸ ς' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ζ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ η' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ θ' τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ι' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ια' Σαπφικὸν ἑνδεκασύλλαβον. Τὸ ιβ' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ιγ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτῆς. Ἡ ἐπῳδὸς κώλων η'. (ex alia versis. descriptione) Τὸ α' χοριαμβικὸν τρίμετρον ὑπερκατάληκτον. Τὸ β' ἰαμβικὸν πενταςύλλαβον, καὶ Ἰωνικὸς ὁ ἀπὸ διαφόρᾳ ἀρχῆς, εἶτα πάλιν Ἰωνικὸς ὁ ἀπεμφαίνων διὰ τὴν λύσιν καὶ συλλαβήν. δύναται καὶ ὅλον ὡς ἰαμβικὸν, παρακεχαραγμένον μέντοι, διὰ τὸν τελευταῖον πόδα. Τὸ γ' δίμετρον χοριαμβικὸν καταληκτικόν. Τὸ δ' δοκεῖ ἀντισπαστικὸν εἶναι. Τὸ ε' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ς' ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. Τὸ ζ' Ἰωνικὸν μονόμετρον καταληκτικὸν δύο συλλαβῶν. Τὸ η' δακτυλικὸν τετράμετρον παρὰ τὴν ἐν ἀρχαῖς συλλαβήν.

Περὶ τῆς ἐπιγραφῆς αὐτῆς. Ἀριστοκλεῖ Αἰγινήτῃ. Αἴγινα, μία νῆσος τῶν Σποράδων, ἀντικρὺ κειμένη τῆς Ἀττικῆς, ἄποικος τῶν Ἀργείων. ἔοικε δὲ βραδύτερον ἀποδιδὰς τὸν ἐπίνικον, σπεύδειν γράφειν, ἴσως καὶ τῆς πανηγύρεως κατεπειγούσης.

ARGV-

ARGVMENTVM TERTII CARMINIS.

Musa, Nemeadum mense Aeginam veni; nam ad Asopum te iuuenes hymnos cantaturi exspectant; alia res aliud desiderat; victoria in ludis reportata cantum amat, praemiorum comitem (— 13); hunc mea arte prome, et cantum Ioui gratum incipe, ego illum cum istorum lyrico cantu coniungam (— 19). Placebit hymnus Aeginae, vbi Myrmidones habitant, quorum gloriam Aristoclides pancratio non dedecorauit. Ictuum medelam Nemeaca victoria affert (— 31). Quodsi Aristophanis filius pulcher ad summam escendit virtutem, nauigare vltra columnas Herculis non facile ei est, quas heros extremae nauigationis indices constituit, domitis belluis marinis (— 42), ipse vero, quousque mare pervium erat, penetrauit, et terminos reditus atque terrae constituit (— 45). Anime, quo deflectis? Aeacus eiusque genus canendi sunt. Vere laudare bonos potes, nec exterorum laudes sunt domesticis praeferendae. Idoneum domi adest carminum argumentum (— 55). Nam Peleus hasta sua insignis est in fabulis nostris, qui solus Iolcum cepit, et Thetide potitus est (— 61). Laomedontem Telamon debellauit, et cum Iolao (atque adeo Hercule) aduersus Amazonas intrepide pugnauit (— 68). Innata virtute quis eminet, sed qui didicit virtutem ignobilis homo, non satis sibi confidit, modo hoc modo illud aggrediens, nec quidquam efficit (— 75). Achilles vero, partim puer apud Chironem, ludendo magnas

res perfecit, saepe hastam vibrans et celerrime, leonesque et apros interfecit, eorumque corpora ad Chironem deportauit, sexennis, partim Diana et Minerua eum postea admiratae sunt ceruos sine canibus et retibus interficientem; nam pedibus valebat (— 90). A veteribus traditum narro. Chiron quoque Iasonem et Aesculapium educauit, quem medicamina edocuit; despondit Nerei filiam (Peleo), eiusque filium (Achillem) instruxit (— 100), vt Troiam profectus cum Phrygibus pugnaret, Memnonemque Aethiopem necaret (— 111). Inde Aeacidarum magna gloria, Iupiter, a te exortorum. Tuum vero certamen est, quod hymnus celebrat, Aristoclidem ornans, qui patriam insulam nobilem reddidit dignitate Theori auctus (— 122). Experiundo intelligitur, quibus quis emineat puer, vir, aetate prouectior, in quacunque vitae parte, etiam senex (— 130). Mortalitas iubet praesentia cogitare; sic Aristoclides fecit. Vale, amice! mitto tibi dulcissimum carmen lyricum, sero quidem (— 138); sed aquila, semel impetu facto, sublimis fertur, graculi (viliores poetae) humilia sectantur. Tibi est idonea carminis materies e pluribus victoriis (— 148).

ΕΙΔΟΣ

ΕΙΔΟΣ γ'.

ΑΡΙΣΤΟΚΛΕΙΔΗ ΑΙΓΙΝΗΤΗ

ΠΑΓΚΡΑΤΙΑΣΤΗ.

Σ. α'. Κ. ιγ'.

Ὦ πότνια Μοῖσα, μᾶτερ
Ἀμετέρα, λίσσομαι,
S 5 Τὰν

1. Ὦ πότνια Μοῖσα, μᾶτερ ἀμετέρα] μητέρα ἑαυτὴ εἶπε τὴν μοῦσαν ὁ Πίνδαρος, ὡς ἂν ἐπιπνεόμενος ἐκ τῶν Μουσῶν·

Ἐκ γάρ τοι Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
Ἄνδρες ἀοιδοὶ ἔασιν (Hom. hymn. in Muſ. et Ap. 2 ſ.

ἀντὶ τῦ, τροφόν· διὰ τὸ ἀποζῆν αὐτὸν ἐξ ὧν ἔγραφεν ἐπινίκων. ἀμείνονα δὲ, ὅτι προσηνὴς ἦν αὐτῷ ἡ μοῦσα, ὥσπερ Ὀδυσσεῖ ἡ Ἀθηνᾶ (Hom. Il. XXIII, 783)·

Μήτηρ ὥς, Ὀδυσῆϊ παρίσταται, ἠδ' ἐπαρήγει.

Ἐζήτηται δὲ, πῶς ἐπικαλεῖται τὴν Μοῦσαν ἐλθεῖν εἰς τὴν Αἴγιναν ὑπὲρ τῦ τὸν ὕμνον ἀσθῆναι, καὶ ἅμα τὰς νεανίσκας φησὶ μένειν, δι' ἃς αὐτὴν ἐπικαλεῖται, οὐκ ἐν Αἰγίνῃ, ἀλλ' ἐν Νεμέᾳ· ὁ γὰρ Ἀσωπὸς οὐκ ἐν Αἰγίνῃ, ἀλλὰ περὶ φλιοῦντά ἐστι καὶ Νεμέα. ὁ μὲν οὖν Ἀρίσταρχός φησιν, ὅτι τὸν χορὸν ὑπὸ τῆς νίκης τὸ ἱερὸν, αὐτοσχέδιόν τινα ἐπίνικον ᾄσαι, ἢ τὸν Ἀρχιλόχυ καλλίνικον, ἃ καὶ τὸν Πίνδαρον μνημονεύειν διὰ τύτων (Ol. IX, 1.)· τὸ μὲν Ἀρχιλόχυ μέλος φωνᾶεν, καὶ τὰ ἑξῆς. μεταβάντος δὲ τῦ χορῦ εἰς τὴν Αἴγιναν καὶ μέλλοντος ᾄσειν τὸν ὑπὸ τῦ Πινδάρυ πεποιημένον, εἰκότως φάναι· ὕβατι γὰρ μένοντ' ἐπ' Ἀσωπίῳ μελιγαρύων τέκτονες κώμων νεανίων· ὥσθ', ὅ βέλεται εἰπεῖν, τοιῦτόν ἐστιν· οἱ γὰρ ἐπὶ τῷ Ἀσωπῷ τὸν αὐτοσχέδιον ὕμνον τεκτηνάμενοι χοροὶ ἀναμένουσί σε ἐν τῇ Αἰγίνῃ, ᾀσόμενοί τὸν ὑπὸ Πινδάρυ ποιηθέντα ἐπίνικον. ὁ δὲ Δίδυμος διηπατῆσθαί φησι τὰς ὑπομνηματισαμένας τῇ ὁμωνυμίᾳ τῶν ποταμῶν. οἱ γὰρ Ἀσωποὶ πλείους, ὧν ἕνα φασὶν εἶναι καὶ τὸν ἐν Αἰγίνῃ. ὁ δὲ Καλλίστρατος, Ἀσωπίδα ἐν Αἰγίνῃ. δύναται δὲ καὶ

Τὰν πολυξέναν ἐν
Ἱερομηνίᾳ Νεμεάδι
Ἵκεο Δωρίδα νᾶσον Αἴγι-
ναν. ὕδατι γὰρ μένοντ' ἐπ' Ἀσωπίῳ
Μελιγαρύων τέκτονες
Κώμων νεανίαι, σε-
θεν ὅπα μαιόμενοι. —
Διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλᾳ·
Ἀθλονικίας δὲ μάλιστ' ἀοιδὰν
Φιλεῖ, σεφάνων ἀρετᾶν τε
Δεξιωτάταν ὀπαδόν. —

Α. ά.

καὶ ἐπὶ τῇ ἐν Βοιωτίᾳ ποταμῷ Ἀσωπῷ ἀκούεσθαι, ὡς τῶν ἐξ Αἰγίνης χορευτῶν τῷ Πινδάρῳ προσλιπαρούντων, ἕνεκα τοῦ γράφειν Ἀριστοκλεῖ τὸν ἐπίνικον. Ἱερομηνίᾳ δέ φησι Νεμεάδι, τετέχθαι, τῇ τῶν ἐπινίκων εὐωχίᾳ. Ἱερομηνίαν δὲ λέγουσι κατὰ σύντμησιν, τὴν ἱερομνημηνίαν. αἱ γὰρ τῶν μηνῶν ἀρχαὶ ἱεραὶ εἰσι τοῦ Ἀπόλλωνος, καθὸ ὁ αὐτὸς δοκεῖ εἶναι τῷ ἡλίῳ. ἐν ἱερομνημηνίᾳ ἐλθεῖν Νεμεάδι, ἐν ᾗ μέλλουσιν ἡμέρᾳ τὸν εἰς τὴν Νεμεακὴν νίκην ὕμνον γράφειν. οἱ δὲ ἱερὸν μῆνα καθόλου λέγουσι κεκλῆσθαι, ἐν ᾧ τὰ Νέμεα ἄγεται. ἱερομηνίαι δὲ λέγονται αἱ ἐν τῷ μηνὶ ἱεραὶ ἡμέραι, οἱαδήποτε θεοῖς ἀνειμέναι· τὸν ὃν Δημητριῶνα μῆνά φησι Φιλόχορος ὅλον ψηφίσασθαι τὴς Ἀθηναίας ἱερομηνίαν λέγεσθαι, οἷον ὅλον ἑορτήν. ἱερομηνίαν φησὶν ἐν τούτοις, ἁπάντων ἡμῶν ἀγόντων ἱερομηνίαν. ἔοικε δὲ ὁ Πίνδαρος νῦν ἱερομηνίαν λέγειν τὴν τῶν ἐπινίκων ἑορτήν· ἡ γάρ ἐστι ἡμιστελής. ὁ δὲ νῦς· ἱκετεύω σε, ὦ ἐντιμοτάτη μοῦσα ἡμετέρα μήτερ, παραγενοῦ μοι εἰς τὴν πολυξενον νῆσον, τὴν τῶν Δωριέων τῶν Ἀργείων ἄποικον. ἐν τῇδε τῇ ἱερομνημηνίᾳ τῆς Νεμεάδος ἦκεν εἰς τὴν Αἴγιναν. ἐπὶ γὰρ τῶν ὑδάτων τοῦ Ἀσωποῦ ποταμοῦ, τετέχθαι ἐν ταῖς Θήβαις, προσμένουσιν ἡμᾶς οἱ νεανίαι, οἱ τῶν ᾠδυτάτων ὕμνων τέκτονες καὶ χορευταὶ, τὴν σὴν φωνὴν, ὦ μοῦσα, ἐπιζητοῦντες.

10. Διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλᾳ] διψῇ δὲ καὶ ἐπιθυμεῖ ἄλλο μὲν ἄλλα πράγματος, ἡ δὲ ἐκ φιλονεικίας ἔρις, ἡ ἀθλονεικία [sic], μάλιστα φιλεῖ τὰς ἐπαίνους καὶ τοὺς ὕμνους. τῶν γὰρ σεφάνων καὶ ἀρετῶν ἐπιδέξιος καὶ καλλίστη ὀπαδὸς ἡ ᾠδή· ἡ γὰρ ᾠδὴ καὶ τὸ ἐγκώμιον, φησὶν, ἔπεται ταῖς ἀρεταῖς καὶ τοῖς σεφάνοις τοῖς τῶ νικηφόρῳ.

14. Τᾶς

Α. ά. Κ. ιγ'.

Τᾶς ἀΦθονίαν ὄπαζε
Μήτιος ἀμᾶς ἄπο·
Ἄρχε δ' ὐρανῶ πο-
λυνεΦέλα κρέοντι, θύγατερ,
Δόκιμον ὕμνον. ἐγὼ δ' ἐκείνων
Τέ μιν ὰώροις λύρα τε κοινώσομαι.
Χαρίεντα δ' ἔξει πόνον
Χώρας ἄγαλμα, Μυρμι-
δόνες ἵνα πρότεροι

Ὠικη-

14. Τᾶς ἀφθονίαν ὄπαζε] ταύτης ἂν τῆς ᾠδῆς, ὦ Μοῦσα, ἀφθονίαν δίδε ἀπὸ τῆς ἐμῆς διανοίας.

16. Ἄρχε δ' ὐρανῶ] Αἰολικῶς ἀντὶ τοῦ, ὐρανῷ. κῇ ὁ μὲν Ἀρίσαρχος ὐρανῶ θυγατέρα τὴν Μοῦσαν δέδεκται, καθάπερ Μίμνερμος κῇ Ἀλκμὰν ἱστοροῦσιν. ὁ δὲ Ἀμμώνιος προστίθησιν, ὅτι διὰ τοῦτο κρέοντα κέκληκε τὸν ὐρανὸν, ὅτι πρὶν Κρόνον βασιλεῦσαι ὗτος ἐβασίλευσεν. ἤλλακται δὲ ἡ πτῶσις, ἀντὶ τοῦ, τῷ πολυνεφέλᾳ ὐρανοῦ θυγατέρα. βέλτιον δέ φησιν ὁ Πίνδαρος ἀκοῦσαι τὸ ὅλον ὕτως· τῷ πολυνεφέλᾳ κρέοντος ὐρανοῦ θύγατερ, τοῦ Διός. κρέων γὰρ ὐρανὸς ὁ Ζεὺς, Διὸς δὲ Μοῦσαι. ὁ δὲ νῦς· κάταρχε δὲ αὐτῆ, ὦ Μοῦσά, μοι κῇ πάρεχε δόκιμον κῇ κάλλιστον, ὦ τῷ πολυνεφέλᾳ ὐρανῷ βασίλεια θύγατερ.

18. Ἐγὼ δ' ἐκείνων τέ μιν ὰώροις] ἐκ τῶν νεανίσκων, φησὶ, τῶν μενούντων παρ' ἐμοὶ, τὸν ὕμνον κοινῶς ᾄσομαι. μετ' ᾠδῆς γὰρ κῇ λύρας ἀπηγγέλλοντο οἱ ἐπίνικοι. ὁ δὲ νῦς· ἐγὼ δὲ ταῖς ἐκείνων τῶν χορευτῶν φωναῖς κῇ ταῖς λύραις κοινῶς τὸν ὕμνον ᾄσομαι.

20. Χαρίεντα δ' ἔξει πόνον] ἀμφίβολον, πότερον ἡ Αἴγινα τὸν ὕμνον ἕξει, τῆς χώρας αὐτῆς ὄντα ἄγαλμα, ἢ τὸν πόνον ἕξει, τιτέσι τὸν ὕμνον. χαρίεντα δὲ, ἀντὶ τοῦ ἐπίχαριν. ἢ ὕτως· ἡ Αἴγινα, ἥτις ἐστὶ χώρας ἄγαλμα, ἕξει μοι τὸν ὕμνον ἐπὶ χάριτι. Ἄλλως. τὸν δὲ χαρίεντα πόνον τοῦ παγκρατίου διὰ τῶν ὕμνων ἕξει μνημονευόμενον ἡ Αἴγινα, ἡ ὅσα ἄγαλμα τῆς περὶ αὐτὴν πάσης χώρας· ἢ, χαρίεντα πόνον τὸν ὕμνον ἕξει ἡ Αἴγινα ἡ ὅσα τῆς περὶ αὐτὴν χώρας ἄγαλμα.

21. Μυρμιδόνες ἵνα πρότεροι ᾤκησαν] περὶ τῶν Μυρμιδόνων Ἡσίοδος μὲν ὕτω φησιν (Fragm. p. 445. Lipſ.)·

Ἡ δ' ὑποκυσαμένη τέκεν Αἰακὸν ἱππιοχάρμην.
Αὐτὰρ ἐπεὶ ῥ' ἤβης πολυηράτου ἵκετο μέτρον

Μοῦνος

Ὤικησαν, ὧν παλαίφατον ἀγορὰν ἐλεγχέεσσιν Ἀριστοκλείδας
25 Ἂν ὄκ ἐμίανε κατ' αἶσαν,
Ἐν περισθενεῖ μαλαχθεὶς

Ε. ά. Κ. ιά.
Παγκρατίῳ τόλῳ. καματωδέων δὲ πλαγᾶν

Ἄκος

Μῦνος ἐὼν ἤσχαλλε· πατὴρ ἀνδρῶν τε θεῶν τε
Ὅσσοι ἔσαν μύρμηκες ἐπηράτῳ ἔνδοθι νήσῳ,
Τοὺς ἄνδρας ποίησε βαθυζώνους τε γυναῖκας.
Οἵ δή τοι πρῶτον ζεῦξαν νέας ἀμφιελίσσας.

Θεογένης δὲ ἐν τῷ περὶ Αἰγίνης οὕτω γράφει, ἄλλοι δέ τινες πιθανώτερον ἐξηγοῦνται περὶ τούτων. ὀλιγανθρωπήσης γὰρ τῆς νήσου, φασὶ τοὺς ἐνοικοῦντας αὐτὴν ἐν σπηλαίοις καταγείοις διαιτᾶσθαι, παντελῶς ἀκατασκεύους ὄντας, καὶ τὰς μὲν γινομένας καρπὰς εἰς ταῦτα καταφέρειν, τὴν δὲ ἐκ τούτων ὀρυττομένην γῆν ἐπὶ τὰ γεώργια ἀναφέρειν, ὅσης ἐπιεικῶς ὑπάντρου καὶ ὑποπέτρου τῆς νήσου, μάλιστα δὲ τῶν πεδινῶν τόπων αὐτῆς. διόπερ ἀφομοιούντων αὐτοὺς, ὡς εἶδον ταῦτα πράττοντας, τῶν ἔξωθεν ἐρχομένων μύρμηξι, Μυρμιδόνας κληθῆναι, μεθ' ὧν συνοικήσαντά τὸν Αἰακὸν τοὺς ἐκ Πελοποννήσου μεθ' ἑαυτοῦ παραγινομένους ἐξημερῶσαί τε καὶ νόμους δοῦναι καὶ σύνταξιν πολιτικὴν, ᾗ χρησαμένους αὐτοὺς παντελῶς δοκεῖν ἐκ μυρμήκων γενέσθαι ἀνθρώπους.

23. Ὧν παλαίφατον ἀγορὰν] ὧν, τῶν Μυρμιδόνων, τὴν πάλαι πεφατισμένην, τουτέστιν ὑμνημένην ἀγορὰν καὶ σύνοδον ἁπάντων ὥρισε καὶ ὀνειδισμοῖς ἐμίανεν Ἀριστοκλείδης, ἀλλὰ τἀναντίον καὶ προσηύξησεν, ὡς καὶ Ὅμηρος (Il. XV, 11)· Ἐπεὶ ἤ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν· ἀλλὰ ἰσχυρότατος δηλονότι. Ἄλλως. διὰ τὸ σόν, φησὶ, μέρος, ὦ Μοῦσα, ἢ ὦ Αἴγινα, ὅ ἐστι, τῷ ὕμνῳ τυχὸν κατὰ τὴν ἑαυτοῦ μερίδα καὶ σπουδὴν, ὅσον τε ἀνῆκεν αὐτῷ.

27. Παγκρατίῳ τόλῳ] τόλῳ μὲν τῇ τάλσει. εἰσὶ δὲ οἳ τὸ παγκράτιον ἀπαρχαίζοντες καὶ τὸν Θησέα φασὶ τῷ Μινοταύρῳ παγκρατιαστικῶς ἀγωνίσασθαι. Ἀριστοτέλης δὲ Λεύκαρόν φησι τὸν Ἀκαρνᾶνα πρῶτον ἐντεχνον τὸ παγκράτιον ἀπεργάσασθαι. ὁ δὲ νῦν τῇ τοῦ παγκρατίου ὁρμῇ (τοῦτο γάρ λέγει, τόλῳ), καὶ ὁρμῇ τῇ περισθενεῖ καὶ πανταχόθεν συνεχομένῃ μαλαχθεὶς καὶ γυμνασθεὶς ἱκανῶς. τῶν δὲ ἐπιπόνων πληγῶν καὶ τῶν ἐκ τοῦ παγκρατίου τραυμάτων,

Ἄκος ὑγιηρὸν ἐν
Γε βαθυπέδῳ Νεμέᾳ
Τὸ καλλίνικον φέρει. —
Εἰ δὲ ὢν καλὸς
Ἑρδὼν τ' εἰκότα μορφᾷ
Ἀνορέαις ὑπερτάταις ἐπέβα
Παῖς Ἀριστοφάνευς· οὐκ ἔτι γε πρόσω
Ἀβάταν ἄλα κιόνων
Ὑπὲρ Ἡρακλέος περᾶν εὐμαρὲς,

Σ. β'. Κ. ιγ'.

Ἥρως θεὸς ἄς ἔθηκεν
Ναυτιλίας ἐσχάτας

Μάρτυ-

μάτων, τῶν κατὰ τὴν μεγάλην Νέμεαν, βοηθημα καὶ ἴαμα ὑγιεινὸν φέρειν τὴν νίκην ταύτην γὰρ φάρμακον ἔσχε τῶν πληγῶν· οἱ γὰρ νικήσαντες οὐδὲ, εἰ τραύματα ἔχησιν, αἰσθάνονται, διὰ τὸ ἥδεσθαι.

32. Εἰ δ' (sic) ὢν καλὸς, ἔρδων τ' εἰκότα μορφᾷ] εἰ δὲ τὸ εἶδος ὢν καλὸς, ἰσορρόποις τῇ εἴδους σεμνύνεται πράξεσιν ὁ τῆ Ἀριστοφάνους παῖς Ἀριστοκλείδης, οὐκέτι οἷόν τέ ἐστι περαιτέρω πλεῖν τὴν μὴ πλεομένην θάλασσαν, ἀλλ' ὑπὲρ τὰς Ἡρακλείας στήλας τοῖς πλέουσιν. ἀρκείσθω, φησὶ, τούτοις τοῖς ἀγαθοῖς καὶ τῷ κάλλει, καὶ τῷ νικᾶν, καὶ μὴ ζητείτω ἔτι πλείονα ἀγαθά. ὡς γὰρ ἐ δυνατὸν ὑπερθέσθαι τὰς Ἡρακλέους στήλας, οὕτως οὐδὲ τὴν ἀπὸ τούτων δόξαν.

38. Ἥρως θεὸς ἄς ἔθηκε ναυτιλίας] ὁ Ἡρακλῆς. διατί αὐτὸν ἥρωα καὶ θεὸν εἶπε; λέγεται γὰρ ὅτι τῆς Ἑλλάδος προσελθούσης τῷ Ἀπόλλωνι καὶ ἐρωτώσης, ὅπως δεῖ τιμᾶν τὸν Ἡρακλέα μετὰ τὴν ἀποθέωσιν, εἶπεν ὁ θεὸς· νῦν μὲν, ὡς ἥρωα· τῇ δὲ ἐπιούσῃ, ὡς θεόν. ὁ δὲ νοῦς ὅλος· ἃς τινας στήλας ὁ ἥρως καὶ θεὸς Ἡρακλῆς τῆς τελευταίας ναυτιλίας καὶ τοῦ ἐσχάτου πλοῦ, ἔστησε περιφανέστατα σημεῖα. ὡς ἐν παρεκβάσει δὲ λέγει, ὅτι καὶ ἀνείλε θαλάσσια θηρία, οἷον, τὸ κήτος. λέγεται γὰρ ὁ Ἡρακλῆς διαπλεῦσαι τὰ δυτικὰ μέρη καὶ Λιβύην, καὶ ἔτι περαιτέρω· καὶ θεασάμενος ἄπειρον τὸ πέλαγος, ὅρους τοῦ πλοῦ δύο κίονας ἔστησε, τὸν μὲν ἕτεραν ἐν Λιβύῃ, τὸν δὲ ἄλλον εἰς τὸ ἕτερον κλίμα. τὸ δὲ, μάρτυρας κλυτὰς, ἀμφίβολον, πότερον

40 Μάρτυρας κλυτὰς· δά-
μασε δὲ θῆρας ἐν πελάγει
Ὑπερόχως, ἰδία τ' ἐρεύνα-
σε τεναγέων ῥοὰς, ὅπα πόμπιμον
Κατέβαινε, νόστε τέλος
45 Καὶ γᾶν φράδασσε. — Θυμὲ,
Τίνα πρὸς ἀλλοδαπὰν
Ἄκραν ἐμὸν πλόον παραμείβῃ;

Αἰακῷ

ρον τῆς ἐσχάτης μάρτυρες ναυτιλίας αἱ σῆλαι, ἢ κατὰ τὸ πληθυντικὸν, τῆς ἐσχάτης μάρτυρας ἐμφανιζούσας ἔθηκεν, ὅτι μέχρις αὐτῶν δεῖ πλεῖν. ἔστι δὲ καὶ περισπᾶσαι τὸ, κλυτας, ἵν' ᾖ, τῆς κλυτῆς ναυτιλίας ἐσχάτας μάρτυρας τὰς σῆλας ἔθηκεν. αἱ δὲ Ἡρακλείαι σῆλαι καὶ Βριάρεω λέγονται εἶναι, καθὸ φησι σῆλαι, τὴν Αἰγαίωνος ἅλὸς μεθέοντι γίγαντος.

42. Ὑπερόχως] Δορικῶς ἀντὶ τοῦ ὑπερόχως, οἷον ὑπερέχοντας καὶ μεγίστας. ἡ δὲ ἀπόστασις αὐτῷ ἐπὶ τοῦ κήτους τοῦ περὶ τὴν Ἴλιον καὶ τὸν Λαομέδοντα. τὸ δὲ, ἰδίᾳ τ' ἐρεύνησεν, ἔνιοι γράφουσι, διά τ' ἐρεύνασε, διηρεύνησέ τε ἰδίᾳ, ἀντὶ τῦ, ἀφ' ἑαυτῦ, ὐκ ἐπιτάξαντος Εὐρυσθέως, ἀλλὰ κατὰ τὸ φιλόπονον, αὐτὸς δ' ἑαυτῦ ἠρεύνησε. ὅθεν ἦν δυνατὸν ἐπανελθεῖν τινάς. Καλλίμαχος (Fragm. 120. p. 488. Ern.)·

Χαῖρε βαρυσκίπων, ἐπίτακτα
μὲν ἕξάκι δοιὰ,
Ἐκ δ' αὐταγρεσίης πολλάκι
πολλὰ καμών,

τυτέσι τὰ πάρεργα. τενάγη δὲ λέγουσι αἱ ὀίνγροι καὶ παραπεταμιοι ὀφρύες, ἤτοι παρατεταμένη τις καὶ ὑπερέχουσα γῆ ὕσα· ἢ ἀπὸ τῦ τέγγεσθαι, τυτέσι βρέχεσθαι.

45. Καὶ γᾶν φράδασσεν (sic)] ἀντὶ τῦ φραδῖτην ἐποίησε καὶ δῆλην, ἕως τίνος ἐσὶ πορευτὴ, καὶ ἕως τίνος ἡ θάλασσα πλωτὴ, ἐπισήσας τὰς σῆλας αὐτός.

Θυμὲ, τίνα πρὸς ἀλλοδαπὰν] ἐπιλαμβάνεται ἑαυτῦ, ὡς περαιτέρω, ἢ προσῆκεν, εἰς τὰς περὶ Ἡρακλέος ἐπαίνους τραπέντος, δέον λέγειν περὶ τῶν προγόνων τῦ νενικηκότος Αἰακῦ καὶ Τελαμῶνος. προσεχέστεροι γὰρ ἦτοι Ἡρακλεῖς τῦ ἐπαινημένυ ἕνεκεν Ἀριστοκλείδα· ὁ μὲν γὰρ Αἰγινήτης ἐσὶν, ὥσπερ Αἰακὸς, ὁ δὲ Ἡρακλῆς Θηβαῖος. ἀλληγορεῖ δὲ πρὸς ἄκραν ἀπευθύνειν λέγων τὸν πλῶν, ἀπὸ τῶν κυβερνητῶν, τῶν ἐχομένων ἄλλων ἀκρωτηρίων, ἀλλ' ὑ τῶν προκειμένων, δέον εὐθυπλοεῖν κατὰ λιμένας· τυτέσι, μὴ καὶ τὸν νῶν περιφέρειν ἔξω τῦ σκοπῦ τὸς ἐπαίνυς ἄγοντα, ἀλλ' ἐπὶ τὸν ἐπαινύμενον κρέπει. διὸ καὶ ἐποίησε

Αἰακῷ σε Φαμὶ γένει τε Μοῖσαν
Φέρειν. ἔπεται δὲ λόγῳ δι-
κας ἄωτος, ἐσλὸς αἰνεῖν·

Α. β΄. Κ. ιγ΄.

Οὐδ' ἀλλοτρίων ἔρωτες
Ἀνδρὶ Φέρειν κρέσσονες.
Οἴκοθεν μάτευε.
Ποτίφορον δὲ κόσμον ἔλαβες
Γλυκύ τι γαρυέμεν. παλαιαῖ-
σι δ' ἐν ἀρεταῖς, γέγαθε Πηλεὺς ἄναξ

Ὑπέ-

σει ἐντόπια τινὰ καὶ οἰκεῖα· (v. 48) Αἰακῷ σε φημὶ γένει τε Μοῖσαν φέρειν· τὸ ποίημα δεῖ φέρειν, ὦ θυμέ, Αἰακῷ σέ· Αἰγινήτης γὰρ ὁ τε ἐπαινούμενος καὶ Αἰακός. Ἄλλως. ἀποστρέφει τὸν λόγον πρὸς ἑαυτόν· ἤσθετο γὰρ ἑαυτῷ παρεκβάντος, καί φησι, τίνα πρὸς ἄκραν ἀλλοτρίαν ἐκπλέεις, ὦ θυμέ; ἀντὶ τοῦ, διατί τὰ Ἡρακλέος νῦν διηγῇ θαύματα, ἐάσας τὰ τῶν Αἰακιδῶν; λέγε μᾶλλον περὶ Αἰακοῦ καὶ τούτου τοῦ γένους, ἢ τῶν πολέμων, καὶ ἐν τούτοις τὴν μοῦσαν τὴν σήν, τὸν ὕμνον, φέρε.

49. Ἕπεται δὲ λόγῳ δίκας] ἕπεται δὲ τῷ λόγῳ καὶ ἀκόλουθον φαίνεται, ὅστις λόγος τῆς δίκης ἄωτός ἐστι. τί ἕπεται; ὅτι δεῖ τοὺς ἀγαθοὺς πάντας ἐπαινεῖν, ἀλλ' οὐ καλόν. ἐξ ἀλλοτρίων κοσμεῖσθαι. κατ' ἔλλειψιν δὲ εἶπε τὰ πλείονα. Ἄλλως. τὸ ἐσλὸς ἀντὶ τοῦ, ἔσλης· οἷον, δίκαιόν ἐστι τοὺς ἀγαθοὺς ἐπαινεῖν. τοῦτο δὲ πρὸς τὸν Αἰακόν φησιν, ὅτι δεῖ αὐτὸν ἐπαινεῖν. ἀγαθὸς γὰρ ἦν. οὐ καλὸς γὰρ οἱ ἔρωτες, φησίν, οὐδὲ ἀρίστη ἡ ἐπιθυμία τῷ ἀνδρὶ προσάπτειν καὶ προσφέρειν ἔπαινον ἐξ ἀλλοτρίων ἐγκωμίων, καὶ μὴ ἰδίων.

53. Οἴκοθεν μάτευε] ἐκ τῶν ἰδίων τοίνυν γένους ἀνεύρισκε καὶ ἐπιζήτει τὰ ἐγκώμια, καὶ μὴ ἀπὸ τοῦ Θηβαίου Ἡρακλέους· πρόσφορον οἰκεῖον ἔπαινον ἔλαχες καὶ ἔχεις, ὅπερ δὴ γλυκύτατόν ἐστι λέγειν, τὸ ἀπὸ τῶν ἰδίων καλῶν ἐγκωμιάζεσθαι. ἢ ὅτω· τοῦτό, φησιν, ἔλαβες ἐκ θεῶν, κοσμεῖν τοὺς ἀξίους, ἵν' ᾖ πρὸς αὐτὸν λέγων. κόσμον γάρ φησι τὸν ἔπαινον.

55. Παλαιαῖσι δ' ἐν ἀρεταῖς γέγαθε Πηλεὺς ἄναξ] ἔτι πάλαι, φησίν, ὑμνεῖται ὁ Πηλεὺς καὶ ὑμνεῖτο, οὐ νεωστί, οὐδὲ ὑπ' ἐμοῦ μόνου. οὐ γὰρ λέγει, ὅτι νῦν γέγηθεν ὁ Πηλεύς, ὡς νῦν πρώτου ἐπαι-

Ὑπέραλλον αἰχμὰν ταμών.
Ὃς καὶ Ἰωλκὸν εἷλεν
Μόνος ἄνευ στρατιᾶς,
60 Καὶ ποντίαν Θέτιν κατέμαρψεν
Ἐγκονητί. Λαομέδοντα δ' εὐρυσθενὴς Τελαμὼν, Ἴλιον παρασάτας ἐὼν, ἔπερσεν.

Ε. β'.

ἐπαινούμενος, ἀλλ' ἔτι πάλαι ὑμνεῖτο. τὸ δὲ (v. 57) ὑπέραλλον αἰχμὰν ταμών, ἀντὶ τοῦ, ἐξαίρετον, ἐξέχουσαν καὶ ὑπερβάλλουσαν. ἀναφέρει δὲ ἐπὶ τὰ Ὁμηρικά (Il. XIX, 390)· Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ τάμε Χείρων. ἀντιτάττεται δὲ τοῖς Ὁμήρου· ὁ μὲν γὰρ ὑπὸ Χείρωνός φησι τμηθῆναι αὐτὴν καὶ δοθῆναι Πηλεῖ, οὗτος δὲ ὑπὸ Πηλέως φησὶ τμηθῆναι. δέξει δὲ ὁ Πίνδαρος, διὰ τὸν Αἰγινήτην χαρίζεσθαι τῷ Πηλεῖ. οὐ γὰρ μόνος εἷλε τὸν Ἰωλκὸν, ἀλλὰ μετὰ Ἰάσονος καὶ τῶν Τυνδαριδῶν, ὡς ἱστορεῖ Φερεκύδης· οὗτος δέ φησιν, ὅτι Πηλεὺς μόνος νηὶ τὴν Ἰωλκὸν ἐπόρθησε, πολεμήσας πρὸς Ἄκαστον τὸν Πελίου παῖδα.

60. Καὶ ποντίαν Θέτιν κατέμαρψεν] ἀντὶ τοῦ, περιεγένετο αὐτῆς τῶν ἐπιβουλῶν. διωκομένη γὰρ ὑπ' αὐτοῦ, μετέβαλλε τὰς μορφὰς, ὁτὲ μὲν εἰς πῦρ, ὁτὲ δὲ εἰς θηρία. ὁ δὲ καρτερήσας περιεγένετο. περὶ δὲ τῆς μεταμορφώσεως αὐτῆς καὶ Σοφοκλῆς φησὶν ἐν Τρωΐλῳ (Fragm. p. 452. T. III. Brunk.)·

Ἔγημεν ὡς ἔγημεν ἀφθόγγῳ γάμῳ,
Τῇ πανταμόρφῳ Θέτιδι συμπλακεὶς ποτε.

καὶ ἐν Ἀχιλλέως ἐρασταῖς (Fragm. p. 404. T. III. Brunk.)·

Τίς γάρ με μόχθος οὐκ ἐπεσάρτει; λέων,
Δράκων τε, πῦρ, ὕδωρ.

ὅτι δὲ τῷ διαφόρῳ τῆς μορφῆς ἡ Θέτις ὑπέκλεπτε τοὺς πρὸς τὸν Πηλέα γάμους, δημώδης ὁ λόγος· ὥσπερ καὶ ὁ Πρωτεὺς τὴν φύσιν ἤμειβε.

61. Λαομέδοντα δ' εὐρυσθενὴς Τελαμὼν] ἀπὸ μὲν τοῦ Λαομέδοντος τὴν πόρθησιν τοῦ Ἰλίου σημαίνει, ἀπὸ δὲ τοῦ Ἴολα, ὃς ἦν Ἰφικλέους υἱὸς τὴν Ἡρακλέους στρατηγίαν· τῷ δὲ Ἡρακλεῖ συγκαθεῖλε Τελαμὼν τὴν Ἴλιον. Ἄλλως, Ἴολαος Ἡρακλέους ἦν ἡνίοχος, ἐκ συσσίτιον οὖν λέγει Ἴολα τινὲς τῷ Ἡρακλεῖ. φησὶν οὖν, ὅτι καὶ ὁ Τελαμὼν παρασάτης ὢν τοῦ Ἡρακλέους, ἅμα τῷ Ἰολάῳ ἐπόρθησε τὸν Λαομέδοντα.

64. Καὶ

Ε. β'. Κ. ια'.

Καί ποτε χαλκοτόξων
'Αμαζόνων μετ' ἀλκὰν
Ἔπετό οἱ· ὐδέ μίν
Ποτε φόβος ἀνδροδάμας
Ἔπαυσεν ἀκμὰν φρενῶν.
Συγγενεῖ δέ τις
Εὐδοξία μέγα βρίθει. —
Ὅς δὲ διδάκτ' ἔχει, ψεφηνὸς ἀνήρ,
Ἄλλοτ'

64. Καί ποτε χαλκοτόξων 'Αμαζόνων] χρόνῳ δέ τινι καὶ ἐπὶ τὰς πολεμικὰς 'Αμαζόνας ἐπιόντι τῷ Ἡρακλεῖ συνηκολούθησέ, φησιν, ὅτε πρὸς τὴν Ἱππολύτην διὰ τὸν ζωστῆρα ἦλθεν. Ἄλλως. περὶ τῶ καὶ ἐπὶ τὰς 'Αμαζόνας συστρατεῦσαι·

Τελαμὼν ἀκόρητος ἀϋτῆς
Ἡμετέρας ἑτάροισι φόως πρώτιστος ἔθηκε
Κτείνας ἀνδρολέτειραν ἀμώμητον Μελανίππην
Αὐτοκασιγνήτην χρυσοζώνοιο ἀνάσσης.

Ἔνιοι δέ φασιν, ὅτι καὶ Πηλεὺς αὐτοῖς συνεστράτευσεν. Ἑλλάνικος δὲ πάντας τοὺς ἐν τῇ 'Αργοῖ πλεύσαντας Ἡρακλεῖ συστρατεῦσαί φησιν.

66. Οὐδέ μιν ποτὲ φόβος ἀνδροδάμας] τητέσιν, ὁ τοὺς ἄνδρας δαμάζων φόβος· ὐδέποτε δὲ αὐτῆ τὴν ἀνδρείαν ἐκ τῶν φρενῶν φόβος τις ἔπαυσεν. ὅτω τῇ ἐκ φύσεως εὐδοξίᾳ πᾶς τις ἐπαίρεται καὶ μέγα φρονεῖ. δεῖ δ' ἴν, φησὶ, καὶ τούτοις ἐφ' ἑαυτοῖς μέγα φρονεῖν· ἐκ φύσεως γὰρ ἀγαθοί.

71. Ὅς δὲ διδάκτ' ἔχει, ψεφηνὸς ἀνὴρ] τητέσιν, ὐδέποτε ἀσφαλῶς ἐπέβη τοῖς καλοῖς· καταψευδόμενος τῆς ἐλπίδος πολλῶν ἀρετῶν ἀτελῶς ἄπτεται. ὡς Ὅμηρος (Il. XIII, 281.)·

Ἀλλὰ μετοκλάζει, καὶ ἐπ' ἀμφοτέρους πόδας ἴζει.

Ἄλλως. ὁ διὰ παντὸς διομαλίζων, ὡς ὁ ἐκ φύσεως τὸ ἀγαθὸν περιπεποιημένος, ἀλλὰ νῦν μὲν ἐπιτυγχάνων, νῦν δ' ὄ. ὁ γὰρ φυσικὴν μὲν εὐεμίαν ἔχων ὁρμήν, ὐδὲ εὐφυίαν, διδακτὰ δὲ πάντα, ὅτος ὐδέποτε ἐφ' ἓν ὁρμήσας συνετέλεσεν, ἀλλ' ἐπὶ πολλὰς ἀρετὰς ἐρχόμενος ἀπογεύεται μόνον. ἢ ὅτω· διομαλίζει, ὐκ ἐπιβαίνει, ὐκ ἐπὶ τὸ αὐτὸ πρᾶγμα ἵσταται. ὁ δὲ Δίδυμος· ὐδέποτε καταβὰς ἐπὶ πρᾶγμα, ἵσταται, ἐνέμεινεν ἐπ' αὐτῷ καὶ ἐνεκαρτέρησεν, ἀλλ' εἰς πολλὰ καὶ ἄλλα μετατρέπει. ὁ δὲ νῦς· ὅστις ἐξ ἐπιτηδεύσεως καὶ μαθήσεως ἔχων τὰ καλὰ, σκοτεινός ἐστι, καὶ ὐχ ὁμοίως ἐκλάμ-

Ἄλλοτ' ἄλλα πνέων ὄποτ' ἀτρεκὲς
Κατέβα ποδὶ, μυριᾶν
Δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται. —

Σ. γ'. Κ. ιγ'.

Ξανθὸς δ' Ἀχιλεὺς, τὰ μὲν, μέ-
νων Φιλύρας ἐν δόμοις
Παῖς ἐὼν ἄθυρεν
Μεγάλα ἔργα, χερσὶ θαμινὰ
Βραχυσίδαρον ἄκοντα πάλλων
Ἴσα τ' ἀνέμοις, μάχᾳ λεόντεσσιν ἀ-
γροτέροις ἔπρασσεν Φόνον,
Κάπρους τ' ἔναιρε· σώμα-
τα δὲ παρὰ Κρονίδαν
Κένταυρον ἀσθμαίνοντα κόμιζεν,

Ἐξέτης

παν, ὃκ ἀεὶ τὰ αὐτὰ Φρονῶν, ἀλλ' εὐμαρῶς μεταβαλλόμενος διὰ τὸ σαθρὸν τῆς ἐπιτηδεύσεως ἀφ' ἑτέρων εἰς ἕτερα.

75. Ξανθὸς δ' Ἀχιλλεὺς (sic), τὰ μὲν μένων Φιλύρας ἐν δόμοις] ἀπὸ τῆς μητρὸς, ἀντὶ τοῦ, ἐν τοῖς τοῦ Χείρωνος ἀκουσίοις. παρὰ μὲν γὰρ Ὁμήρῳ μόνον παιδεύεται, διδασκόμενος τὴν ἰατρικήν· παρὰ δὲ τοῖς νεωτέροις καὶ τρέφεται παρὰ Χείρωνι. ὁ δὲ νῦς· ὁ δὲ Ἀχιλλεὺς τὰ μὲν παῖς ὢν ἄθυρεν ἐν τοῖς οἴκοις τῆς Φιλύρας, καὶ ταῦτα δὲ μεγάλα καὶ συνεχῶς κατειργάζετο ὀξείαις βολαῖσι μάχας (sic), τῶν γενναιοτέρων ζώων λεόντων τε καὶ συῶν ἀγρίων πλῆθος ἀναιρῶν. διὰ παντὸς δὲ ὁ Πίνδαρος μᾶλλον τὰ ἐκ φύσεως ἀγαθὰ τῶν ἐκ διδασκαλίας παραγινομένων προκρίνει. τὸ δὲ βραχυσίδαρον ἄκοντα πάλλων φησὶν, ἤτοι καθὸ βραχυσίδαρός ἐστιν ἡ ἀκὶς πρὸς τὸ ξύλον τοῦ δόρατος συγκρινομένη, ἢ ἐπεὶ παῖς ἦν ὁ Ἀχιλλεὺς, ἀνάλογον εἶχε τῇ ἡλικίᾳ βραχυσίδηρον ἄκοντα, τυτέστι, παιδικῷ δόρατι ἐχρήτατο. ἀκαταλλήλως δὲ ἐξενήνοχεν. ἔδει γὰρ εἰπεῖν, λεόντων ἀγροτέρων μάχας ἐνήργει, ἤ, λεόντεσσιν ἀγροτέροισιν.

82. Σώματα (sic) δὲ παρὰ Κρονίδαν Κένταυρον] τῷ δὲ αὐτοῦ σώματι ἐνεργῷ ὁ Ἀχιλλεὺς ἄσθματος πλήρης ἐξέτης ὢν κυνηγῶν θῆρας ἐφόρει παρὰ Κρονίδην Κένταυρον, ἤτοι τὸν Χείρωνα. ἐκ Κρόνου γὰρ καὶ Φιλύρας, ὡς καὶ Ἀπολλώνιος ἐν τῷ δευτέρῳ μαρτυρεῖ.

85. Ὅλον

Ἐξέτης τοπρῶτον· ὅλον δ' ἔπειτ' ἀν'
Χρόνον τὸν ἐθάμβεον Ἄρτε-
μίς τε καὶ θρασεῖ' Ἀθάνα,

Α. γ'. Κ. ιγ'.

Κτείνοντ' ἐλάφους ἄνευ κυ-
νῶν δολίων θ' ἑρκέων·
Ποσσὶ γὰρ κράτεσκεν. —
Λεγόμενον δὲ τῦτο πρότερον
Ἔπος ἔχω. — Βαθυμῆτα Χείρων
Τράφε λιθίνῳ τ' Ἰάσον' ἔνδον τέγει
Καὶ ἔπειτά γ' Ἀσκληπιὸν,
Τὸν φαρμάκων δίδαξεν
Μαλακόχειρα νομόν. —
Νύμφευσε δ' αὖθις ἀγλαόκαρπον

Τ 2 Νηρέως

85. Ὅλον δ' ἔπειτ' ἄν (sic) χρόνον τὸν ἐθάμβεεν (sic)] τυτέστι, τὸν ἅπαντα βίον τῦτο ἐνήργει, καὶ τῶν ἀνδραγαθημάτων αὐτὸν ἐθαύμαζον.

88. Κτείνοντ' ἐλάφους ἄνευ κυνῶν] τὴν ἰσχὺν καὶ τὴν ταχυτῆτα αὐτῦ διὰ τύτων παρίςησι. ποδώκης γὰρ ἦν. ἔτι τε σὺν τῷ μηδὲ κύνας ἔχειν μηδὲ λῖνα περιεπήγνυ, οἷς δολώσει τὰς θήρας. ἦτως ἦν ἴσος ἀνέμοις. Ἕρκεα δὲ τὰ λῖνά φησιν, τὰ περιφράγματα. Δολίων δὲ, ὅτι θηρῶντες τὰς θήρας τὰ λῖνα λάθρα ἱςᾶσιν. ὅτι δὲ ποδώκης ἦν Ἀχιλλεὺς, καὶ Ὅμηρος μαρτυρεῖ λέγων (Il. I, 58.)· Πόδας ὠκὺς Ἀχιλλεύς.

92. Ἔπος ἔχω βαθυμῆτα (sic) Χείρων] ὅτι δὲ ἐτράφη παρὰ τῷ Χείρωνι ὁ Ἰάσων, Ἡσίοδός φησιν (Fragm. p. 444. Lipſ.)·

Αἴσων, ὅς τέκεθ' υἱὸν Ἰάσονα, ποίμενα λαῶν,
Ὃν Χείρων θρέψεν ἐνὶ Πηλίῳ ὑλήεντι.

ἀλλὰ καὶ ὁ Ἀσκληπιὸς παρὰ Χείρωνί, φησιν, ἐτράφη, ὡς καὶ Σωκράτης ὁ Ἀργεῖός φησι.

95. Τὸν φαρμάκων δίδαξε μαλακόχειρα] τυτέστι, τὸν πρωτάτην καὶ ὑγιαστικὴν ἔχοντα τὴν διὰ τῶν χειρῶν ἐπιμέλειαν. νομὸν δὲ τὴν διανέμησιν τῶν φαρμάκων καὶ τὴν ἐμπειρίαν λέγει.

97. Νύμφευσε δ' αὖθις] ἐγαμετόλησε τῷ Πηλεῖ, φησὶν, ὁ Χείρων τὴν Θέτιν. ὑπεδέξατο γὰρ τὸς θεὸς ἐπὶ τὴν δαῖτα. τὸ δὲ αὖθις ὐκ ἐκ δευτέρυ, ἀλλὰ μετὰ ταῦτα.

Νηρέως θύγατρα· γόνον τε οἱ φέρ-
τατόν γ' ἀτίταλλεν ἐν ἁρμέ-
νοισι πάντα θυμὸν αὔξων.

Ε. γ'. Κ. ιά.

Ὅφρα θαλασσίαις ἀ-
νέμων ῥιπαῖσι πεμφθεὶς
Ὑπὸ Τροΐαν δορί-
κτυπον ἀλαλὰν Λυκίων
Τε πρυμνόθεν καὶ Φρυγῶν
Δαρδάνων τε, καὶ
Ἐγχεσφόροις ἐπιμίξαις
Λιθιόπεσσι, χεῖρας ἐν φρεσὶ πά-
ξαιθ', ὅπως σφίσι μὴ κοίρανος ὀπίσω
Πάλιν οἶκαδ' ἀνεψιὸς
Ζαμενὴς Ἑλένοιο Μέμνων μόλοι.

Σ. δ.

ταῦτα. ἐναντίον γὰρ εἰ ὡς πρός τι λαμβάνοιτο.

98. Γόνον τε οἱ φέρτατον ἀτίταλλε] τητέσιν, ἔτρεφεν ἐν τοῖς ἁρμοδίοις καὶ προσήκουσι τὴν Ἀχιλλέως παιδεύων ψυχήν.

101. Ὅφρα θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθεὶς] εἰς ταῦτά, φησιν, ἀτίταλλε τὸν Ἀχιλλέα ὁ Χείρων, ἁρμοσὰ αὐτῷ πάντα παρέχων, ἵνα πλεύσας εἰς Ἴλιον τὴν δορίκτυπον ἀλαλὰν τῶν Λυκίων ὑπομένῃ. τοῦτο δὲ οἱ μὲν ἁπλῶς εἰς τὴν μάχην τῶν Λυκίων, οἱ δὲ ἁπλῶς εἰς τὴν Τροίαν ἥκουσαν, ἵνα ἡ ὑπὸ ἀντὶ τῆς εἰς κέηται· οἱ δὲ ἔξωθεν τὸ, χώραν, προσυπήκουσαν, ἵν' ᾖ, ὑπὸ Τρῳὰν χώραν.

106. Καὶ ἐγχεσιφόροις (sic) ἐπιμίξαις] τητέσι, καὶ ἵνα τοῖς Αἰθίοψι τὰς χεῖρας ἐμπήξῃς, καὶ καθίκοιτο τῆς ψυχῆς αὐτῶν διὰ τὸ πολεμεῖν· ἢ ἐπὶ τῶν αὐτῷ φρενῶν τῷ Ἀχιλλέος δεκτέον τὸν λόγον, ἵνα ἑαυτῷ τὰς χεῖρας πήξαιτο, πέπηγυίας παράσχῃ, ταῖς φρεσὶν, ἵνα ὃ διανοηθῇ ταῖς φρεσὶν, ὑπηρετηθῇ διὰ τῶν χειρῶν. ἐνίοτε γὰρ ἐπιθυμοῦμεν τι κατορθῶσαι, μὴ ὑπηρετούμενοι ταῖς χερσίν. ὁ δὲ Ἀχιλλεὺς ἐτράφη, ἵν' ὅπερ ἂν διανοηθῇ, δυνηθῇ διὰ τῶν χειρῶν κατεργάσασθαι· ἵν' ὃν καθίκοιτο αὐτῶν, τὸν βασιλέα Μέμνονα ἀνελών.

112. Τὴ

Σ. δ'. Κ. ιγ'.

Τηλαυγὲς ἄραρε φέγγος
Αἰακιδᾶν αὐτόθεν·
Ζεῦ, τεὸν γὰρ αἷμα·
Σέο δ' ἀγὼν, τὸν ὕμνος ἔβαλεν,
Ὀπὶ νέων ἐπιχώριον χάρ-
μα κελαδέων. βοᾷ δὲ νικαφόρῳ
Σὺν Ἀριστοκλείδᾳ πρέπει·
Ὅς τάνδε νᾶσον εὐκλέ-
ϊ προσέθηκε λόγῳ

Τ 3 Καὶ

112. Τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν] τὸ φέγγος κῃ ἡ δόξα τῶν Αἰακιδῶν τηλαυγὴς ἐστιν αὐτόθεν, ἐξ ὧν εἶπον νῦν ἔργων, ἤ, ἐκ τῆς Ἰλίου· ἠρίστευσαν γὰρ ἐπὶ τῆς Ἰλίου οἱ Αἰακίδαι· ἢ κῃ τρίτον ἐπὶ τῆς Αἰγίνης, διὰ τὸ Αἰγινήτας εἶναι. ἀναφέρων τὸν ἔπαινον ἐπὶ τὸν ἀθλητὴν, ἐκ τῆς Αἰγίνης φησὶν αὐτῷ ἠρῆσθαι τὸ κλέος.

114. Ζεῦ, τεὸν γὰρ αἷμα] τεχνικώτατα τῷ Διὶ προσοικειοῖ τὸν νικηφόρον, πρῶτον μὲν, ὅτι πρόγονος τῶν Αἰακιδῶν ὁ Ζεὺς, δεύτερον δὲ, ὅτι τῇ Νεμεαίᾳ ἀγῶνος ἔφορος ὁ Ζεὺς, καθ' ὃν ὁ Ἀριστοκλείδης ἐνίκησεν. ἀνάκειται δὲ Διὶ κῃ ὁ Νεμεακὸς ἀγών. Ἄλλως. πιθανῶς, ἐπεὶ παρεκβέβηκεν ἐπὶ τὰς Αἰακίδας, ὑμνήσας αὐτῶν τὸ κλέος, βέλεται πάλιν ἐπανελθεῖν ἐπὶ τὸν ὕμνον τῇ ἀθλητῇ, ἐκ προσλόγου ἀποσκασμα ποιήσας· ἐκ τῆς σῆ γένης ἔτι, φησὶν, ἡ ἀρετὴ τῶν Αἰακιδῶν. διατί; σὺ γὰρ ἀρχηγέτης εἶ τῆ γένης αὐτῶν.

Τεὸν γὰρ αἷμα, σέο δ' ἀγὼν] τὰ γὰρ Νέμεα σά ἐστι. Νεμεονίκης δὲ ὁ ὑμνούμενος. ὁ δὲ νῦς· ἀπὸ σῆ τηλαυγὲς ἔχυσι τὸ γένος οἱ Αἰακίδαι. σὺ γὰρ ἀρχηγέτης τῆ γένης αὐτῶν, σάς τε ὁ ἀγὼν τῶν Νεμέων.

116. Ἐπιχώριον χάρμα κελαδέων] τὸ ἐπιχώριον κῃ ἴδιον αὐτῶν τῶν Αἰγινητῶν χάρμα καὶ ἡδονὴν ἀνυμνῶν τὸν νικηφόρον. ἡ δὲ βοὴ τῶν ὑμνούντων νέων σὺν τῷ νικηφόρῳ Ἀριστοκλείδᾳ πρέπει, ἤτοι ἐκπρεπὴς ὑπάρχει. ἐν τισὶ δὲ γράφεται σὺν τῷ ι τὸ, βοᾷ. προσληψόμεθα δὲ ἔξωθεν τὴν σὺν πρόθεσιν, ἵν' ᾖ· σὺν βοᾷ νέων ὁ ὕμνος ἐκπρεπὴς ἐστιν· ἢ ὅτως· ἡ δὲ βοὴ τῆ ὕμνε συμπρέπει τῷ νικηφόρῳ, τῷ Ἀριστοκλείδᾳ.

119. Ὅς τάνδε νᾶσον εὐκλεεῖ (sic) προσέθηκε λόγῳ] ὃς τὴν Αἴγιναν εὐκλεᾶς λόγῳ προσθήκην ἐποίησε λαβεῖν δι' ἑαυτῆ. καὶ γὰρ ἄλλοι ἐμπροσθεν εὐκλειαν αὐτῇ περιε-

Καὶ σεμνὸν ἀγλααῖσι μερίμναις
Πυθίῳ Θεάριον. — ἐν δὲ πείρᾳ
Τέλος διαφαίνεται, ὧν τις
Ἐξοχώτερος γένηται

Α. δ'. Κ. ιγ'.

Ἐν παισὶ νέοισι παῖς, ἐν
Δ' ἀνδράσιν ἀνὴρ, τρίτον
Τ' ἐν παλαιτέροισι,
Μέρος ἕκαστον οἷον ἔχομεν
Βρότειον ἔθνος· ἐλᾷ δὲ καὶ τέσ-
σαρας ἀρετὰς ὁ θνατὸς αἰὼν, φρονεῖν

Δ'

περιεποίησαν, καὶ αὐτὸς δὲ δι' ἑαυτῦ προσέθηκέ τι εἰς εὔκλειαν αὐτῇ καὶ σεμνότητα. τὸ δὲ (122) Θεάριον, τόπος ἐν Αἰγίνῃ δημόσιος, ἔνθα τὰ συμπόσια. εἴρηται ἀπὸ τῶν θεωρῶν τῶν εἰς Ἀπόλλωνα πεμπομένων. Ἄλλως. ἔστιν ἐν Αἰγίνῃ Πυθίῳ Ἀπόλλωνος ἱερὸν, ἐν ᾧ εἰ θεωροὶ διητῶντο, οἱ τὰ θεῖα φυλάσσοντες. θεωροὶ γὰρ οἱ θεοφύλακες. οἱ δὲ, ὅτι ἐν τῷ τῆ Πυθίᾳ Ἀπόλλωνος ἱερῷ οἶκος ἐστὶ καλούμενος Θεάριον, διὰ τὸ τὺς ἄρχοντας, οἳ καλοῦνται θεωροὶ, ἐνταῦθα διαιτᾶσθαι. συνέζευξεν ὤν, φησὶ, λόγῳ εὐσεβεῖ καὶ τὸ θεάριον, ταῖς ἀγλααῖς καὶ καλαῖς αὐτῦ μερίμναις. οἱ δὲ, ταῖς ἐμαῖς μερίμναις καὶ τοῖς ἐμοῖς ποιήμασι συνέζευξε τῷ εὐκλεεῖ λόγῳ, φασίν.

122. Ἐν δὲ πείρᾳ] ἐν τῷ πειραθῆναι, φησιν, ἑκάστη τὸ τέλος διαφαίνεται. οὐκ ἔστι γὰρ γνῶναι τὸν ἀνδρεῖον, ἐὰν μὴ ἑτέρῳ συμβάλλῃ καὶ περιγένηται. ἢ οὕτως· ὅς τις ἂν ἔξοχος γένηται, τούτῳ τὸ τέλος ἐν τῇ πείρᾳ ἀποδείκνυται. τοῦτο δὲ ὡς πρὸς τὸν ἐγκωμιαζόμενον, ὅτι ἐκ μέρους τὰ προσόντα αὐτῷ δείκνυσιν.

127. Ἐν παλαιτέροισι] προσληπτέον ἔξωθεν, παλαιός. λέγει δὲ, οὐχ ὅτι γέρων ἦν τὴν ἡλικίαν· οὐδὲ γὰρ παῖς· ἀλλ' ὡς ὁ Τραγικὸς,

καὶ παιδὶ καὶ γέροντι προσφέρων τρόπους,

πάσῃ δμιλῆσαι ἡλικίᾳ δυνάμενος, καθ' ἕκαστον μέρος τῆς ἡλικίας. Ἄλλως. λείπει τὸ, ἐπίσασαι. φησὶ δὲ, ὅτι πρὸς πᾶσαν ἡλικίαν ἁρμοδίως προσοικειοῖ ἑαυτόν. ἢ οὕτως· ἐπίσταται ὁ νικηφόρος ἕκαστον μέρος τῶν προλεχθεισῶν ἡλικιῶν, οἷον μέρος ἐλάχομεν τὸ βρότειον ἔθνος.

129. Ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετὰς] Ἀρίσταρχος· τρεῖς μὲν τὰς

Δ' ἐνέπει τὸ παρκείμενον.
Τῶν ἐκ ἄπεστι. — Χαῖρε,
Φίλος. ἐγὼ τόδε τοι
Πέμπω μεμιγμένον μέλι λευκῷ
Σὺν γάλακτι — κιρναμένα δ' ἔερσ' ἀμφ-
ἐπει πόμ' ἀοίδιμον — Αἰο-
λῖσιν ἐν πνοαῖσιν αὐλῶν,
Τ 4 Ε. δ'.

τὰς καθ' ἡλικίαν, ὡς προσῃρῆθ-
μηται, τὸ ἐν παισὶν εἶναι παῖδα,
καὶ τὸ ἐν ἀνδράσιν, ἄνδρα, καὶ
τὸ ἐν παλαιοτέροις, παλαιότερον,
καὶ τετάρτην δὲ φησιν ἐλᾶν ἀρε-
τὴν τὸν τῶν ἀνθρώπων βίον. ἡ τετ-
άρτη ἂν εἴη ἀρετὴ αὕτη, πρὸς
αἷς εἴρηκεν, ὡς δεῖ περὶ τῶ παρόν-
τος φροντίζειν καὶ μὴ περὶ τῶν
ἐσομένων πάντων, ἀλλὰ πρὸς τὸ
παρὸν δύνασθαι ἁρμόζεσθαι· ὁ
ἥνιτος αἰῶν καὶ τετάρτην ἀρε-
τὴν ταύτην φέρει, τὸ καὶ περὶ
τῶ ἐνεστῶτος φροντίζειν· ὧν οὐκ
ἄπεστιν ὁ Ἀριστοκλείδης, ἀλλὰ πρὸς
ταῖς τρισί, φησιν, ἃς προκατεί-
ληχε, κέκτηται καὶ ταύτην, τετέ-
τι, τῶ παρόντος φροντίζειν· ἢ ἐν
ταυτῷ ἔχει, ἅπερ οἱ ἄλλοι κατὰ
μέρη ἔχομεν. Ἐνέπει (131) δὲ
ἀντὶ τῶ διδάσκει, τὸ παρὸν σκο-
πεῖν ἐκτίθεσθαι.

132. Χαῖρε, φίλος. ἐγὼ τό
δέ τοι (lic) πέμπω] ἐπεὶ ἴσως οἱ
προπίνοντες ἔλεγον τὸ, Χαῖρε,
ὡς τὸ Χαῖρ' Ἀχιλλεῦ, κἀγὼ
τό δέ τοι πέμπω, φησὶ, με-
μιγμένον μέλι λευκῷ σὺν γά-
λακτι· τὸν ὕμνον λέγω. τῇ ὁμοιό-
τητι δὲ χρῆται, τῇ ἀπὸ τῦ μέλι-
τος καὶ γάλακτος μεταφορᾷ, ἐπὶ
τὸ ποιήματος, καθὸ ἀποδέχεται
τὰ φύσει γράφων ποιήματα τῶν
ἐκ πόνου. τὸ γὰρ γάλα φύσει
παρέπεται ταῖς τικτούσαις, τὸ
δὲ μέλι μετὰ πόνου αἱ μέλισσαι
ἐργάζονται. ἀλληγορικῶς δ' ἂν τὸν
ὕμνον φησὶ, τὸ καλὸν καὶ ἡδύτα-
τον αὐτῦ ἐπιδεικνύμενος.

135. Κιρναμένα δ' ἔερσ' ἀμ-
φέπει πόμ' ἀοίδιμον] ἡ δρόσος,
φησὶν, ἡ τῦ μέλιτος κιρναμένη
πρὸς τὸ γάλα, ποιεῖ τὸ πόμα
ἀοίδιμον, καὶ τὸ ποίημα μιχ-
θὲν αὐλοῖς γίνεται καὶ αὐτὸ
θαυμάσιον. οἷον, ὡς τὸ γάλα
τῷ μέλιτι μιχθὲν χρηστὸν γίνε-
ται, ὕτω καὶ τὸ ποίημα τοῖς
αὐλοῖς ἐγκραθὲν προσηνὲς γίνε-
ται. τὸ δ' Αἰολίσιν (137) ἤτοι,
ὡς τῇ Αἰολίδι ἁρμονίᾳ γεγραμ-
μένων τῶν ποιημάτων, ἢ, καθὸ
τῷ γένει ἐστὶν Αἰολεύς, ὡς Βοιω-
τός· ἢ ὕτω· τοῖς Δωρίοις φθόγ-
γοις. Αἰολεὺς γὰρ ἄνωθεν ὁ
Πίνδαρος, ὅτι οἱ κατ' αὐτὸν
Θηβαῖοι Αἰολέων ἄποικοι τυγχάνε-
σιν, ὡς ἀπὸ Αἰόλω τῦ Ἁθάμα-
τος παιδός.

138. Ἔστι

Ε. δ'. Κ. ιά'.

Ὀψέ περ. ἔστι δ' αἰε-
τὸς ὠκὺς ἐν πετανοῖς,
Ὃς ἔλαβεν αἶψα τη-
λόθε μεταμαιόμενος
Δαφοινὸν ἄγραν ποσίν·
Κραγέται δὲ κο-
λοιοὶ ταπεινὰ νέμονται. —
Τίν γε μὲν, εὐθρόνᾳ Κλεῦς ἐθελοί-
σας, ἀεθλοφόρᾳ λήματος ἕνεκεν
Νεμέας, Ἐπιδαυρόθεν
Τ', ἀπὸ καὶ Μεγάρων δέδορκεν φάος,

138. Ἔστι δ' αἰετὸς ὠκὺς ἐν πο-
τανοῖς (sic)] ὡς μετὰ πολὺν χρόνον
τῆς νίκης γεγραμμένα τῷ ποιήμα-
τος, τῆς βραδυτῆτος ἕνεκεν ἱκανῶς
καὶ τὴν εἰκόνα παρείληφεν. ἢ ὅτως·
εἰ καὶ ὅλως ὀψέ, φησιν, γέγραπ-
ταί μοι τὸ ποίημα, ὅμως ὡς ἀε-
τὸς ταχέως προελθὼν ἤγρευσέ τι
καὶ συνήρπασεν, ὅτως ἐγὼ τὰ
πράγματα ταχέως συνήρπακα καὶ
γέγραφα.

143. Κραγέται δὲ κολοιοὶ τα-
πεινὰ νέμονται] οἱ δὲ ἀντίτεχνοί
μου, φησὶ, κολοιοῖς ἐοίκασι, κραυ-
γάζοντες μόνον καὶ ταπεινὰ νεμό-
μενοι, ὑ δύνανται δὲ διαίρεσθαι
εἰς ὕψος. δοκεῖ δὲ ταῦτα τείνειν
εἰς Βακχυλίδην. ἦν γὰρ αὐτοῖς καὶ
φώρασις πρὸς ἀλλήλους. παρα-
βάλλει δὲ ἑαυτὸν μὲν ἀετῷ, κο-
λοιῷ δὲ Βακχυλίδην.

145. Τίν γε μὲν εὐθρόνᾳ Κλεῦς
ἐθελοίσας] τῆς Κλειῦς τῆς μούσης
ὑ λειφθήσεσθαί φησι τῶν γεγραμ-
μένων ἐπινίκων συλλαμβανομένης
αὐτῷ καὶ χάριν τῷ λήματος τῷ
ἀθλοφόρᾳ ἐκ τῆς Νεμέας, καὶ ἐξ
Ἐπιδαύρου, καὶ ἀπὸ Μεγάρων. φασὶ
γὰρ καὶ ἐν Ἐπιδαύρῳ αὐτὸν νενι-
κηκέναι. τίθεται δὲ ἐν Ἐπιδαύρῳ
ἀγὼν Ἀσκληπιῷ, τῶν Ἀσκληπιά-
δῶν πρώτων θέντων, μετὰ ταῦτα
δὲ Ἀργείων, Ἀσκληπιῷ διὰ πεν-
ταετηρίδος. τίθεται δὲ ἐν τῷ
ἄλσει τῷ Ἀσκληπιῷ. ἄγεται δὲ
μετὰ ἐννέα ἡμέρας τῶν Ἰσθμίων.
τὰ Μέγαρα δὲ προάγεται, εὐθέως
ἔαρος ἀρχομένου. τὸ δὲ (148)
δέδορκε φάος, τυτέστι λελάμπευ-
ται ἡ δόξα τῷ νενικηκότος καὶ ἐν
Νεμέᾳ. βυλομένης ἔν, φησὶ, τῆς
μούσης Κλειῦς λάμπει σὺ ἡ ἀρετή.

Περὶ

Περὶ τῶν κώλων τῆς τροφῆς καὶ ἀντιστροφῆς τῆ αὐτῆ (IV.) εἴδους.

Τῆς τετάρτης ᾠδῆς ἡ τροφὴ καὶ ἀντιστροφὴ κώλων ιγ'. Τὸ α' δίμετρον ἰαμβικὸν βραχυκατάληκτον. Τὸ β' δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον. Τὸ γ' ὁμοίως τῷ πρώτῳ. Τὸ δ' ἐπιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ε' ὁμοίως τῷ πρώτῳ καὶ τρίτῳ. Τὸ ς' περίοδος, διπλῆς τροχαῖος, ἢ Γλυκώνειον. Τὸ ζ' ἰαμβικὸν πενθημιμερές. Τὸ η' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ θ' Ἰωνικὸν ἑφθημιμερές. Τὸ ι' τροχαϊκὸν ἐπίτριτον, ἢ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ια' ἰαμβικὸν πενθημιμερὲς, ἢ Ἰωνικὸν δίμετρον βραχυκατάληκτον, βραχείας τῆς ἀρχούσης ἀδιαφόρου ἔσης. Τὸ ιβ' περίοδος ἰαμβικὴ ἀπὸ β' τροχαίου, ἢ Γλυκώνειον λελυμένον. Τὸ ιγ' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτῆ. Ἡ ἐπῳδὸς ὁμοίως κώλων ιγ', ἅ τινα ὅμοιά ἐστι πάντα τοῖς κώλοις τῆς τροφῆς καὶ ἀντιστροφῆς.

ARGVMENTVM QVARTI CARMINIS.

Laetitia finitis laboribus optime medetur, et cantus mulcent; non aqua calida ita mollia membra reddit, vt lyrici hymni leniunt animum; encomium factis diutius viuit (1-13). Quare contingat mihi hymnum Timasarcho, Nemaeaco victori, componere, et Aegina commune decus excipiat (— 21). Si Timocritus pater tuus adhuc viueret, citharam pulsans, saepe ille hymnum studiose cantaturus esset in te e Nemeis, Athenis, et Thebis victorem (— 31); vbi Thebani lubenter Timasarchum coronarunt (vtpote cognati) ob Aeginam. Amicus enim ad amicos profectus venit Thebas, ad Herculis aulam (— 39), quocum Telamon Troianam terram, Meropas et Alcyonea debellauit, non tamen prius quam duodecim heroas interfecerat. Belli imperitus foret, qui haec non intelligeret; nam patrantem magna facinora etiam pati aliquid oportet (— 52). Sed vt copiosius haec narrem, prohibet et (carminis) lex, et tempus properans, etsi illa (Herculis laudes) valde cupio attingere in sollemni hoc (— 57). Sed quamuis mare altum te in cursu medio teneat, tamen resiste illecebris; multum superior esse obtrectatoribus videbor, hi enim multa clam aduersus me moliuntur (— 66). At mihi ingenium, quod Fortuna dedit (inuidia non eripiet), futura aetas perficiet (— 70). Cithara, carmen hoc gratum Lydio modo decanta Oenonae et Cypro, vbi Teucer Telamonis filius regnat; Aiax vero paternam Salaminem tenet; Achilles splendi-

dam

dam insulam in mari Euxino; Thetis Phthiae imperat; Neoptolemus in Epiro, qua montes a Dodona vsque ad Ionium mare pertingunt (— 87). Iolcum aggressus Peleus subactam Haemonibus dedit, expertus dolosas Hippolytes, Acasti vxoris, fraudes; ense enim ipsi subducto machinatus ei est Acastus mortem, sed Chiron auertit, et quod in fatis erat, ad finem perduxit (— 100). Cum ignem et leonum vngues sustinuisset, vxorem duxit vnam Nereidum, diique ipsi dona et potentiam largiti sunt (— 111). Vltra Gades occasum versus nequit procedi. Verte nauem ad Europam. Non omnes Aeacidarum laudes persequi licet (— 117). Theandridis veni ex promisso praeco certaminum Olympiae, in Isthmo et Nemeae, vnde cum coronis redierunt. Patriam tuam, Timasarche, hymnorum antistitem esse audimus (— 128). Si Callicli auunculo me etiam monumentum ponere iubes (aurum igni coctum summum habet splendorem; ita hymnus quoque virum fortem regibus aequat), ille in inferis versans meam laudem Isthmicae ipsius victoriae habeat, quam Euphanes, auus tuus senex, o puer, cecinit (— 146). In aliis alii valent. Quae vero quis ipse feliciter perfecerit, ea putatur optime celebrare posse (— 150). Sic Melesias certamen optime verba nectendo laudare possit! inuictus ille in hymno dicendo rapit omnes, bene animatus in bonos, inimicis grauis aduersarius (— 156).

ΕΙΔΟΣ δ'.

ΤΙΜΑΣΑΡΧΩι ΑΙΓΙΝΗΤΗι ΠΑΛΑΙΣΤΗι.

Σ. ά. Κ. ιγ'.

Ἄριστος εὐφροσύνα
Πόνων κεκριμένων
Ἰατρὸς, αἱ δὲ σοφαὶ
Μοισᾶν θυγατέρες ἀοιδαὶ
Θέλξαν νιν ἁπτόμεναι.
Οὐδὲ θερμὸν ὕδωρ τόσον

Γε

1. Ἄριστος εὐφροσύνα] ὁ λόγος· τῶν πόνων κρίσιν λαβόντων καὶ συντελεσθέντων ἡ εὐφροσύνη ἰατρός ἐστιν ἄριστος. ἢ τὸ ἄριστος ἀντὶ τοῦ ἀρίστη· ἢ ὅταν πονήσας τὶς νικήσῃ, ἔχει τὴν εὐφροσύνην ἀρίστην ἰατρόν· ἢ ὕτως· ἡ ἀρίστη εὐφροσύνη τῶν τετελειωμένων καὶ πεπληρωμένων πόνων καὶ σπουδασμάτων ἰατρός ἐστιν.

3. Αἱ δὲ σοφαὶ Μοισᾶν θυγατέρες] αἱ δὲ σοφαὶ θυγατέρες τῶν Μουσῶν, ᾠδαὶ καὶ ἔπαινοι, ἁπτόμενοι αὐτῶν τῶν πόνων, οἳ διὰ τοῦ θαυμάζειν ἡδονῆς πληροῦσι καὶ εὐφροσύνης, ἔθελξάν νιν. τὸ νὶν Ἀρίσταρχος ἐπὶ τῆς εὐφροσύνης ἀκούει, ὥστε εἶναι τὸν λόγον· αἱ δὲ τῶν Μουσῶν θυγατέρες, αἱ ᾠδαὶ, τυτέστι τὰ ποιήματα, ἁπτόμεναι αὐτὴν τὴν εὐφροσύνην ἔθελξαν τὴν τοῦ ἀνθρώπου, ὅταν ἐγκωμιάζωσιν. ἔστι δὲ ἄκυρον. ὁ γὰρ θέλγεται εὐφροσύνη, αὐτὴ θέλγουσα τοὺς νενικηκότας, οὐχ ὑπ' ἄλλου θελγομένη. ἄμεινον δέ, φησιν ὁ Δίδυμος, ἐπὶ τῶν πόνων ἀκούειν τὴν νίν· οἱ γὰρ μεθ' Ὅμηρον ὡς καὶ Εὐριπίδης (Bacch. 32)·

Τοί γάρ νιν αὐτὰς ἐκ δόμων
οἴσεσθ' ἐγὼ.

ὥστε τὸν λόγον εἶναι τοῦτον. αἱ ᾠδαὶ ἔθελξαν αὐτοὺς τοὺς πόνους, ἁπτόμεναι αὐτῶν, οἷον θέλγουσι τὴν κακοπάθειαν ὑμνοῦσαι αἱ ᾠδαί.

6. Οὐδὲ θερμὸν ὕδωρ τόσσον γε μαλθακὰ] οὐδ' οὕτω τὰ θερμὰ λουτρά, φησι, μαλακύνει κεκμηκότα

Γε μαλθακὰ τέγγει
Γυῖα, ὅσσον εὐλογία
Φόρμιγγι συνάορος.
Ῥῆμα δ' ἐργμάτων χρονιώ-
τερον βιοτεύει,
Ὅ τι κε σὺν Χαρίτων τύχᾳ
Γλῶσσα φρενὸς ἐξέλοι βαθείας. —

Σ. β'. Κ. ιγ'.

Τό μοι θέμεν Κρονίδᾳ
Τε Διῒ καὶ Νεμέᾳ
Τιμασάρχῃ τε πάλᾳ

Ὕμνε

κότα γυῖα καὶ πεπονημένα, ὅσον ἡ εὐλογία ἀφίησιν. ὁ δὲ νοῦς ὅλος· οὐκ ἂν δὲ τοσοῦτον ἀπὸ θερμοῦ ὕδατος ἢ βαλανείᾳ χαλασθείη καὶ μαλαχθείη σῶμα κεκμηκὸς, ὅσον ὑπὸ τῶν ἐπαίνων· ἧς μάλιστα τῆς εὐφημίας, τῆς διὰ τῆς κιθάρας, ἡδονὴ συνάορος, οἷον συμφερομένη, κοινωνοῦσα.

10. Ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει] παντὸς ἔργου χρονιώτερόν ἐστι τὸ ῥῆμα, τυτέστιν ὁ ὕμνος. οἷον, πάντα τὰ λεγόμενα ἢ γραφόμενα χρονιώτερά ἐστι τῶν ἔργων. τὰ μὲν γὰρ ἔργα τῷ γεγονέναι παρήκει, τὰ δὲ γραφόμενα αἰῶνια παραδίδοται. ποῖα δέ; ἃ ἂν μετὰ τῆς ἐκ Χαρίτων τύχης τεχθῇ ἐκ τῆς γλώττης ἑκάστου, ὡς, ἐάν γε χωρὶς Χαρίτων γραφήται ὁ λόγος, ἀπόλωλε καὶ ἔσβεσται· ἐὰν δὲ μετὰ Χαρίτων, μένει πρὸς αἰῶνα εὔδια. καὶ Καλλίμαχος (Fragm. 121. p. 488.)·

Ἔλλετε νῦν, ἐλέγοισι δ' ἐνιψήσασθε λιτῶσας
Χεῖρας, ἵνα πολὺ μένησιν ἔτος.

ὁ δὲ νοῦς· ὁ γὰρ διὰ τῶν λόγων ἔπαινος αὐτῶν τῶν καλῶς πεπραγμένων μακρότερον διασώζεται καὶ μνημονεύεται, ὅσπερ ἂν μάλιστα λόγος καὶ ἔπαινος τετυχηκὼς Χαρίτων λέγηται ἐκ διανοίας συνετῆς.

14. Τό μοι θέμεν Κρονίδᾳ τε Διῒ καὶ Νεμέᾳ] ἐμοὶ εἴη ποιήσαι· τὸ γὰρ εἴη οὕτως ἀναβιβαστέον· εἴη μετὰ τῶν Χαρίτων γράφειν. τὸ δὲ προηγούμενον τοῦ κώμου προκώμιον εἶπεν, ἐπειδὴ κωμάζουσιν ᾄδοντες τὸ ποίημα. προκώμιον οὖν, τὸ πρὸ τοῦ κώμου γραφόμενον. δύναται καὶ οὕτω, φησὶν ὁ Δίδυμος· παντὸς τοῦ ποιουμένου εἰς αὐτὸν ὕμνου τοῦτο τὸ ῥῆμα προκώμιον εἴη, οἷον προοίμιόν τι τοιοῦτον γένοιτο τῶν εἰς αὐτὸν γραφησομέ-

Ὕμνε προκώμιον εἴη.
Δέξαιτο δ' Αἰακιδᾶν
Ὑπέρτερον ἔδος, δίκᾳ
Ξεναρκεῖ κοινὸν
Φέγγος. εἰ δ' ἔτι ζαμενεῖ
Τιμόκριτος ἁλίῳ

Σὸς

σομένων ὕμνων ὑπ' ἐμοῦ, νικῆσαι καὶ ἄλλης ἀγῶνας· ἵνα τῶν ἑξῆς ἑπομένων ἐπινικίων ὁ νῦν γραφόμενος λέγηται πρὸ παντὸς κώμου γεγονώς. δύναται δὲ καὶ ὕστω· τῶν γραφησομένων αὐτῷ ὕμνων ὑπ' ἄλλων ὁ ἐμὸς ἂν εἴη προκώμιον. ὁ δὲ νῦς· ὅνπερ δὴ λόγον καὶ ἔπαινον γένοιτο νῦν ἐμοὶ θεῖναι καὶ πλησθῆναι προκώμιον τῷ τε Διὶ, καὶ αὐτῇ τῇ Νεμέᾳ, καὶ τῇ Τιμασάρχῳ πάλῃ. Ἄλλως. ὕμνε προκώμιον εἶπε διὰ τὸ ὑπὸ χορευόντων μὲν λέγεσθαι τὸν ὕμνον νεωτέρων τινῶν, πρὸ δὲ τῆς τούτων χορείας καὶ κωμασίας γραφῆναι ὑπὸ τοῦ ποιητοῦ αὐτόν. ὁ δὲ λόγος· γένοιτό μοι ἐπιτυχεῖν πρὸ τοῦ κωμάζειν τὰς ἐπαίνους γράφοντι.

18. Δέξαιτο δ' Αἰακιδᾶν εὔπυργον (sic) ἔδος] ῥῆμα ὃ προείρηκε, ῥῆμα δ' ἐργμάτων χρονιώτερον. τὸ ῥῆμα τοῦτο τὸ εὔπυργον τοῦ Αἰακοῦ ἔδος δέξαιτο ὡς ἐστι δίκαιον, κοινὸν δὲ φέγγος ἔστι μὲν καὶ τὴν Αἴγιναν ἀκοῦσαι. ἔστι δὲ καὶ τὸ ποίημα τὸ κοινὸν φέγγος γινόμενον. ἡ γὰρ ἓξ ἐν ἀφανεῖ τὰ ἔργα, ἀλλὰ φωτίζει κοινῶς. Ξεναρκεῖ δὲ (20), ὡς ποδαρκεῖ. κοινὸν φέγγος τῆς ξεναρκοῦς δίκης ἡ τῶν Αἰακιδῶν πόλις παραδέξαιτο, ὡς ἐστι δίκαιον τὰς ξένους παραδέχεσθαι καὶ ἀποδέχεσθαι. ἢ ὕτω· τῆς τοὺς ξένους ἀρκούσης δικαιοσύνης κοινὸς ὢν ὀφθαλμὸς, ὦ Αἴγινα, ἤτοι περιφρατικῶς ἡ δικαιοτάτη· δέξαιτο δὲ τοῦτο προκώμιον καὶ τοῦτον τὸν ἔπαινον πόλις καλλίστη Αἴγινα, ἤτις διὰ τὴν προσοῦσαν πρὸς πάντας τοὺς ξένους δικαιοσύνην καὶ φιλοξενίαν κοινὸς ὀφθαλμὸς τῶν πάντων τυγχάνει.

21. Εἰ δ' ἔτι ζαμενεῖ Τιμόκριτος] τῷ ἄγαν ξηραντικῷ. τὸ γὰρ ζᾶ ἐπιτατικόν ἐστι μόριον ἀεὶ τῷ ἰσχυροτάτῳ ἔν φησι. περιφραστικῶς δὲ τοῦτό φησιν· εἰ ἔζη σοὶ ὁ πατὴρ Τιμόκριτος, ὦ Τιμάσαρχε, ἤτοι ὁ ἐν κιθάρᾳ ποικίλος, ἢ ὁ μουσικώτατος ἀπὸ μέρους· ἦσκην γὰρ οἱ ἀρχαῖοι μουσικήν. ὁ δὲ νῦς ὅλος ἕως, Ἡρακλέος ὀλβίαν πρὸς αὐλὰν, ὕτως· εἰ δὲ μέχρι τοῦ παρόντος ὁ σὸς πατὴρ Τιμόκριτος ἐν ζῶσιν ἀνεστρέφετο, τῇ ἑαυτοῦ μουσικῇ σεμνυνόμενος, συνεχῶς ἂν τούτῳ μέλει καὶ ταύτῃ τῇ ᾠδῇ προσκλίνας ἑαυτὸν καὶ προσαγαγών, ἀνευφήμησε καὶ ἀνεβάλετο τὴν γεγενημένην νίκην τὴν ἀπὸ τοῦ Κλεωναίου ἀγῶνος, τοῦ πέμψαντος πλῆθος καὶ δρεπάδων στεφάνων, καὶ τὴν ἀπὸ τῶν πλησίον Ἀθηνῶν καὶ ἐνδόξων νίκην,

Σὸς πατὴρ ἐθάλπετο, ποι-
κίλον κιθαρίζων,
Θαμά κε τῶδε μέλει κλιθεὶς
Ὕμνον κελάδησε καλλίνικον

Σ. γ'. Κ. ιγ'.

Κλεωναίᾳ τ' ἀπ' ἀγῶ-
νος ὄρμον στεφάνων
Πέμψαντα, καὶ λιπαρᾶν
Εὐωνύμων ἀπ' Ἀθανᾶν,
Θήβαις τ' ἐν ἑπταπύλοις·
Οὕνεκ' Ἀμφιτρύωνος ἀ-
γλαὸν παρὰ τύμβον
Καδμεῖοί νιν ἐκ ἀέκον-
τες ἄνθεσι μίγνυον,

Αἰγί-

νίκην, καὶ τὴν ἐν ταῖς Θήβαις τῶν Ἰολαείων καλουμένην. διότι δὴ παρὰ τὸν τῦ Ἀμφιτρύωνος τάφον οἱ Θηβαῖοι σὺν πολλῇ προθυμίᾳ καὶ βουλήσει τοῖς τῶν στεφάνων ἄνθεσιν ἐκόσμων εἰς χάριν καὶ τιμὴν τῆς Αἰγίνης. Αἴγινα γὰρ καὶ Θήβη ἀδελφαὶ, ἐξ ὧν αἱ πόλεις ὠνομάσθησαν. προσφιλὴς γὰρ ὢν ἄτε Αἰγινήτης, καὶ πρὸς φίλους ἥκων τοὺς Θηβαίους, ἄτε δὴ καὶ τὸ εὔξενον ἄσυ καταλαβὼν τὰς Θήβας, ἠδυνήθη κατ' εὐχὴν θεάσασθαι τὴν τῦ Ἡρακλέους αὐλὴν, πάλιν τὰς Θήβας.

30. Εὐωνύμων ἀπ' Ἀθηνᾶν] εὐδόξων, ἀνομαστῶν. ἄδηλον δὲ, ποῖον ἀγῶνα ἐνίκησε. πολλοὶ γὰρ τελοῦνται, Παναθήναια καὶ ἄλλοι. εἶτα ἐπάγει· Θήβαις τ' ἐν ἑπτα-

πύλοις, ὡς καὶ ἐν Θήβαις αὐτοῦ νικήσαντος. ἦν δὲ καταλληλότερον εἰπεῖν, Θηβῶν, ἵν' ᾖ· καὶ ἀπὸ Θηβῶν ἔπεμψας αὐτῷ στέφανον. διατί; ὅτι παρὰ τὸν τῦ Ἀμφιτρύωνος τύμβον οἱ Θηβαῖοι ἀκοντές σε τοῖς ἄνθεσιν ἐμίγνυον, τετέχνη, ἐστεφάνων, χαίροντες διὰ τὸ συγγενεῖς εἶναι Θηβαίους Αἰγινητῶν. Θήβη γὰρ καὶ Αἴγινα Ἀσωπίδες, καί φασι, Θηβαίοις πολεμοῦσιν Ἀθηναίοις ἐκπεσεῖν λόγιον, τὺς συγγενεῖς ἐλέσθαι συμμάχους, δι' ἃ τὺς Αἰγινήτας ἐλέσθαι. τῦτο γὰρ ἐδήλη τὸ ῥῆμα.

32. Οὕνεκ' Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον Καδμεῖοι] ἀντὶ πατρωνυμικῦ, τῦ Ἀμφιτρυωνίδη. ἡ γὰρ Ἀμφιτρύωνι ἄγεται ὁ ἀγών. ὡς δὲ Ὅμηρος λέγει

(Il.

Αἰγίνας ἕκατι. Φίλοι-
σι γὰρ φίλος ἐλθὼν
Ξένιον ἄξυ κατέδραμεν
Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν.

Σ. δ. Κ. ιγ'.

Ξὺν ᾧ ποτε Τρωΐαν

Καρτε-

(Il. VIII, 480) Ὑπερίονος ἠελίοιο, ἀντὶ τῦ Ὑπεριονίδυ· καὶ Εὐριπίδης (Alcmaeon. Fragm. XVII. Musgr.)

Ὅ σοι χρυσῶν ἀπώλεσ', Οἰδίπους δέ με
Χρυσῶν ἐνεγκὼν ὅρμον εἰς Ἄργος πόλιν.

ἡ γὰρ ὁ Οἰδίπους ἤνεγκε χρυσῶν ὅρμον εἰς Ἄργος, ἀλλ' ὁ Πολυνείκης καὶ ἔδωκεν Ἐριφύλῃ. ἔστιν ὖν, Οἰδιποντίδης δέ με, ὁ Πολυνείκης. ἔστι καὶ τῦτο· ὕνεκεν Ἀμφιτρυωνίδυ. Ἰόλαον γὰρ εἶπεν· ὗτος γὰρ Ἰφικλέης, ὁ δὲ Ἀμφιτρύωνος· διὸ αὐτὸ τὸ τάδιον καὶ γυμνάσιον εἶναι Ἰολάειον, καθὼς ὁ περὶ ἀγώνων ἀναγράφεται· ἀψάμενοι ὠκ Ἰολάειά, φησιν, ἄγεσθαι, ἀλλ' Ἡράκλεια. τὸν ἀγῶνα οὖν τῶν Ἡρακλείων φησὶν ἐν τῷ τοῦ Ἰολάυ γυμνασίῳ διακεῖσθαι, περὶ τὸ τοῦ Ἀμφιτρύωνος μνῆμα, ἔνθα φησὶ καὶ τὸν Ἰόλαον κεκενοταφῆσθαι· τὸ γὰρ κατ' ἀλήθειαν αὐτοῦ μνῆμα ἐν Σαρδοῖ εἶναι.

36. Αἰγίνας ἕκατι] τῆς ἡρωΐδος Αἰγίνης γυναικὸς ἕνεκεν, διὰ τὸ συγγενές. Θήβη γὰρ καὶ Αἴγινα ἀδελφαὶ, θυγατέρες Ἀσωποῦ, τοῦ ποταμοῦ, ἀφ' ὧν καὶ αἱ προσηγορίαι τῶν πόλεων. πρὸς φίλης οὖν, φησι, φίλος ἦλθε, πρὸς Θηβαίης Αἰγινήτης ὤν. Ξένιον δὲ ἄξυ, ἤτοι τὸ εὔξεινον, ὡς (Hom. Od. II, 344.)· κληΐσαι δ' ἔπεσαν σανίδες, ἀντὶ τοῦ αἱ εὔκλεισοι, καὶ τειχήεσσα, ἀντὶ τοῦ εὐτειχής. ἢ ξένιον ἄξυ ταῖς Θήβαις, ἡ Αἴγινα, διότι Πυλεὺς καὶ Τελαμὼν, Αἰγινῆται ὄντες, ὅτε ἔμελλε στρατεύειν εἰς Ἴλιον Ἡρακλῆς, ἐπεξενώθησαν αὐτῷ· διὸ ἐποίσει, ξὺν ᾧ ποτε Τρωΐαν.

40. Ξὺν ᾧ ποτε Τρωΐαν] σὺν ᾧ ποτε Ἡρακλεῖ ἐν τοῖς ἀνωτέρω χρόνοις ὁ γενναῖος Τελαμὼν ἐπόρθησε τὴν Τροίαν· ἐπόρθησε δὲ σὺν αὐτῷ καὶ τοὺς νῦν μὲν Κῶας λεγομένυς νησιώτας, τότε δὲ κεκλημένυς Μέροπας ἀπὸ Μέροπος· ἔτι γε μὴν ἐπόρθησε καὶ τὸν μέγιστον καὶ ἐκπληκτικώτατον τῶν γιγάντων Ἀλκυονέα. ὅτι δὲ Ἡρακλῆς ἐπόρθησε τὴν Κῶ ἀπὸ τῆς Ἀσίας κατιών, καὶ Ὅμηρος μαρτυρεῖ (Il. XIV, 255. XV, 28)·

Καὶ μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας.

ἔλαβε δὲ καὶ Χαλκιόπην ἐξαίρετον τὴν Εὐρυπύλυ τοῦ βασιλέως θυγατέρα, ἀφ' ἧς ἔσχεν υἱὸν Θεσσαλὸν,

Καρτερὸς Τελαμὼν
Πόρθησε, καὶ Μέροπας
Καὶ τὸν μέγαν πολεμιστὰν
Ἔκπαγλον Ἀλκυονῆ,
Οὐ, τετραορίας γε πρὶν
Δυώδεκα πέτρῳ
Ἡρωάς τ' ἐπεμβεβαῶτας ἱπποδάμους ἔλεν
Δὶς τόσους. — ἀπειρομάχας
Ἐών κε Φανείη,
Λόγον ὁ μὴ ξυνιείς. ἐπεὶ
Ῥέζοντά τι καὶ παθεῖν ἔοικεν. —

Σ. ε'.

σαλὸν, ὃ παῖδες Φείδιππος καὶ Ἄντιφος, ἐν Ἰλίῳ στρατεύσαντες. λέγεται δὲ πεπορθηκέναι, διὰ τὰς Χαλκιόπης ἔρωτας τῆς θυγατρὸς Εὐρυτύλα τοῦ βασιλέως, τὴν Κῶ.

43. Καὶ τὸν μέγαν πολεμιστὴν Ἔκπαγλον Ἀλκυονῆ] Οὗτος ὁ Ἀλκυονεὺς, εἷς τῶν γιγάντων, λέγεται περὶ τὸν Ἰσθμὸν τῆς Κορίνθου συμβεβηκέναι τῷ Ἡρακλεῖ, ὅτε τὰς βοῦς Ἡρακλῆς ἐξ Ἐρυθείας παρήλαυνε, καὶ τῆς μάχης αὕτη αἰτία ἐγένετο τῷ βουλῇ τοῦ Διός· πολέμιος γὰρ ἦν τοῖς γίγασιν. ὃ πρότερον ὢν, φασὶν, ἀνεῖλε τὸν Ἀλκυονέα Ἡρακλῆς, πρὶν τὰ ἄρματα αὐτοῦ ὑπὸ τῶ Ἀλκυονέος βληθῆναι. μετὰ γὰρ τὸ συντρίψαι αὐτοῦ δώδεκα ἅρματα, καὶ εἰκοσιτέσσαρας ἄνδρας λίθῳ μεγίστῳ, τὸ τελευταῖον κατ' αὐτοῦ τὸν λίθον ἔβαλεν, ὃν τῷ βραχάλῳ ἀποσεισάμενος οὕτως ἀπέκτεινε τὸν Ἀλκυονέα. καί φασι, κεῖσθαι τὸν λίθον ἐν τῷ Ἰσθμῷ. λέγεται δὲ τότε συμπαρεῖναι τῷ Ἡρακλεῖ καὶ τὸν Τελαμῶνα.

51. Λόγον ὁ μὴ ξυνιείς] ἐπεὶ ῥητῶς οὐκ ἐξήγγειλεν ὁ Πίνδαρος, ὅτι ἐνικᾶτο ὁ Ἡρακλῆς, ἀλλ' ἀμφιβόλως αὐτὸ παρεδήλωσεν, ὁ μὴ συνιεὶς τοῦτο, ὃ λέγω, φησὶν, ὅτι ὁ Ἡρακλῆς ἐλείφθη, ἄπειρος μάχης ἂν εἴη οὗτος. Ἄλλως. τὸν λόγον τοῦτον ὁ μὴ διαλογιζόμενος καὶ νοῶν, ὀφθεὶη ἂν ἄπειρος μάχης, ὡς μὴ συνιεὶς τὴν τύχην καὶ τὸν ἐξ αὐτῆς λόγον, ἐπεὶ ῥέζοντά τι καὶ παθεῖν ἔοικε· φησὶ παρὰ τὸ Ὁμηρικὸν (Il. XVIII, 309)· Ξυνὸς Ἐνυάλιος. ἔπαθε γάρ τι καὶ ὁ Ἡρακλῆς ἀποβαλὼν τοὺς ἑταίρους. παρὰ τοῦτο ὁ Τραγικός·

Τὸν ῥᾳδίως πως τι καὶ παθεῖν ὀφείλετον.

εἴη δ' ἂν ἀπὸ ταύτης τῆς ὁμοιώσεως τῆς περὶ τὸν Ἡρακλέα ἐλάττωμά τι γεγονὸς περὶ τὸν ἀθλητὴν ἐν ἀρχῇ. οὕτω γὰρ τὸν ὅμοιον

Σ. έ. Κ. ιγ'.

Τὰ μακρὰ δ' ἐξενέπειν
Ἐρύκει με τεθμὸς
Ὥραί τ' ἐπειγόμεναι·
Ἴϋγγι δ' ἔλκομαι ἦτορ
Νεμεηνία θυγάτηρ.
Ἔμπα καί περ ἔχει βαθεῖα πόντιας ἄλμα

Μέσσον

λόγον ἕξει ἡ παραβολή. ὡς γὰρ ὁ Ἡρακλῆς ἐπὶ μὲν τῆς ἀρχῆς ἐλείπετο, ὕστερον δὲ ἐνίκησεν, οὕτω καὶ ὁ ἀθλητής, ὥστε εἰκὸς εἶναι αὐτὸν πεπτωκέναι, ἢ ἄλλο τι τοιοῦτον ὑπομεῖναι.

53. Τὰ μακρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμός] Ἀρίσταρχος· εἰς νεμεηνίαν ἐπῆσαν ὑποκείμενόν ἐστιν αὐτῷ ἀποδοῦναι τὸν ἐπίνικον. πάντα γάρ, φησι, τὰ περὶ τὸν Ἡρακλέα καὶ Ἀλκυονέα μακρῶς διελθεῖν κωλύομαι. ποίας δὲ τεθμός; ὁ νόμος τῆ ἐγκωμίῳ. ὁ νόμος ἔν τῆ ἐγκωμίῳ, φησὶ, κωλύει με μακραῖς παρεκβάσεσι χρῆσθαι. ὁ δὲ Ἀμμώνιος ὁμολογηκέναι φησὶ τὸν Πίνδαρον ἐν χρόνῳ τινὶ ἀποδώσειν τὸν ἐπίνικιον· ὁ νόμος ἦν τοῦτος, ὃν διεῤῥησάμεθα ἐγώ τε καὶ οἱ τῆ ἀθλητῆ περὶ τῆς ἡμέρας, ἐν ᾗ ἀποδώσω, κωλύει με μακρὰ γράφειν· ἐγὼ γὰρ φθάσω· διὸ ἐποίσει

55. Ὥραί τ' ἐπειγόμεναι] τουτέστιν, ἐπείγουσί με αἱ ὧραι. ὁ δὲ νεῦς ἦτορ· τὰ πολλὰ δὲ καὶ μακρῶν δεόμενα λόγων διηγεῖσθαι κωλύομαι ὑπό τε τῆ καιρῆ κατεπείγοντος καὶ ὑπὸ τῆ εἰωθότος θεσμοῦ. νενόμισται γὰρ τὰ τοιαῦτα διὰ συντόμου λέγεσθαι.

56. Ἴϋγγι δ' ἔλκομαι ἦτορ] ἴυγξ εἶδος ὀρνέου ἐρωτικοῦ. πόθεν δὲ ἡ ἴυγξ; ἦν οἱ μέν φασιν Ἠχοῦς, οἱ δὲ Πειθοῦς γεγενῆσθαι θυγατέρα, ἥτις, φαρμάσσουσα τὸν Δία εἰς τὸν τῆς Ἰοῦς πόθον, κατὰ κόλον Ἥρας εἰς ὄρνεον μετεβλήθη, ᾧ κέχρηνται αἱ τὰ ἐρωτικὰ σκευάζουσαι γυναῖκες. ἐκ τούτου δὲ τὸ ὄρνεον ἴυγξ καλεῖται. ἴϋγγι ἦν, τῆ ἐπιθυμίᾳ φησιν. Ἄλλως. ὡς ἀπὸ Φαρμάκης, φησὶ, καὶ ἴυγγος ἕλκομαι τὴν ψυχὴν τῆ ἐπιθυμίᾳ, ἣ ὑπεσχόμην ἐπιδείξασθαι τὸν ἐπινίκιον συντελέσας. διὸ τὰ περὶ τὸν Ἡρακλέα λέγειν κωλύομαι, σπεύδων τελειῶσαι τὸν ὕμνον, εἰς ὃν ὡμολόγησα χρόνον.

58. Ἔμπα καίπερ ἔχει] τῆς ἀναφορᾶς γενομένης περὶ τὸν Ἡρακλέα, καὶ εἰ τὸ μέσον ἔχω τῆς ἱστορίας, καὶ μεσοπορῶ κατὰ τὴν διήγησιν, ὅμως ἀνθέξομαι, καὶ μέχρι τοῦ λοιποῦ ἐπίσης ἐκκόψω διὰ τὴν νεμεηνίαν. ὁ νῆς δέ· ὅμως ἦν, εἰ καὶ πολὺ τὸ μέσον ἔχει διάστημα ἡ τῆς Αἰγίνης θάλασσα πρὸς τὰς Θήβας, ἐπείγω καὶ ἀντί-

Μέσσον, ἀντίτειν' ἐπιβυ-
λίᾳ· σφόδρα δόξομεν
Δαΐων ὑπέρτεροι ἐν
Φάει καταβαίνειν·
Φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων,
Γνώμαν κενεὰν σκότῳ κυλίνδει

Σ. ϛ'. Κ. ιγ'.

Χαμαιπετεῖσαν. ἐμοὶ
Δ' ὁποίαν ἀρετὰν
Ἔδωκε Πότμος ἄναξ,

ἀντίτεινε ταῖς τῶν ἐχθρῶν ἐπιβυλαῖς.

60. Ἀντίτειν' ἐπιβυλίᾳ] Ἰτέον, ὅτι ὁ λόγος πρὸς ἑαυτὸν φιλονεικεῖ. πρὸς ἑαυτὸν γὰρ τοῦτο λέγει ὁ Πίνδαρος· ἀντίτεινε τοῖς ἐπιβυλεύσιν, οἷον, μὴ εἶκε τοῖς ἀντιτέχνοις, μὴ δίδυ λαβὰς ὅτι παρεκβέβηκας· τῇ ἐπιβυλίᾳ αὐτῶν ἀντίτεινε, ἐναντιῦ τῷ φθόνῳ, ὅ ἐστιν, ἀπόδος τὸν ἐπινίκιον τῇ ὡρισμένῃ ἡμέρᾳ. σφόδρα γὰρ τῶν πολεμούντων ἡμᾶς ἀντιδιδασκάλων καὶ ἀντιτέχνων φανησόμεθα καταβαίνοντες, καὶ διοδεύοντες λαμπρῶς, ἐὰν μὴ παρεκβαίνωμεν. δοκεῖ δὲ ταῦτα τείνειν εἰς Σιμωνίδην, ἐπεὶ ἐκεῖνος παρεκβάσεσι χρῆσθαι εἴωθεν. καὶ ὑστέρτεροι ἂν ἐκείνων φανησόμεθα· ἐὰν μὴ παρεκβάσεσιν ἐπιμένωμεν, σφόδρα δόξομεν τῶν ἀντιπολεμούντων ὑπερέχοντες καταβαίνειν.

64. Φθονερὰ δ' ἄλλος ἀνὴρ] Ἄλλος ἀνὴρ ὁ βάσκανος, ἄλλος ἐχθρὸς τὴν ἑαυτῦ προαίρεσιν τὴν κενὴν καὶ ματαίαν ἀφανῆ ἕξει. ὁ δὲ νῦς· ὅτος γὰρ ἂν ὁ τὸν φθόνον ἐν ὀφθαλμοῖς ἔχων ἐχθρὸς, τὴν ἑαυτῦ προαίρεσιν καὶ τὴν ἐπ' ἐμοὶ προσδοκίαν κενὴν καὶ ματαίαν ἔχων καὶ τὸν σκοπὸν χαμοὶ καὶ ἀσκόπως ἐνεχθέντα, ἐν τῷ τῆς ἀδοξίας καὶ λύπης σκότῳ σκοτασθήσεται ὁ βάσκανος. Ἄλλως. εἴ τις φθονεῖ ἡμῖν, φησὶ, τὴν ἑαυτῦ γνώμην ἐν σκότει κυλίσει, τυτέξιν, ὑδὲν ἀνύσει φθονῶν ἐμοὶ, ἀλλ' ἐναποκρυβήσεται τῷ σκότῳ καὶ ζόφῳ, κυλισθήσεται αὐτὸς ἐν σκοτίᾳ, φθονῶν.

66. Ἐμοὶ δ' ὁποίαν ἀρετὰν ἔδωκε πότμος ἄναξ] ἐμοὶ δέ, φησιν, ἣν ἔδωκε τάξιν ὁ θεὸς καὶ ἡ εἱμαρμένη, ταύτην πεπίστευκα, ὅτι καὶ ὁ μακρὸς διαθέων χρόνος πληρώσει εὔμοιρον καὶ καλήν. ἢ ὕτως· ἣν δὲ ἔχω παρὰ θεῦ δύναμιν ποιητικὴν, εὖ οἶδ' ὅτι κατὰ τὴν πεπρωμένην ὁ χρόνος ἐκτελέσει καὶ ἐκλάμψει.

71. Ἐξύ-

Εὖ οἶδ', ὅτι χρόνος ἕρπων
Πεπρωμέναν τελέσει. —
Ἐξύφαινε γλυκεῖα καὶ
Τόδ' αὐτίκα φόρμιγξ
Λυδίᾳ σὺν ἁρμονίᾳ
Μέλος πεφιλαμένον
Οἰνώνᾳ τε καὶ Κύπρῳ, ἔν-
θα Τεῦκρος ἀπάρχει
Ὁ Τελαμωνιάδας· ἀτὰρ
Αἴας Σαλαμῖν' ἔχει πατρῴαν.

Σ. ζ'. Κ. ιγ'.
Ἐν Εὐξένῳ πελάγει
Φαεννὰν Ἀχιλεὺς

Νᾶσον.

71. Ἐξύφαινε γλυκεῖα καὶ τόδ' αὐτίκα φόρμιγξ] ἐργάζου δὴ ἓν καὶ πλήρες τοῦτο τὸ ποικίλον μέλος, ὦ γλυκυτάτη φόρμιγξ, σὺν τῇ Λυδίων ἁρμονίᾳ, ὅπερ ἐστὶ προσφιλέστατον τῇ τε Αἰγίνῃ καὶ τῇ Κύπρῳ. Οἰνώνη δὲ τὸ πρότερον ἐκαλεῖτο ἡ Αἴγινα, ἀπὸ Οἰνώνης τινός.

76. Ἔνθα Τεῦκρος ἀπάρχει] ἔνθα δὴ, καὶ ἐν ᾗ Κύπρῳ, ὁ τῦ Τελαμῶνος παῖς ἡγεμονεύει, ὅ γε μὴν Αἴας κατέχει τὴν πατρῴαν Σαλαμῖνα λόγῳ· ἐπεὶ πατρὶς αὐτῦ ἡ Σαλαμίς· ἐπεὶ ἐν Ἰλίῳ τελευτᾷ. ὁ γὰρ Τεῦκρος ἐλθὼν μετὰ τὴν ἅλωσιν Ἰλίου ἐν Σαλαμῖνι, καὶ ὑπονοηθεὶς ὑπὸ τῦ Τελαμῶνος, ὡς αἴτιος γεγονὼς τῦ φόνῳ τῷ Αἴαντι, φυγὼν ὤκησε τὴν Κύπρον, καὶ ἔσχεν αὐτῆς τὴν ἀρχήν.

79. Ἐν δ' Εὐξείνῳ (sic) πελάγει] κἂν τὸ γένος τῶν Αἰγινητῶν ὑμνεῖ, ὅτι πολλῶν τόπων ὑπῆρξεν. ἔστι δέ τις ἐπὶ τῇ Εὐξείνῳ πόντῳ καλουμένη Λευκὴ νῆσος, εἰς ἣν δοκεῖ τὸ Ἀχιλλέως σῶμα ὑπὸ Θέτιδος μετακεκομίσθαι· καὶ δρόμους τινὰς δεικνύασι διὰ τὰ τῦ ἥρωος γυμνάσια. ὅθεν καὶ ὁ Πίνδαρος φαεννὰν νῆσον, τὴν Λευκὴν μεταληπτικῶς εἶπε. φαεινὸν γὰρ τὸ λευκόν ἐστι. Λευκὴ δὲ καλεῖται διὰ τὸ πλῆθος τῶν ἐννεοσσευόντων ὀρνέων, ἤτοι ἐρωδιῶν. φαντασίαν γὰρ τοιαύτην τοῖς πλέουσι παρέχει. Ἄλλως. τὴν λεγομένην Λευκὴν ἀκτὴν ἐν τῷ Εὐξείνῳ πόντῳ, ἐν ᾗ πλεῖστοι ἐρωδιοὶ φαινόμενοι ἐκεῖθεν τοῖς πλέουσι μηνύουσιν αὐτήν. αὕτη καλεῖται καὶ Ἀχιλλέως δρόμος, ἐπειδὴ μνησευομένῳ τῷ Ἀχιλλεῖ τὴν Ἰφιγένειαν, ἀχθεῖσάν τε διὰ τὴν αὐτῦ πρόφασιν εἰς Αὐλίδα, γενομένης ἁπλοίας τοῖς Ἕλλησιν εἰς

Νᾶσον· Θέτις δὲ κρατεῖ
Φθίᾳ· Νεοπτόλεμος δ' Ἀ-
πείρῳ διαπρυσίᾳ,
Βυβότῃ τόθι πρῶνες ἔξ-
85 οχοι κατάκεινται

V 3 Δωδώ-

εἰς Ἴλιον, ἠθέλησαν σφαγιάσαι ὑπὲρ εὐπλοίας, καὶ τῆς Ἀρτέμιδος αὐτὴν ἁρπασάσης καὶ ἐπὶ Ταύρους τῆς Σκυθίας τόπον ἀναγούσης ἐπεδίωκεν ἐρῶν ὁ Ἀχιλλεύς, καὶ συνηκολούθησε μέχρι ταύτης τῆς νήσου, τῆς λεγομένης Λευκῆς.

81. Θέτις δὲ κρατεῖ Φθίᾳ] ἀντὶ τοῦ, ἐν Φθίᾳ. Φύλαρχός φησι, Θέτιν πρὸς Ἥφαιστον ἐλθεῖν εἰς τὸν Ὄλυμπον, ὅπως Ἀχιλλεῖ ὅπλα κατασκευάσῃ· τὸν δὲ ποιῆσαι. ἐρωτικῶς δὲ ἔχοντα τὸν Ἥφαιστον πρὸς τὴν Θέτιν, ὃ φησιν ἂν δώσειν αὐτῇ, εἰ μὴ αὐτῷ προσομιλήσαι· τὴν δὲ αὐτῷ ὑποσχέσθαι. θέλει μέντοι ὁπλίζεσθαι, ὅπως ἴδῃ, εἰ ἁρμόζει, ἃ πεποιήκει, ὅπλα τῷ Ἀχιλλεῖ. ἦσαν γὰρ αὐτὴν ἐκείνῳ ἔλεγε. τὰ δὲ παραχωρήσαντος ὁπλισαμένην τὴν Θέτιν φυγεῖν· τὸν δὲ δυνάμενον καταλαβεῖν, σφύραν λαβεῖν καὶ πατάξαι εἰς τὸ σφυρὸν τὴν Θέτιν· τὴν δὲ κακῶς διατεθεῖσαν ἐλθεῖν εἰς Θετταλίαν καὶ ἰασθῆναι ἐν τῇ πόλει ταύτῃ, τῇ ἀπ' ἐκείνης Θετιδείῳ καλουμένῃ. ἔοικε δὲ ὁ Πίνδαρος μνημονεύειν τοῦ Θετιδείου, περὶ οὗ ἐν πρώτῳ Φερεκύδης οὕτω γράφει (Fragm. p. 83. Sturz.)· Ἔπειτα Πηλεὺς ᾤχετο εἰς Φθίαν καὶ Θέτιν ἐπὶ τῶν ἵππων τούτων ἄγων, οἰκεῖ ἐν Φαρσάλῳ, καὶ ἐν Θετιδείῳ, ὃ καλεῖται ἀπὸ τῆς Θέτιδος ἡ πόλις. ὁ δὲ νῦν ὕστως· ἡ δὲ Θέτις ἄρχει καὶ δεσποτεύει τῆς Φθίας, ἔνθα ἐστὶ καὶ τὸ Θετίδειον ἱερόν, ὡς καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ (v. 19).

82. Νεοπτόλεμος δ' Ἀπείρῳ διαπρυσίᾳ] ὅ γε μὴν Νεοπτόλεμος ὁ Ἀχιλλέως παῖς ἄρχει τῆς πολλῆς Ἠπείρου, ἐν ᾗ οἱ ἔξοχοι πρῶνες καὶ πρὸς τροφὴν βοῶν ἐξαίρετοι τυγχάνουσιν, ἐκ Δωδώνης τὴν ἀρχὴν ἔχοντες, καὶ περαιούμενοι πρὸς τῷ Ἰονίῳ πόρῳ. λέγεται δὲ, ὅτι μετὰ τὰ ἐν Ἰλίῳ ταύτης τῆς Ἠπείρου ἦρξεν ὁ Νεοπτόλεμος. Ἄλλως. τὰ ἄκρα τῶν ὀρῶν, βυβότου πρῶνες, οἱ καλλίστας βοῦς τρέφοντες τόποι. λέγοντα γὰρ ἐκ τοῦ γένους τῶν τοῦ Γηρυόνεως βοῶν αὐτόθι μεμενηκέναι, κλέψαντος παρ' Ἡρακλέος Λαρίνης τινός, ἀφ' ἧς καὶ λάρινοι καλοῦνται οἱ ἐκεῖ βόες, μνήμην τοῦ γένους καταστήσαντος τῇ προσηγορίᾳ φυλάττοντες. τὸ δὲ Διαπρυσίᾳ, ἀντὶ τοῦ διηνεκεῖ, φησὶν, οἷον ἀπ' ἀρχῆς μέχρι πέρατος, ἤ μέρους τῆς Ἠπείρου, ἀλλ' ὅλης. Ἀπείρῳ γὰρ ἀντὶ τοῦ Ἠπείρῳ φησί. Βυβότου δὲ οἱ βυκόλοι. βυτρόφος γὰρ ἡ Ἤπειρος.

88. Πα-

Δωδώναθεν ἀρχόμενοι
Πρὸς Ἰόνιον πόρον.
Παλίᾳ δὲ παρ ποδὶ λα-
τρείαν, Ἰαωλκὸν
Πολεμίᾳ χερὶ προστραπὼν,
Πηλεὺς παρέδωκεν Αἰμόνεσσιν,

Σ. ή. Κ. ιγ΄.

Δάμαρτος Ἱππολύτας
Ἀκάστᾳ δολίαις
Τέχναισι χρησάμενος.
Τᾷ Δαιδάλῳ δὲ μαχαίρᾳ

Φύτευεν

88. Παλίᾳ δὲ παρ ποδὶ λατρείαν Ἰαωλκὸν] τὴν δὲ κειμένην Ἰωλκὸν πρὸς τοῖς κάτω μέρεσι τῆς Θεσσαλίας ὁ Πηλεὺς πορθήσας διὰ τὴν Ἀκάστε ἐπιβολὴν δῄλην παρέδωκεν τοῖς Θετταλοῖς, τυτέστιν ὑπήκοον. ἔστι δὲ ἡ Ἰωλκὸς τῆς Μαγνησίας, ἥτις πρὸς τοῖς τέρμασιν τῶ Πηλίε ὄρες κεῖται. ἔστι δὲ ἡ αἰτία τῆς δολείας αὕτη. Ἱππολύτε θυγάτηρ γέγονε Κρηθηὶς Ἀκάστε γαμετή, ἥτις τῷ Πηλεῖ ἐρωτικῶς διατεθεῖσα καὶ μὴ πείσασα συνελθεῖν αὐτὸν, φθάσασα τῷ Ἀκάστῳ ὡς ἄσεμνον, ἢ βίαιον, διέβαλεν. ὁ δὲ κατακύσας καὶ προφασισάμενος ἤγαγεν ἐπὶ τὰ ἀτέρμια τῶ Πηλίε, καὶ καταλείψας θηρίοις ὑποπεσεῖν αὐτὸν, ὑπαναχωρεῖ. φασὶ δὲ, τὰς θεὰς τῆς σωφροσύνης οἰκτείραντας τὸν Πηλέα, Ἥφαιστον ἐξαποστεῖλαι τὸν δὲ μάχαιραν ἔχοντα τῷ Πηλεῖ δωρήσασθαι, ᾗ τὰ προσπίπτοντα τῶν θηρίων διαχρώμενος εἰς Θεσσαλίαν κατῆλθε. καὶ κατελθὼν κατεπολέμησεν Ἄκαστον καὶ τὴν Ἰωλκόν. ὁ δὲ νῦς· ἀλλὰ μὴν καὶ τὴν παρὰ τοῖς τέρμασι τῶ Πηλίε ὄρες κειμένην Ἰωλκὸν ὑπήκοον καὶ δῄλην ἔδωκε, νικήσας ἐν πολέμῳ, διὰ τροπαίε ὁ Πηλεὺς πρότερον ὄσαν Μαγνησίας, καὶ αὐτὴν ὑπέταξε Θεσσαλοῖς, εἰς πρόφασιν τιμωρίας, ταῖς τῶ Ἀκάστε γυναικὸς Κρηθηίδος ἐπιβολαῖς ἀποχρησάμενος. αὕτη γὰρ δολίως ἐπεβούλευσε τῷ Πηλεῖ.

95. Τᾷ Δαιδάλῳ δὲ μαχαίρᾳ] Δαιδάλε μάχαιραν τὸν δόλον εἶπε, τιμητικὸν γεγονότα εἰς ἀπώλειαν, παρόσον δολίᾳ τέχνῃ χρησάμενος ἐπεβούλευσεν. ὁ γὰρ Δαίδαλος ἐκ Κρήτης εἰς Σικελίαν ἀφικόμενος πρὸς Κώκαλον, βασιλεύοντα τῆς Καμίκης, πείθει τὰς θυγατέρας Κωκάλε διὰ τῆς ὀροφῆς ποιήσαι κατάῤῥυσιν, δι' ἧ ἐκχυθὲν θερμὸν

Φύτευεν οἱ θάνατον
Ἐκ λόχης Πελίαο παῖς.
Ἄλαλκε δὲ Χείρων,
Καὶ τὸ μόρσιμον Διόθεν
Πεπρωμένον ἔκφερεν.
Πῦρ δὲ παγκρατὲς θρασεσ-
μαχᾶν τε λεόντων
Ὄνυχας ὀξυτάτους ἀκμάν

V 4 Τε

Θερμὸν ὕδωρ ἐπενεχθήσεται τῷ Μίνῳ λουομένῳ· καὶ τοῦτον τὸν τρόπον ἀπώλλυεν ὁ Μίνως. τούτῳ οὖν τῷ τρόπῳ φησὶ κεχρῆσθαι τὸν Ἄκαστον. ἀφῆκε γὰρ αὐτὸν ἐπὶ τῆς ἐρημίας, ὡς ἀπολούμενον ὑπὸ τῶν Κενταύρων· διὸ μετῆλθεν αὐτόν. καὶ πιθανώτερόν ἐστι τὸν, δὲ, σύνδεσμον ἀντὶ τοῦ, γὰρ, παρειληφθαι· τῇ γὰρ Δαιδάλῳ μαχαίρᾳ ὁ Ἄκαστος αὐτῷ δόλον ἐφύτευσε. Δίδυμος δὲ φησι γράφειν δεῖ διὰ τοῦ ω μεγάλου· Δαιδάλῳ δὲ μαχαίρᾳ δόλον ἤρτυσε, παρελόμενος αὐτοῦ κρύφα, ἵνα χωρὶς ἀμυντηρίου ἄλλου ὑπὸ τῶν Κενταύρων φθαρῇ. ταῦτα δὲ ἱστοροῦσι πολλοὶ μὲν, ἀτὰρ δὴ καὶ Ἡσίοδος, λέγων ὅτως (Fragm. P. 444. Lipſ.)·

Ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
Αὐτὸν μὲν σχέσθαι, κρύψαι δ' ἀδόκητα μάχαιραν
Καλὴν, ἣν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις·
Ὡς τὴν μασεύων οἷος κατὰ Πήλιον αἰτὺ
Αἶψ' ὑπὸ Κενταύροισιν ἀρεσκώοισι δαμείη.

Δαιδάλῳ δὲ εἶπε τὴν μάχαιραν διὰ τὸ ὑπὸ Ἡφαίστου κατεσκευάσθαι. ἐπιεικῶς δὲ τὰ Ἡφαίστου ἔργα δαίδαλα φησι.

Ποίει δαίδαλα πολλ' εἰδυίησι παρα-
κίδεσσιν (Hom. Il. XVIII, 482).

ὁ δὲ νῦς· ὅσις, φησὶν, Ἄκαστος τὸν τοῦ Δαιδάλου τρόπον ἀναλαβὼν, καὶ τὴν ἐκείνου τῶν δόλων μάχαιραν, ἐμηχανᾶτο κατ' αὐτοῦ θάνατον, οὐχ ὅτι Δαιδάλῳ εἶχε ξίφος, ἀλλ' ὅτι τὸν δόλον ἐμάκει τῷ Δαιδάλῳ ὁ Ἄκαστος.

98. Ἄλαλκε δὲ Χείρων καὶ τὸ μόρσιμον] ἀμφίβολον, πότερον τὰ μόρσιμον ἔκφερε καὶ ἔξω ἔφερε τὸν κίνδυνον καὶ τὸν θάνατον αὐτῷ τὸν πεπρωμένον, ἢ οἷον ἐξέφερε καὶ ἐπεδείκνυε τὸ πεπρωμένον, τυτέστιν, ἐξέφερε καὶ ἔσωζε τῶν κινδύνων. ὁ δὲ νῦς· ἀλλὰ βοηθὸν ἔχων Χείρωνα τὸν ἐχθρὸν ἐτιμωρήσατο, καὶ ὅτως ὑπὸ τῆς πεπρωμένης διεσώθη, τὸν κίνδυνον διελθών.

101. Πῦρ δὲ παγκρατὲς] τὸ πάντων κρατοῦν καὶ δεσπόζον διὰ τὸ

Τε δεινοτάτων σχάσαις ὀδόντων,

Σ. Φ. Κ. ιγ'.

105 Ἔγαμεν ὑψιθρόνων
Μίαν Νηρειδῶν·
Εἶδεν δ' εὔκυκλον ἕδραν,
Τᾶς ἀρανᾶ βασιλῆες

Πόντε

κὰ φθαρτικὸν τῆς δυνάμεως. οἱ δὲ φυσικώτερον ἀκούσαι τὸν λόγον, τὴν τῶν θεῶν φύσιν εἰς πῦρ ἀνάγοντες. ὅτι δὲ, καθ' ὃν καιρὸν ἡ Θέτις γάμῳ συνήπτετο τῷ Πηλεῖ, εἴς τε πῦρ καὶ εἰς λέοντα καὶ εἰς διαφόρους ἰδέας μετέβαλλεν ἑαυτῆς τὴν φύσιν, μὴ βουλομένη γαμηθῆναι τῷ Πηλεῖ, καὶ Ὅμηρος μαρτυρεῖ (Il. XVIII, 432 f.)·

Ἐκ μέν μ' ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν
Αἰακίδῃ Πηλῆϊ καὶ ἔτλην ἀνέρος εὐνήν
Πολλὰ μάλ' ἄκ ἐθέλουσα.

Ἄλλως. Φαίνεται ἐκ τούτων ἡ Θέτις μὴ βουλομένη γαμηθῆναι Πηλεῖ· μετεβάλλετο δ' ὡς ὁ Ὁμηρικὸς Πρωτεύς. ὅτε μὲν τὸ πῦρ, εἰς ὃ μετέβαλλεν, ὅτε οἱ τῶν λεόντων ὄνυχες καὶ ὀδόντες ἤνυόν τι. σχάσας δ' καὶ ἐπισχὼν τὰς ὄνυχας καὶ τὰς ὀδόντας ἔγημε τὴν Θέτιν ὁ Πηλεύς. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων, οἵ, ὅταν λήγωσι τῆς ἐργασίας, σχάζουσι τὰς κώπας. ὁ δὲ νῆς· τὸ δὲ λεόντων (sic) κρατῶν πῦρ, ᾧ ἀπείκαζεν ἑαυτὴν ἡ Θέτις, καὶ τὴν ὠμότητα τῶν θηρίων φύσιν, καὶ τὴν ἀκμὴν ἐπισχὼν καὶ παύσας τῶν ὀδόντων, ὅτω λοιπὸν ἔγημεν αὐτὴν τὴν ἐνδοξοτάτην τῶν Νηρειδῶν, καὶ γέγονε τῶν οὐρανίων θεατὴς ἀκριβῶς· ἐπειδὴ λέγεται ἀπειληφθαι ἐν οὐρανῷ, ἀθανασίαν τιμηθείς.

107. Εἶδε (sic) δ' εὔκυκλον ἕδραν] οἱ μὲν φυσικώτερον τὸν οὐρανὸν ἀπέδοσαν, διὰ τὸ σφαιροειδές, ἀλλ' ἐναντιοῦται αὐτοῖς τὰ τῆς ἱστορίας. ὁ γὰρ τὸν οὐρανὸν ὁ Πηλεὺς ἐθεάσατο. ἀκουστέον οὖν τὸ παρὰ τὸ Πήλιον τῶν θεῶν κυκλοτερὲς συμπόσιον, ὅπερ συνετελέσθη τοῖς τῆ Πηλέως γάμοις. λείπει οὖν ἡ ἐπὶ, ἵν' ᾖ· ἐφ' ἧς ἕδρας καθίσαντες οἱ θεοὶ, οἵ τε Ὀλύμπιοι καὶ οὐράνιοι, δῶρα ἔδωκαν αὐτῷ. ἕδρας δὲ, ἢ τῆ οὐρανῆ, ἢ τῆ Ὀλύμπῳ. ὁ δὲ νῆς· ἐθεάσατο δὲ τὴν ἕδραν καὶ τὴν ἀσφάλειαν τῆ οὐρανῆ, καὶ τὰς θεὰς τὰς θαλαττίας καὶ τὰς οὐρανίας, οἵ τινες αὐτῷ καὶ τάτο ἐδωρήσαντο, φανερώσαντες τὸ ἑαυτῶν κράτος, καὶ τὸ γένος ἐν ὀφθαλμοῖς· ἢ ὅτι ὁ Ποσειδῶν ἵππους, Ἥφαιστος δὲ μάχαιραν ἔδωκε, καὶ ὅτω μέχρις ἐγγόνων αὐτῆ παρέπεμψε τὴν εὐκλειαν.

110. Δῶ-

Πόντῳ τ' ἐφεζόμενοι
Δῶρα καὶ κράτος ἐξέφα-
ναν ἐς γένος αὐτῷ. —
Γαδείρων τὸ πρὸς ζόφον ἐ
Περατόν. ἀπότρεπε
Λύτις Εὐρώπαν ποτὶ χέρ-
σον ἔντεα ναός. —
Ἄπορα γὰρ λόγον Αἰακῆ
Παίδων τὸν ἅπαντά μοι διελθεῖν.

V 5 Σ. 1.

110. Δῶρα καὶ κράτος ἐξέφαναν] ἀμφίβολον, πότερον διεσήμηναν τὸ κράτος τῷ Πηλέως αὐτῷ, ὧν κρατήσει τόπων, ἢ διεσήμηναν ἐν τῷ γάμῳ αὐτῷ, ὅτι ἔσομ ὕτως ἐγγενὲς, ὥστε καὶ ἐγγόνοις καταλιπεῖν, ἢ τὸ ἑαυτῶν κράτος οἱ Θεοὶ ἐξέφηναν αὐτῷ, τυτέστι τὴν ἑαυτῶν φύσιν καὶ δύναμιν καὶ τὰ ἐγγενὲς αὐτοῖς, ὲ μεταβαλόντες τὴν μορφὴν, ὡς ἔθος θνητοῖς φαντάζεσθαι θεὺς, ἀλλ' ἐν ταῖς ἰδίαις μορφαῖς ὤφθησαν αὐτῷ· ἢ τὸ κράτος, τὸ πεπρωμένον αὐτῷ.

112. Γαδείρων τὸ πρὸς ζόφον ἐ περατὸν] ὐκ ἔστι, φησὶ, Γαδείρων περάσαι τὰ ἐπέκεινα· ζόφος γὰρ καὶ ἀφάνεια. ὑποστρέφων μὲν ὧν εἰς τὰ ὀπίσω ἄγει τὴν ναῦν· ἀλληγορικώτερον λέγειν βυλόμενος, ὅτι ὐκ ἔστι δυνατὸν εἰς πάντας τὰς ἐπαίνες χωρεῖν τοῦ Τιμασάρχυ. ἐπάγει γὰν, ὅτι ὐκ ἔστι δυνατὸν τὸν πάντα λόγον καὶ ἔπαινον τῶν ἐκγόνων τῷ Αἰακῷ διελθεῖν, ὥσπερ ὐδὲ Γαδείρων ἐπέκεινα. Γάδειρα γὰρ πόλις μέχρι τῶν τηλῶν Ἡρακλέης, ἔνθα τὸ τέλος ἐστὶ τῆ πλεῖν καὶ τῆ ὁδεύειν. περαιτέρω γὰρ λοιπὸν ὁ Ὠκεανὸς, καὶ πάντα ἀφανῆ ζόφε ὄντος. τὰ ἐντεῦθεν οὖν τῶν Γαδείρων τῆς Εὐρώπης ἐστίν. εἰς δύο γὰρ διήρητο τὸ παλαιὸν μέρη ἡ οἰκυμένη, Εὐρώπην κ[illegible]ίαν. ὁ δὲ νοῦς· ὥσπερ οὐκ ἔσιν ἐσωτέρω πλεῖν ἐπὶ τὴν δύσιν, ἐπειδὰν ἅπαξ τις ἐπὶ τὰ Γάδειρα ἀφίκηται, ἀλλ' ἐπιστρεπτέον ἐστὶ ἐπὶ τὴν Εὐρώπην διὰ τὸ μὴ εἶναι ἔτι πλεῖν, οὕτω καὶ ἐπὶ πάντα τῶν Αἰακιδῶν τὸν ὕμνον ἀφικέσθαι οὐ δυνατόν. μὴ πλέε γοῦν, φησὶ, πρὸς ζόφον ἔξω τῶν Γαδείρων, ἀλλὰ στρέφε τὴν ναῦν ἐπὶ τὴν Εὐρώπην. ἔντεα γὰρ ναὸς περιφραστικῶς ἀντὶ τοῦ ναῦν, εἶπε. διατί δὲ τοῦτό φησι, διασαφήσει.

116. Ἄπορα γὰρ λόγον Αἰακοῦ παίδων] διὸ μετάστρεφε τὸν λόγον ἐπὶ τὰ δυνατὰ, ὥσπερ τινα ναῦν, ἐπὶ τοὺς ἱερονίκας.

118. Θειαν-

Σ. ί. Κ. ιγ'.

Θεανδρίδαισι δ' ἀε-
ξιγυίων ἀέθλων
Κάρυξ ἕτοιμος ἔβαν
Ὀλυμπία τε καὶ Ἰσθμοῖ
Νεμέᾳ τε συνθέμενος·
Ἔνθα πεῖραν ἔχοντες, οἱ-
καδε κλυτοκάρπων
Οὐ νέοντ' ἄνευ τεφάνων.
Πάτραν σφιν ἀκούομεν,
Τιμάσαρχε, τεὰν ἐπινι-
κίοισιν ἀοιδαῖς
Πρόπολον ἔμμεναι. Εἰ δέ τοι
Μάτρωι μ' ἔτι Καλλικλεῖ κελεύεις

Σ. ιά.

118. Θεανδρίδαισι δ' ἀεξιγυίων ἀέθλων] Φατρία τις ἀπό τινος Θεάνδρου προγόνου ἐνδόξου τῶν περὶ Τιμάσαρχον· ᾗ γέγραπται ἡ ᾠδή. ἦλθεν οὖν κάρυξ, φησὶν, ἕτοιμος τοῖς Θεανδρίδαις τῶν αὐξόντων τὰ σώματα ἄθλων, καὶ τοὺς ἐν Ἰσθμοῖ καὶ Νεμέᾳ . . .

128. Ἔνθα πεῖραν ἔχοντες] Ἔνθα τοῖς ἀγῶσιν ἀπόπειραν λαβόντες καὶ γνῶσιν τῆς ἀγωνίας σχόντες, οὐδέποτε ἄνευ τεφάνων εἰς τὴν οἰκίαν ἐληλύθασι, τῶν ἐνδόξων καρπὸν φερόντων τεφάνων.

126. Πάτραν νὶν (sic) ἀκούομεν] τὴν πατρίδα σε ταύτην ἀκούομεν, φησι, τὴν τῶν Θεανδριδῶν, ᾧ Τιμάσαρχε, προέχουσαν τοῖς τῶν ᾠδῶν ἐπινικίοις. τὸ γὰρ πρόπολον ἔμμεναι (129), τυτέστι προϋπάρχουσαν εἶναι. ὁ δὲ νοῦς· τοιγαροῦν ἀκούομεν, ᾧ Τιμάσαρχε, τὴν πατρίδα τὴν σὴν τοῖς ὕμνοις τοῖς ἀπὸ τῆς ὑμετέρας νίκης θεραπεύεσθαι, καὶ εἶναι ὑπηρέτιν τῶν ὑμετέρων νικῶν.

129. Εἰ δέ τοι μάτρωί (sic) μ' ἔτι Καλλικλεῖ] μήτρως, ὁ τῆς μητρὸς ἀδελφός. ὁ δὲ λόγος· εἰ δὲ τῷ σῷ ὕμνῳ κελεύεις ἔτι με θεῖναι τήλιγν πρὸς πάροδον, καὶ μνησθῆναι τοῦ τῆς μητρός σε θείου Καλλικλέος, μνησθήσομαι· ἢ οὕτως· εἰ δὲ δὴ καὶ τῷ Καλλικλεῖ τῷ τῆς μητρός σε θείῳ κελεύεις ἔτι τήλιγν τινὰ ἀναθῆσαι τῆς Παρίᾳ λίθῳ λευκοτέραν, προσλεπτέον ἔξωθεν τὸ, ποιήσω, τυτέστι λαμπρῶς ὑμνήσω κἀκεῖνος. τοῦτο δὲ εἴρηκεν, ὡς διασάσεως γεγονυίας ἐν ἀρχῇ, ὅτι μνησθήσεται διὰ τῆς ᾠδῆς τοῦ Καλλικλέος, φησίν. ἀλληγορικῶς δὲ τὸ ποίημα τήλιγν λέγει. Πάριος δὲ λίθος ἐστὶν ὁ καλούμενος Λύγδινος.

133. Ὁ

Σ. ιά. Κ. ιγ΄.

Στάλαν θέμεν, Παρίᾳ
Λίθῳ λευκοτέραν· —
Ὁ χρυσὸς ἑψόμενος
Αὐγὰς ἔδειξεν ἁπάσας·
Ὕμνος δὲ τῶν ἀγαθῶν
Ἐργμάτων βασιλεῦσιν ἰ-
σοδαίμονα τεύχει
Φῶτα· — κεῖνος ἀμφ' Ἀχέροντι
Ναιετάων ἐμὰν
Γλῶσσαν εὑρέτω κελαδῆ-
τιν, Ὀρσοτριαίνα
Ἵν' ἐν ἀγῶνι βαρυκτύπᾳ
Θάλησε Κορινθίοις σελίνοις.

Σ. ιβ΄. Κ. ιγ΄.

Τὸν Εὐφάνης ἐθέλων

Γεραιὸς

133. Ὁ χρυσὸς ἑψόμενος] τετέχνιν, ὡς τὸν χρυσὸν ποιεῖ τὸ πῦρ διαυγέστερον, οὕτω τοὺς ἀγαθοὺς ἄνδρας ὁ ὕμνος διαφανεστέρους καὶ τοῖς βασιλεῦσιν ἴσους· τετέχνιν, οὕτω λάμπει, ὥσπερ οἱ ἀγαθοὶ ὑμνούμενοι λάμπουσιν.

138. Κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων] ἐκεῖνος ὁ Καλλικλῆς, φησὶν, εἰ καὶ τέθνηκεν ἤδη, τῆς ἐμῆς εὐφημίας τυγχανέτω· ὡς τετελευτηκότος δὲ αὐτῷ εὕρημα ἔχέτω, φησὶ, τὴν ἐμὴν γλῶσσαν εἰς τὸν ὕμνον αὐτῷ, τὴν ὑμνῆσαν (τοῦτο γάρ ἐστι τὸ, κελαδῆτιν) Καλλικλέα Ἰσθμια (νενικηκότα). τοῦτό φησιν, ὅτι ἐν τῷ τοῦ Ποσειδῶνος ἀγῶνι τῷ Ἰσθμικῷ ἐτέφθη παρὰ τῶν Κορινθίων Καλλικλῆς.

144. Τὸν Εὐφάνης ἐθέλων] ὄντινα Καλλικλέα καὶ ὁ Εὐφάνης ὁ πρεσβύτερος τῶν σῶν προγόνων, ᾧ Τιμάσαρχε, ᾄσει καὶ ὑμνήσει, δηλαδὴ ὡς ἀποθανόντα ἀποθανών· ὡς ὅτι καὶ ἐν ᾅδου εἰσὶν οἱ θαυμάζοντες τοὺς ἀρίστους, καὶ ὅτι αἴσθησίς ἐστιν ἐν αὐτοῖς. ἢ ὅτως· ὁ Εὐφάνης ὅτος ἐκ τοῦ αὐτοῦ γένους Τιμασάρχῳ παλαίτερός τις καὶ τῶν σοφῶν καὶ τῶν συγγραψάντων ἐπαίνους. λέγεται δὲ πάππος εἶναι τοῦ νικηφόρου πρὸς μητρός. ἢ ὅτω τοῦτο ἐπιπεφώνηκεν, ὡς τοῦ Εὐφάνους καὶ Καλλικλέους ἡλικιωτῶν ὄντων.

Γεραιὸς προπάτωρ
Ὅ σός γ' ἀείσατο, παῖ. —
Ἄλλοισι δ' ἄλλοι.
Τὰ δ' αὐτὸς ἄν τι τύχῃ,
Ἐλπεταί τις ἕκαστος ἐξ-
οχώτατα φάσθαι. —
Οἷον αἰνέων κε Μελη-
σίας ἔριδα τρέφοι
Ῥήματα πλέκων· ἀπάλαι-
στος ἐν λόγῳ ἔλκει,

Μαλα-

ὄντων. διό, φησιν, ἐκεῖνος ὁ ἡλικιώτης ᾄσεται καὶ ὑμνήσει τὸν Καλλικλέα, τὰς δὲ ἄλλας ὑμνήσουσιν οἱ ἡλικιῶται· τυτέσι, σὲ οἱ ἡλικιῶται ὑμνήσουσιν, τὸν δὲ Καλλικλέα ὁ Εὐφάνης.

148. Τὰ δ' αὐτὸς ἄν τις τύχῃ, ἐλπεταί τις ἕκαστος] ἕκαστος γάρ, φησιν, οἴεται ταῦτα ὑπάρχειν ἐξοχώτατα, ἅπερ αὐτὸς εἶδε. τοῦτο δὲ λέγει, ὡς τῷ Εὐφάνει παρατετυχηκότος, ὅτε ὁ Καλλικλῆς ἐνίκα τὰ Ἴσθμια. διὸ ὑμνήσει αὐτὸν, ἅτε παρατετυχηκὼς καὶ ἑωρακὼς ἐν τῷ ἀγῶνι τῷ Ὀρσοτριαίνα αὐτὸν νικήσαντα. ἢ ἅτε ταῦτά γε μὴν ὅπως ἄν τύχῃ λέγων, ἐλπίζει καὶ πείθεται αὐτὸς ἐξαιρέτως καὶ ὑπὲρ τὰς λογίους εἰρηκέναι. ἔνιοι δὲ ὕτως· ἅπερ δὴ ἄν τις τύχῃ θεασάμενος, ταῦτα δοκεῖ καὶ ἀκριβέστερον διατίθεσθαι, καὶ κάλλιον ἅτε νοεῖν τῶν ἄλλων.

151. Οἷον αἰνέων κε Μελησίαν] ὁ Ἀρίσταρχος ψιλοῖ τὸ, οἷον. ὁ δὲ λόγος· μόνον ἄν τις ἐπαινῶν τὸν Μελησίαν, τὰς ἀπαντωμένας ἔριδας παρὰ τῶν ἄλλων τρέφοι, καὶ καταπαλαίοι καὶ καταγωνίζοιτο. ἡ μεταφορὰ ἀπὸ τῶν παλαιόντων. δύναται δὲ καὶ δασέως ἀναγινώσκεσθαι τὸ οἷον, θαυμαστικῶς, ὡς φησι Δίδυμος. ἐλλείπει δὲ τὸ τίς, οἷον τὶς τὸν τὸν Μελησίαν ἐπαινῶν τὰς τῶν ἄλλων ἔριδας καταπαλαίοι, οἷον καὶ περιγίνοιτο· διαπρέπει γάρ· ὥστε τὸν φθονοῦντας μηδὲν ἀνύειν. παρεῖται δὲ τὸ τίς. ἔστι γάρ· ἔριδα τρέφοι τὶς ῥήματα πλέκων, οἷον ἄν τὶς αἰνέων τὸν Μελησίαν. ὁ δὲ νῦς· μόνον δὲ ἔν τις αἰνέων καὶ ὑμνῶν τὸν Μελησίαν, τὸν ἀλείπτην τῷ Τιμασάρχῳ τὴν ἔριδα καὶ τὴν φιλονεικίαν ἀποτρέψοι, τὴν παρὰ τῶν ἄλλων δηλαδή.

153. Ἀπάλαιστος ἐν λόγῳ ἕλκει] τοῦτό ἐστι καὶ ἐπὶ τῷ Μελησίᾳ ἀκούειν, ὡς φησι Δίδυμος, οἷον, ἀκαταπάλαιστός ἐστι πρὸς τὸν ἕλκοντα αὐτὸν ἐν λόγοις, ὡς καὶ λογίῳ ὄντος τῷ Μελησίᾳ. οἱ δὲ ὅτι ὁ νικῶν· τάχα δὲ ὁ νικηφόρος κάλλιον ὑμνεῖ· ἀπάλαιστος ὤν,

155 Μαλακὰ μὲν Φρονέων ἐσλοῖς,
Τραχὺς δὲ παλιγκότοις ἔφεδρος.

ὢν, φησὶ, καὶ ἀνίκητος τοῖς, καὶ ἐν τοῖς, λόγοις, καὶ ᾧ δυνάμενος παραλογισθῆναι. ἀπὸ τῶν παλαιόντων δὲ πάλιν ἡ μεταφορὰ, καὶ τροπικαὶ αἱ λέξεις ἀπὸ τῆς ἀθλήσεως. ἐάν τίς, φησιν, αὐτὸν εἰς λόγους ἕλκει, ᾧ πίπτει, ἀλλ' ἔστιν ἀκαταπάλαιστος. ἔστι δὲ καὶ ἐπὶ τῷ ἐπαινέντος αὐτὸν ἀκοῦσαι, ἐφ' ᾧ προεῖπον, τὸ, οἷον αἰνέων με Μελησίαν. τὰ δὲ ἑξῆς ἐπὶ τῷ Μελησίᾳ λέγει.

155. Μαλθακὰ μὲν Φρονέων ἐσλοῖς, τραχὺς δὲ παλιγκότοις ἔφεδρος] καὶ ταῦτα ἐπὶ τῷ Μελησίᾳ. οὗτος δέ ἐστι τὸ γένος Ἀθηναῖος. ταῦτα δέ φησιν, ὡς τῷ Τιμασάρχῳ ὑπὸ τῷ Μελησίᾳ ἀλειμμένῳ. Ἔφεδρος ὢν τοῖς ἐχθροῖς, ὁ ἐπικείμενος τοῖς ἐχθροῖς, ὁ ἐφεδρεύων, καὶ ἐπιτηρῶν. ἀθλητικὸν δὲ τὸ νόημα, οἷον ἀντὶ τῷ, δυσκαταγώνιστος. προκεκληρωμένοις γὰρ καὶ προκεκμηκόσι τοῖς προηγωμένοις πρὸς ἀλλήλους, ἀκοπίατος ἐφέστηκε. τὸ δὲ τραχὺς ἀντὶ τῷ φοβερὸς, ἐπαχθής. ὁ δὲ νῷ ἕλος· πρᾶος μὲν καὶ προσηνὴς τοῖς ἀγαθοῖς καὶ φίλοις, χαλεπὸς δὲ τοῖς ἐναντίοις ἐφεδρευτής.

Περὶ τῶν κώλων τῆς τροφῆς καὶ ἀντιτροφῆς τὸ πέμπτον τῶν Νεμέων εἶδος.

Τῆς πέμπτης ᾠδῆς ἡ τροφὴ καὶ ἀντίστροφος κώλων ἕνδεκα. Τὸ α΄ δίμετρον ἰαμβικὸν ἀκατάληκτον. Τὸ β΄ δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ γ΄ ἐγκωμιολογικὸν παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ δ΄ δακτυλικὸν τρίμετρον καταληκτικόν. Τὸ ε΄ ἐγκωμιολογικόν. Τὸ ϛ΄ ὁμοίως τῷ δευτέρῳ. Τὸ ζ΄ τὸ αὐτό. ἡ δὲ τὶ (in ὅτι) ἐμηκύνθη, ὡς καταλήξασα. Τὸ η΄ Εὐριπίδειον. Τὸ θ΄ ἰαμβέλεγος. Τὸ ι΄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ια΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτῆ. Ἡ ἐπῳδὴ κώλων ἕνδεκα. Τὸ α΄ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ β΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ γ΄ ἐγκωμιολογικόν. Τὸ δ΄ Εὐριπίδειον. Τὸ ε΄ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ϛ΄ Εὐριπίδειον. Τὸ ζ΄ ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον. Τὸ η΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ θ΄ ἐπιχοριαμβικὸν τρίμετρον ἀκατάληκτον, διὰ τὴν ἐν ἀρχῇ τῆ τροχαίᾳ συζυγίαν. καί ἐστι Σαπφικὸν πλεονάζον μιᾷ συλλαβῇ κατὰ τὸν ἴαμβον ἐξηλλαγμένον. Τὸ ι΄ ἰαμβέλεγος λειπόσης τῆς ἀρχῆς. Τὸ ια΄ Ἰωνικὸν δίμετρον ἀκατάληκτον, καὶ ἡ τελευταία ἀπόδοσις τὸ, χάρισιν ἐξέτεινεν.

ARGV-

ARGVMENTVM QVINTI CARMINIS.

Non ſtatuas fabricari poſſum, ſed tu, Muſa, carmine celebra Pytheae Nemeam victoriam, qui quamquam adhuc imberbis (1 — 10), tamen Aeacidis et patriae nouum addidit decus, quae (Aegina) vt viris nauibusque valeret, Endeidis filii (Telamon atque Peleus) et Phocus, Pſamatheae filius, olim precati ſunt iuxta aram Iouis Hellenii (— 24). Vereor magnam neque iuſte factam rem dicere, quomodo ex inſula eiecti ſint. Silebo. Non quaeuis vera placent, et ſaepe conuenit tacere (— 33). Si opes, robur, aut bellum (Aeacidarum) laudandum ſit, quanquam copioſo argumento tamen par ero. Aquilae etiam trans mare volant (— 40). Illis vero (Aeacidis) etiam Muſarum chorus, Apolline praeeunte, in monte Pelio cecinit. Celebrarunt autem Muſae cantu poſt Iouem, Thetin et Peleum, vt Hippolyte eum perdere voluit apud maritum (Acaſtum) criminando, quod ipſam ſollicitauerit (— 56). Sed contrarium euenerat. Mulier enim illa ſaepe eum pellexerat ad concubitum, verum ille Iouis iram veritus recuſauit. Iupiter vero ei adnuit, vt Nereïdem quandam duceret, Neptuno permoto, qui ſaepe Aegis ad Iſthmum venit, vbi iuuenes tibiarum cantu eum excipiunt inſtituuntque certamina gymnica (— 73). Ingenita vis omnium quae aguntur continet ſummam. At tu, Euthymenes, victoria potitus, varios conſecutus es hymnos. Hunc auunculum aemulatus Pytheas gentem condecorat (— 80).

Nemea

Nemea et Aeginetica victoria in eo conueniunt. Vicit et domi et Megaris pueros. Laetor autem Aeginetas omnes certandi ſtudio teneri (— 86). Scito, Menandri Athenienſis auxilio te obtinuiſſe victoriam (— 90). Si vero Themiſtium laudare vis, noli horrere; pande vela, eumque dic Epidauri pugilatu atque pancratio viciſſe, Aeginamque ſumma ornamenta reportaſſe (— 99).

ΕΪΔΟΣ ε'.

ΠΥΘΕΑΙ ΑΙΓΙΝΗΤΗΙ

ΤΙΜΟΞΕΝΩΙ ΛΑΜΠΩΝΟΣ, ΠΑΓΚΡΑΤΙΑΣΤΗΙ.

Σ. ά. Κ. ιά.

Οὐκ ἀνδριαντοποιός εἰ-
μί, ὥς ἐλινύσοντά μ' ἐργά-
ζεσθαι ἀγάλματ' ἐπ' αὐτᾶς βαθμίδος
Ἑσάοτ'. ἀλλ' ἐπὶ πάσας
Ὁλκάδος ἔν τ' ἀκάτῳ, γλυκεῖα Μοῖσα,
Στεῖχ' ἀπ' Αἰγίνας, διαγγέλ-
λοισα, ὅτι Λάμπωνος υἱὸς

Πυθέας

1. Οὐκ ἀνδριαντοποιός εἰμι] Φασὶν ὅτι οἱ οἰκεῖοι τῷ Πυθέᾳ ἦλθον πρὸς αὐτὸν, παρακαλοῦντες, ὅπως γράψῃ ἐπίνικον. Πινδάρῳ δὲ αἰτήσαντος τρεῖς δραχμὰς, ἔφασαν ἐκεῖνοι, κάλλιον εἶναι χάλκεον ἀνδριάντα ποιῆσαι τῆς αὐτῆς τιμῆς, ἢ τὸ ποίημα. χρόνῳ δὲ ὕστερον γνωσιμαχήσαντες ἦλθον τὸ αὐτὸ διδόντες. ὁ δὲ ἐξονειδίζων αὐτοὺς ὕτως ἤρξατο, καὶ φησι, μὴ κατασκευάζειν ἔργα τὴν αὐτὴν κατέχοντα χώραν, καθὼς οἱ ἀνδριαντοποιοὶ τοὺς χαλκοῦς ἀνδριάντας, ἀλλὰ τὰ ποιήματα, ἅπερ παντακόσε διϊκνεῖται, ὥστε τὴν ἀρετὴν τῶν ἐπαινεθέντων πολλοῖς εἶναι δῆλην. ὁ δὲ νῦς· οὐκ εἰμί, φησιν, ἀνδριαντοποιὸς, ὥστε ἀργὰ καὶ ἀκίνητα ἐργάζεσθαι ἀγάλματα ἐπ' αὐτῆς τῆς βαθμίδος ἑστῶτα δεινεκῶς, καὶ ἃ δυνάμενα ἀλλαχοῦ τὴν τοῦ νικηφόρου διαβοᾶν εὐδοξίαν. ἐνδείκνυται δὲ διὰ τούτων, ὅτι οἱ λόγοι πάντων εἰσὶ βελτίους.

4. Ἀλλ' ἐπὶ πάσας ὁλκάδος] ὁλκὰς εἶδος φορτηγοῦ πλοίου· ἄκατος δὲ πλοῖον βραχύτατον. ὁ δὲ λόγος· διὰ παντὸς ἐν πλοίῳ φορτηγῷ τε καὶ μικροτέρῳ, ὦ γλυκεῖά μου ᾠδή, πορεύου, ἐκβοῶσα πρὸς πάντας τοὺς τοῦ Πυθέου νίκας. τὸ δὲ Νικῇ (sic v. 9) κατὰ μετάθεσιν τοῦ α εἰς η.

Πυθέας εὐρυσθενὴς
Νίκαν Νεμείοις παγκρατίῳ σεφανοῖ.
Οὕπω γένυς φαΐνεν τέρειναν
Ματέρ' οἰνάνθας ὀπώραν.

Α. α'. Κ. ια'.

Ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥ-
ρωας αἰχματὰς φυτευθέν-
τας καὶ ἀπὸ χρυσέων Νηρηΐδων

Αἰακί-

10. Οὕπω γένυσι (sic) φαΐνεν τέρειναν] ἀλληγορεῖ, βυλόμενος σημῆναι τὸν ἀγένειον ἀπὸ τῆς κυπριζούσης ἀμπέλου. ἡ δὲ ὀπώρα οὐκ ἔστι τῆς οἰνάνθης μήτηρ, ἀλλὰ τἀναντίον. προανθεῖ γὰρ πρῶτον εἶτα ὀπώρα γίνεται. χρῆται δὲ τῇ τοιαύτῃ ἀναστροφῇ συνετῶς· ὡς (Nem. IX, 115) Ἀσυχία φιλεῖ μὲν συμπόσιον. ἡ γὰρ ἡσυχία φιλεῖ τὸ συμπόσιον, ἀλλὰ τὸ συμπόσιον τὴν ἡσυχίαν. Δίδυμος δὲ, βέλτιόν, φησι, μὴ τὸν καρπὸν, ἀλλὰ τὴν ὥραν ἀκούειν, καθ' ἣν ὁ καρπὸς ὁμωνύμως πεπαίνεται. ὅτι δὲ καλοῦσι τὸν καιρὸν ὀπώραν, Ὅμηρος (Od. XIV, 384)·

Καὶ φάτ' ἐλεύσεσθαι, ἢ ἐν θέ-
ρει, ἢ ἐν ὀπώρῃ.

θέλει ἤν λέγειν, ὅτι ὅπω καιρὸν τῇ γενειάσκειν ἔχων· οἰνάνθην γὰρ κατὰ μεταφορὰν τὸν ἴουλον εἴρηκε, τυτέστι τὴν πρώτην τῶν γενειάδων ἀνάφυσιν. μήτηρ δὲ τῆ γενειάσκοντος γίνεται ἡ ὥρα. ὁ δὲ νῦς· ὠδέπω ἐν τῇ γενειάδι δεικνὺς τὴν ἄπαλὴν ὥραν καὶ ὀπώραν, τυτέστιν, ὠδέπω γενειάσκων. τὸ δὲ σχῆμα, περίφρασις ἐξ ἀλληγορίας· ὕπω τῆς ἁπαλῆς οἰνάνθης τὴν μητέρα ὀπώραν φαίνων, ὅπερ ἔστιν ὥραν, ὡς Ὅμηρος (Od. XII, 76.)· ἔτ' ἐν θέρει, ἔτ' ἐν ὀπώρῃ ἀντὶ τῦ, τῷ ὀπωρινῷ καιρῷ.

12. Ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας] συλλήψει κέχρηται, ἀπὸ Κρόνου καὶ Ζηνὸς καὶ Νηρειδων λέγων εἶναι τὰς Αἰακίδας. Αἰακὸς γὰρ Διὸς, Αἰακῦ δὲ καὶ Ἐνδηίδος τῆς Χείρωνος Τελαμὼν καὶ Πηλεύς, ὁ δὲ Χείρων Κρόνου. πάλιν ἀπὸ τῶν Νηρείδων Φῶκος καὶ Ἀχιλλεύς· Ἀχιλλεὺς μὲν γὰρ παῖς Θέτιδος, ἔκγονος ὢν Αἰακοῦ· Φῶκος δὲ Ψαμάθης Νηρηίδος καὶ αὐτῆς Αἰακοῦ. Ἐκ δὲ Κρόνου καὶ Ζηνὸς Τελαμὼν καὶ Πηλεύς· Κρόνου μὲν γὰρ Χείρων καὶ Φιλύρας, Χείρωνος δὲ Ἐνδηὶς, Ἐνδηίδος δὲ Τελαμὼν καὶ Πηλεὺς ἐξ Αἰακοῦ. τούτους οὖν Κρόνου καὶ Ζηνὸς ἀπὸ χρυσῶν Νηρηίδων φυτευθέντας ἐγέραιρε, τίς; ὁ Πυθέας νικήσας, ὡς ἂν προγόνους αὐτοῦ καὶ κτίσορας. ὁ δὲ νοῦς· τοὺς δὲ ἀπὸ Κρόνου καὶ Διὸς καὶ ἀπὸ τῶν πα-

λαίσμω

Αἰακίδας ἐγέραρεν,
Ματρόπολίν τε, φίλαν ξένων ἄρηραν·
Τάν ποτ' εὔανδρόν τε καὶ ναυ-
σὶ κλυτὰν θέσσαντο, παρ' βω-
μὸν πατέρος Ἑλλανίω
Στάντες πίτναν τ' εἰς αἰθέρα χεῖρας ἁμᾶ
Ἐνδαΐδος ἀρίγνωτες υἱοὶ
Καὶ βία Φῶκᾶ κρέοντος,

Ε. ά. Κ. ιά.

Ὁ τᾶς θεᾶ, τὸν Ψαμάθεια
Τίκτ' ἐπὶ ῥηγμῖνι πόντᾳ. —
Αἰδέομαι μέγα εἰπεῖν, ἐν δίκᾳ τε

λίσων Νηρεΐδων, τοτέοι τὰς Αἰακίδας ἐκόσμησε καὶ αὐτὴν τὴν μητρόπολιν Αἴγιναν. ἀπὸ κοινᾶ δὲ τὸ, ἐγέραρε. Ξείνων (lic) ἄρμεραν (16) δὲ τὴν Αἴγιναν φησιν, ἤ, ὅτι φιλόξενοι οἱ Αἰγινῆται, ἤ, καθότι μητρόπολις ἦν τῶν περὶ Πηλέα καὶ Τελαμῶνα. γεννηθέντες γὰρ ἐν τῇ Αἰγίνῃ, ἀπωκίσθησαν διὰ τὸν φῶκος θάνατον.

17. Τάν ποτ' εὔανδρόν τε] τοτέοι ἀγαθὰς ἄνδρας ἔχουσαν, καὶ ἐν τῷ ναυτίλλεσθαι. ὃ δὲ νῦν· ἦντινα Αἴγιναν ἤυξαντο ἀγαθῶν ἀνδρῶν ἐπιτυχεῖν καὶ ἔνδοξον γενέσθαι τὰ ναυτικά· εὔξαντο δὲ πάντες παρὰ τὸν Ἑλλανίᾳ Διὸς βωμόν. Ἑλλήνιος δὲ Ζεὺς τιμᾶται ἐν Αἰγίνῃ παρὰ τῷ ὕτως Ἑλληνίῳ ἀκρωτηρίῳ καλαμένῳ. φασὶ γάρ· αὐχμῷ ποτὲ πιέζοντος τὴν Ἑλλάδα (ἔνιοι δὲ, κατακλυσμῷ) συνελθόντας τὺς Ἕλληνας καθικετεῦσαι τὸν Αἰακὸν, ὡς ὄντα παῖδα Διὸς, ἐξαιτήσασθαι τῶν τότε συσάντων κακῶν τὴν ἴασιν· τὸν δὲ εὐξάμενον ἀποθεραπεῦσαι τὰ δεινὰ, καὶ ὕτω διὰ τὴν τᾶς Ἑλλάδος σωτηρίαν, Ἑλλήνιον παρὰ τοῖς Αἰγινήταις τιμῆσαι Δία.

21. Ἐνδαΐδος ἀρίγνωτες υἱοὶ] τινὲς δὲ, πάντες ὁμῶ ἐλιτάνευσαν περὶ τῶν προειρημένων οἱ ἐνδοξοι παῖδες τᾶς Ἐνδηΐδος, φασὶ, Τελαμὼν καὶ Πηλεὺς, καὶ ὁ φῶκος, ὁ τᾶς θεᾶ Ψαμάθης παῖς, ὕντινα ἡ Ψαμάθη ἐγέννησε παρὰ τοῖς αἰγιαλοῖς τᾶς θαλάσσης, εἰκότως ὡς Νηρηΐς. Κρέοντος δὲ, ἤτοι τᾶ ἐνδόξω, ἢ βασιλέως.

25. Αἰδέομαι μέγα εἰπεῖν] αἰδεῖσθαι καὶ φυλάττεσθαι, φησι, διηγήσασθαι μέγα τι καὶ ὃ δικαίως τετολμημένον καὶ πεπραγμένον. εἰς γὰρ τὰ πάτρια τῶν Αἰακιδῶν ἐμπεσών, καὶ μνησθεὶς φώκου ὑποτελλε-

Μὴ κεκινδυνευμένον·
Πῶς δὴ λίπον εὐκλέα νᾶσον,
Καὶ τίς ἄνδρας ἀλκίμους
Δαίμων ἀποινώσαις ἔλασεν. — σάσομαι. —
Οὔ τοι ἅπασα κερδίων
Φαίνουσα πρόσωπον ἀλάθεϊ ἀτρεκής.
Καὶ τὸ σιγᾶν πολλάκις ἐσθλὸν σοφώτατον ἀνθρώπῳ νοῆσαι. —

Σ. β΄.

σέλλεται τὴν κατ' αὐτὸν τύχην λέγειν. ἔστι δὲ αὕτη· φασὶ γὰρ, Πηλέα καὶ Τελαμῶνα ἐν γυμνασίοις ἀνελόντα φῶκον, τὸν μὲν δίσκῳ τύψαντα, τὸν Πηλέα, καὶ τὸν Τελαμῶνα σιδήρῳ τὰ μετάφρενα, καὶ ὕστω τὸ μῦσος φεύγοντας τῆς Αἰγίνης ἐκπεσεῖν, καὶ τὸν μὲν Τελαμῶνα εἰς Σαλαμῖνα τὴν πρὸς τῇ Ἀττικῇ, τὸν δὲ Πηλέα εἰς Θετταλίαν μετοικῆσαι. ὡς καὶ Ἀπολλώνιος ἐν τῷ καταλόγῳ φησί (Arg. I, 93 f.)·

Τελαμὼν μὲν ἐν Ἀτθίδι νάσατο νήσῳ
Πηλεὺς δ' ἐν Φθίῃ ἐρεβώλακι ναιε λιασθείς.

Ἄλλως. τί αἰδεῖται ὁ Πίνδαρος, καὶ τί αὐτοῖς φησὶ μὴ δικαίως κεκινδυνευμένον εἶναι; τὸ ὅτι ἀνεῖλον τὸν φῶκον καὶ ἔφυγον. περιεσαλμένως δὲ αὐτὸ εἴρηκε. μέγα δὲ ἔργον φησὶν, ὅτι ὑ κατὰ δίκην ὁ κίνδυνος ἐγενήθη τῷ Τελαμῶνι καὶ τῷ Πηλεῖ, τὸν ἑαυτῶν ἀδελφὸν ἀποκτείνασιν φῶκον, ἀλλ' ἄδικος ὁ τοιοῦτος κίνδυνος, ὃν φησιν αἰδεῖσθαι εἰπεῖν· δύνατον δὲ καὶ ὕστως ἀκίνδυνον ἐν δίκῃ, ἀληθές. ὁ γὰρ μὴ ἔχει κίνδυνον κατὰ τὴν δίκην, ἀληθές ἐστιν. οἶδεν ὃν ὁ Πίνδαρος τὸν φῶκα θάνατον, ἀλλ' ἐκτρέπεται εἰπεῖν. μήποτε δὲ καὶ τὸ παρὰ Καλλιμάχῳ (Fragm. 136. p. 496)·

Ἔκλυε τοι, τῶν μηδὲν ἐμὺς δι' ὀδόντας ὀλισθῇ

Πηλεὺς —

ὕστως ἀποδοτέον· ὅτι αἱ γυναῖκες ὠνείδιζον αὐτῷ τὸν φῶκα θάνατον. ὁ δὲ νῦς· αἰδοῦμαι γῶν, φησὶ, τὴν προφανῆ αἰτίαν, δι' ἣν κατέλιπον τὴν ἐνδοξοτάτην νῆσον Αἴγιναν, εἰπεῖν, καὶ τίς τότε τὰς ἄνδρας δαίμων καὶ τύχη ἀπὸ τῆς Οἰνώνης (sic) ἀπήλασε· παύσομαι τῆς τοιαύτης διηγήσεως.

30. Οὔ τοι ἅπασα κερδίων] ὃ φέρει κέρδος πᾶσα ἀληθεια· ἀτρεκὴς γὰρ καὶ φαίνουσα τὸ ἴδιον πρόσωπον· ἀλλὰ δεῖ ποτὲ καὶ ἐπικεκρύφθαι τὸ πρόσωπον τῆς ἀληθείας. ὁ δὲ νῦς· ὑ γὰρ πᾶσα ἐπικερδὴς ἐστιν ἀλήθεια, φανερὰ γινομένη καὶ εἰς ὄψιν ἀγομένη ἀτρεκῶς, ἀλλὰ πολλάκις καὶ τὸ νοῆσαι, ὅτι δεῖ κατὰ καιρὸν σιωπῆσαι, σοφώτατόν ἐστι πρᾶγμα.

Σ. β'. Κ. ιά.

Εἰ δ' ὄλβον ἢ χερῶν βίαν
Ἢ σιδηρίταν ἐπαινῆ-
σαι πόλεμον δεδόκηται, μακρά μοι
Δ' αὐτόθεν ἅλμαθ' ὑποσκά-
πτοι τις· ἔχω γονάτων ἐλαφρὰν ἑρμάν.
Καὶ πέραν πόντοιο πάλλον-
τ' αἰετοί. — πρόφρων δὲ κἀκεί-
νοις ἀείδει Παλίῳ
Μοισᾶν ὁ κάλλιστος χορός· ἐν δὲ μέσαις
Φόρμιγγ' Ἀπόλλων ἐπτάγλωσσον
Χρυσέῳ πλάκτρῳ διώκων,

34. Εἰ δ' ὄλβον ἢ χειρῶν(sic)βίαν] τὰ μὲν περὶ τὸν φόνον τὸ Φώκυ διασιωπήσομαι· εἰ δέ τοι ἐπαινέσαι δεῖ, φησιν, ἢ εὐδαιμονίαν ἀνθρώπῳ, ἢ σθένος χειρῶν, ἢ τὴν κατὰ πόλεμον ἀρετὴν, δύναμαι, φησι, πόρρω ἄλλεσθαι, τὰς Αἰακίδας ἐν τούτοις ὑμνῶν. ὁ δὲ νῦς· εἰ δὲ δεῖ τὴν ἄλλην εὐδαιμονίαν τὴν Αἰακιδῶν, ἢ τὴν ἀνδρείαν, ἢ τὰ κατὰ πόλεμον ἔργα ἐπαινέσαι, ἤδη τίς μοι ὑποσκαπτέτω πήδημα τῶν μεγάλων σημείων, ὥστε κύφως διὰ τῶν γονάτων ἐπὶ τὸ ἐξώτερον φέρεσθαι. ἀλληγορεῖ δὲ· δυνάμενος πλέον πάντων θαυμάσαι αὐτὰς, καὶ ὑπερβαλέσθαι τὰς ἀγωνίζεσθαι δυναμένας. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πεντάθλων, οἷς σκάμματα σκάπτονται, ὅταν ἅλλωνται. ἐκείνων γὰρ κατὰ τὸν ἀγῶνα πηδώντων, ὑποσκάπτεται βοῦρος, ἑκάστῳ τὸ ἅλμα δεικνύς. φησὶν οὖν, ὅτι βουλομένῳ μοι τὰς Αἰακίδας ἐγκωμιάζειν ἤδη τὶς μακρὰ ὑποσκαπτέτω μοι ἅλματα, νικήσω καθάπαξ τὰς ἐναντιωθῆναί μοι καὶ ἐγκωμιάζειν βουλομένας.

39. Καὶ πέραν πόντοιο πάλλοντ' αἰετοί] οἱ ἀετοί, φησιν, οὐ μόνον τὰ περίγεια πέτονται, ἀλλὰ καὶ πελαγίζουσι. καὶ ἐγὼ ὧν ὡς ἀετὸς πελαγιῶ ἐν τοῖς ποιήμασιν.

42. Ἐν δὲ μέσαις Φόρμιγγ' Ἀπόλλων] ἐν αἷς Μούσαις ὁ Ἀπόλλων κιθάραν ἑπτάφωνον τῷ πλήκτρῳ κρούων· διὰ γὰρ τὸ πλήκτρου, ὥσπερ γλώσσης ὁ θόγγος ἀποδίδοται· ἐξῆρχε πάσης μελῳδίας, τουτέστι νόμων μελῳδικῶν. τοῦτο δέ φησι παρὰ τὸ, ὡς νομίῳ θεῷ τῷ Ἀπόλλωνι ἀνακεῖσθαι τὴν Μοῦσαν. τὸ δὲ διώκων (44), ἀντὶ τοῦ συνάπτων, κιθαρίζων τῷ πλήκτρῳ. διώκειν δέ φησιν αὐτὸν, τὸ τάχος ἐμφῆναι βουλόμενος τῆς πληξεώς.

46. Αἱ

Α. β΄. Κ. ια΄.

Ἀγεῖτο παντοίων νόμων.
Αἱ δὲ πρώτιστον μὲν ὕμνησαν, Διὸς ἀρχόμεναι, σεμνὰν Θέτιν,
Πηλέα θ'· ὥς τέ νιν ἄβρὰ
Κρηθηὶς Ἱππολύτα δόλῳ πεδᾶσαι
Ἤθελεν ξυνᾶνα Μαγνήτων σκοπὸν, πείσαισ' ἀκοίταν
Ποικίλοις βλεύμασι·
Ψεύσαν δὲ ποιητὸν συνέπαξε λόγον,
Ὡς ἄρα νυμφείας ἐπείρα
Κεῖνος ἐν λέκτροις Ἀκάστᾳ

Ε. β΄. Κ. ια΄.

Εὐνᾶς. τὸ δὲ ἐναντίον ἔσκεψ.
Πολλὰ γάρ μιν παντὶ θυμῷ
Παρφαμένα λιτάνευεν. τᾷ δὲ ὀργὰν
Κνίζον αἰπειναὶ λόγοι·

Εὐθὺς

46. Αἱ δὲ πρώτιστον μὲν ὕμνησαν] αἱ Μοῦσαί, φησι, πρῶτον μὲν ὕμνησαν τὸν Δία, μετὰ δὲ τὸν Δία ὕμνησαν δευτέραν τὴν Θέτιν, ἔπειτα τρίτον τὸν Πηλέα, καὶ διηγήσαντο, ὅπως αὐτὸν ἡ ἄβρὰ Κρηθηὶς, ἡ τᾷ Ἱππολύτᾳ θυγάτηρ, ἀνελεῖν ἐβουλήθη· ἐκ δὲ τούτου τὸ σεμνὸν ἐγκωμιάζεσθαι ᾠδὴν. Ἄλλως. ἀπὸ Διὸς προοιμιαζόμενοί, φησιν, ᾠδὴν καὶ ὕμνον τὴν Θέτιν· τὸ προοίμιον ἦν ἀπὸ Διὸς ἐποιήσαντο. καὶ ἀλλαχοῦ (Nem. II, 1)· Ὅθεν περ καὶ Ὁμηρίδαι Διὸς ἐκ προοιμίου. καὶ Ἄρατος (Phaen. 1)· Ἐκ Διὸς ἀρχόμεθα.

50. Μαγνήτων σκοπὸν πείσαισ' ἀκοίταν] τὸν Ἄκαστον τῆς Μαγνησίας τὸν ἐπίσκοπον καὶ βασιλέα. ποικίλοις ἦν, φησὶ, λόγοις τὸν ἑαυτῆς ἄνδρα ἡ Κρηθηὶς ἐπεβούλευσε τῷ Πηλεῖ. τὸ δὲ πλάσμα ψεύσης ἦν λόγος, ὅτι ἄρα ἐπειρᾶτο ὁ Πηλεὺς ἐπιβουλεῦσαι τῇ κοίτῃ τῇ Ἀκάστου καὶ μοιχεῦσαι τὴν Κρηθηίδα. ἦν δὲ τὸ ἐναντίον, πολλὰ γὰρ αὐτὸν τὸν Πηλέα ἐκ μέσης ψυχῆς ἐλιτάνευε, καὶ παραπείθειν ἐπεχείρει, συνελθεῖν αὐτῇ.

58. Τᾷ δὲ ὀργὰν κνίζον αἰπειναὶ λόγοι] οἱ προσάντεις λόγοι καὶ χαλε-

Εὐθὺς δ' ἀπανάνατο νύμφαν,
Ξεινίᾳ πατρὸς χόλον
Δείσαις. ὁ δ' ἐφράσθη κατένευσέν τε οἱ
Ὀρσινεφὴς ἐξ ἑρανῆ
Ζεὺς, Ἀθανάτων βασιλεύς, ὥς τ' ἐν τάχει
Ποντιᾶν χρυσαλακάτων τινὰ Νη-
ρειδων πράξειν ἄκοιτιν.

Σ. γ'. Κ. ιαʹ.

Γαμβρὸν Ποσειδάωνα πεί-
σαις· ὅς Αἰγᾶθεν ποτὶ κλει-
τὰν θαμὰ νίσσεται Ἰσθμὸν Δωρίαν·

X 4 Ἔνθα

χαλεποὶ, κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ὑψηλῶν τόπων. προσάντεις δὲ οἱ ἀντίτυποι λόγοι καὶ δυσπρόσιτοι. ὁ δὲ νῦς· τοῦτο δὲ τὴν προαίρεσιν καὶ τὸν τρόπον ἔκνιζον καὶ ἐλύπων οἱ ἄδικοι λόγοι, καὶ παραχρῆμα ἀπηρνήσατο αὐτὴν εὐλαβηθεὶς τὴν τοῦ ξενίου Διὸς ὀργὴν, ἵνα καθόλου ἀκόσωμεν, τοῦ πατρός. ὡς Ὅμηρος (Il. I, 544.)· Πατὴρ ἀνδρῶν τε θεῶν τε. ἢ ὅτι ὁ Πηλεὺς ἔκγονος ἦν Διός.

62. Ὁ δ' ἐφράσθη] ὁ δὲ Ζεύς, φησιν, ἐφράσθη, ἀντὶ τοῦ ἔγνω, καὶ ἀντὶ τῆς σωφροσύνης ἐπενόησεν αὐτῷ καὶ παρέσχεν, ὥστε λαβεῖν γυναῖκα, τὴν Θέτιν.

67. Γαμβρὸν Ποσειδάωνα πείσαις] πείσας ὁ Ζεὺς σύγγαμβρον αὐτῷ γενέσθαι τὸν Ποσειδῶνα. ὁ μὲν γὰρ τὴν Θέτιν, ὁ δὲ τὴν Ἀμφιτρίτην ἔγημεν. Αἰγαὶ δὲ νῆσός ἐστι πρὸς τῇ Εὐβοίᾳ, καὶ ἀπὸ ταύτης τὸ πέλαγος Αἰγαῖον προσαγορεύεται. ἀπὸ τῶν Αἰγῶν δέ φησι τὸν Ποσειδῶνα συνεχῶς ἐπὶ τὸν Ἰσθμὸν πορεύεσθαι. ὅτι δὲ Ποσειδῶνός ἱερὰ αὐτὰ, φησὶ καὶ Ὅμηρος (Il. VIII, 203 f.)·

Οἱ δέ τε εἰς Ἕλίκην τε καὶ
Αἰγὰς δῶρ' ἀνάγουσι
Πολλά τε καὶ χαρίεντα.

διατί δὲ ὠνόμασε νῦν τὸν Ἰσθμόν; ὅτι οἰκεῖός τις ἦν τῇ Πυθέᾳ, εἰς ὃν αὐτὴ ἡ ᾠδὴ γέγραπται, Εὐθυμένης, ὃς ἐνίκησεν Ἴσθμια. ὁ δὲ νῦς· πείσας σύγγαμβρον αὐτῷ γενέσθαι τὸν Ποσειδῶνα, ὅσις συνεχῶς ἀπὸ τῶν Αἰγῶν ἐπὶ τὸν τῶν Κορινθίων ἰσθμὸν φοιτᾷ, ὅπου δὴ μάλιστα αἱ συνεταὶ τῶν Κορινθίων τάξεις ὑποδέχονται τὸν θεὸν μετὰ βοῆς τῶν ἱππων, ὅτε δὴ καὶ διαφιλονεικοῦσιν ἀγωνιζομένοις σώμασιν ἀνδρείαν, ἴσως ἐν ταῖς Ἰσθμικοῖς

Ἔνθα μιν εὔφρονες ἴλαι
Σὺν καλάμοιο βοᾷ θεὸν δέκονται,
Καὶ σθένει γυίων ἐρίζοντι θρασεῖ. πότμος δὲ κρίνει
Συγγενὴς ἔργων περὶ
Πάντων. — Τὺ δ' Αἰγίνα, θεᾶς, Εὐθύμενες,
Νίκας ἐν ἀγκώνεσσι πιτνῶν
Ποικίλων ἔψαυσας ὕμνων. —

Α. γ'. Κ. ιά.

Ἦτοι μεταίξας τὰ καὶ
Νῦν ἐὸν μάτρῳ ἀγάλλει
Κεῖνο ὁμόσπορον ἔθνος Πυθέας.

Α

κοῖς ἀγῶσι. τότε δὲ ἑκάστη δείκνυται καὶ διακρίνεται τὸ συγγενὴς θράσος ἐπὶ πάντων τῶν τελεμένων ἔργων.

70. Ἔνθα μιν εὔφρονες ἴλαι] ἴλαι αἱ τάξεις, καὶ αἱ συνροφοὶ τῶν νέων αἱ ἐν τῷ χορῷ γινόμεναι· ὅθεν καὶ ἐλαπίναι. ὅπου αὐτῶν αἱ ἴλαι τῶν κωμαζόντων μετὰ τὰς νίκας, εὔφρονες οὖσαι, τετέχνηνται εὐφραντικαὶ, ἐκδέχονται μετὰ μελῶν· ὅπου γὰρ κῶμοι, ἐκεῖ ἐχθὲς εὐφροσύνη. εἶτα ἐποίησεν, διατὶ τῇ Ἰσθμιάδι ἐμνήσθη.

75. Τὺ δ' Αἰγίνα θεᾶς, Εὐθύμενες] ὁ Εὐθυμένης οἰκεῖος τῷ Πυθέᾳ. ὁ δὲ νῦς· σὺ δὲ, ὦ Εὐθύμενες, ἐν τῇ Αἰγίνῃ προσερχόμενος, ἐν τοῖς ἀγῶσι τῆς θεᾶς Νίκης ἠδυνήθης πολλῶν ὕμνων τυχεῖν. τοῦτο δὲ φησι διὰ τὸ εἶναι αὐτὸν παγκρατιαστήν.

78. Ἦτοι, μεταίξαντα (ὡς), καὶ νῦν τοὺς μάτρως ἀγάλλει] μήτρως ἢ ὁ τῆς μητρὸς ἀδελφὸς, ἢ ὁ κατὰ μητέρα συγγενής. χρῆται γὰρ οὕτως ὁ Πίνδαρος. ἀγάλλει σε τὸ ὁμόσπορον ἔθνος τὸ τῶν Αἰγινητῶν. καταλληλότερον δὲ ἔνιοι γράφουσι, Πυθέας, ἵν' ᾖ μήτρως Πυθέας. ἢ μόνον, φησὶ, Νέμεα νενικήκατε, ἀλλὰ καὶ ἐν Αἰγίνῃ τοὺς ἡλικιώτας ἐλθόντας οἴκοι, τῷ κράτει νενικήκατε. ἔστι δὲ ἀγὼν ἐν Αἰγίνῃ ἀγόμενος, τὰ Αἰάκεια, ὄντινα δηλαδὴ ἐνίκησεν ὁ Πυθέας. ὁ δὲ νῦς οὕτως· μετὰ τὰ προειρημένα ὑπὸ σοῦ, ἔτι καὶ ἐπὶ τῷ παρόντος ὁ σὸς μήτρως, ὦ Εὐθύμενες, ὁ Πυθέας ἀγάλλει τε καὶ σεμνύνει τὸ ὁμόσπορον ἔθνος καὶ συγγε-

Ἀ Νεμέα μὲν ἄραρεν,
Μείς τ', ἐπιχώριος ὃν Φίλης' Ἀπόλλων.
Ἄλικας δ' ἐλθόντας οἴκοι
Τ' ἐκράτει Νίσα τ' ἐν εὐαγ-
κεῖ λόφῳ. χαίρω δ', ὅτι
Ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις. —
Ἴσθι. γλυκεῖάν τοι Μενάνδρᾳ
Σὺν τύχᾳ μόχθων ἀμοιβὰν

Ε. γ'. Κ. ια'.

Ἐπαύρεο. χρὴ δ' ἀπ' Ἀθανᾶν
Τέκτον' ἀθλητᾶσιν ἔμμεν.

συγγενὲς ὑμῶν, τὸ τῶν Αἰακιδῶν, τὸ ὂν ἐν τῇ Αἰγίνῃ.

81. Ἀ Νεμέα μὲν ἄρηρε μείς τ' ἐπιχώριος] παρ' Αἰγινήταις Δελφίνιος μεὶς ἄγεται, Δελφινίῳ Ἀπόλλωνος ἱερὸς, ἐν ᾧ ἴσως φησὶ γεγενῆσθαι τὰ Νέμεα. πεφιλῆσθαι γάρ φησι τὸν μῆνα τοῦτον ὑπὸ τοῦ Ἀπόλλωνος. καὶ εἴη ἄν ὁ μὴν οὗτος, ἐν ᾧ θύουσιν Αἰγινῆται Ἀπόλλωνι οἰκιεῖῳ καὶ δωματίτῃ, καθά φησι Πυθαίνετος. Ἄλλως. μεὶς ἐπιχώριος, ὁ Δελφίνιος μὴν καλούμενος, καθ' ὃν τελεῖται Ἀπόλλωνος ἀγὼν, Ὑδροφόρια καλούμενος. ὁμοίως δέ, φησι, ἥρμοσται τῷ Πυθέᾳ καὶ οὗτος ὁ Δελφίνιος. ὁ δὲ νῦς· ἡ μὲν γὰρ Νεμέα καὶ προσήρμοσται αὐτῷ πρὸς τὸ νικᾶν ἀεὶ, καὶ ὁ πάτριος ἀεὶ παρ' Αἰγινήταις μὴν, ὃν ὁ Ἀπόλλων ἐφίλησεν. ἐλθόντας δὲ καὶ ὁμηλίκας ἐν Αἰγίνῃ νικᾷ.

84. Νίσα τ' ἐν εὐαγκεῖ λόφῳ] τυτέσιν ἐν Μεγάροις. διατίθεται δὲ Ἀπόλλωνι, καὶ Πύθια καλεῖται ὁ ἀγών. Ἄλλως. ἐν Μεγάροις, τῷ εὐθέτῳ χωρίῳ, ὁμοίως ἐνίκησεν τὰ Ἀλκαθοΐα. Νῖσος δὲ βασιλεὺς Μεγάρων. ἥδομαι δέ, φησιν, ὅτι τῶν καλῶν ἕνεκα πᾶσα φιλονεικεῖ ἡ πόλις.

87. Ἴσθι, γλυκεῖάν τοι Μενάνδρᾳ σὺν τύχᾳ] λείπεται τὸ, ὅτι. ὁ δὲ λόγος· ἴσθι, ἐπωνάσθης τῶν τοῦ Μενάνδρου μόχθων. ἢ ὅτω· γίνωσκε, ὅτι γλυκεῖαν ἀμοιβὴν ἐκαρπώσω τῶν πόνων ἐκ τῆς νίκης σὺν τῇ Μενάνδρου παρουσίᾳ· ὅτας δὲ Ἀθηναῖος, ἀλείπτης Πυθέου. τὸ δὲ τύχᾳ, ἀμφίβολον, ἢ σὺν τῇ σῇ τύχῃ, ἢ τῇ Μενάνδρου.

89. χρὴ δ' ἀπ' Ἀθανᾶν] χρὴ δὲ ἀπὸ Ἀθηνῶν τὰς ἀπισάτας εἶναι

Εἰ δὲ Θεμίσιον ἴκεις ὥς τ' ἀείδειν,
Μηκέτι ῥίγει. διὸς
Φωνὰν, ἀνὰ δ' ἱστία τεῖνον
Πρὸς ζυγὸν καρχασίῳ,

Πυκτάν

εἶναι τῶν ἀθλητῶν, ἐπειδὴ καὶ ὁ Μένανδρος Ἀθηναῖος. τοῦτο δέ φησιν, ἐπειδὴ πρότερον ὁ Θησεὺς Ἀθηναῖος ὢν εὗρε παγκράτιον ἄνευ μυριμήκων. ἡνίκα γὰρ ἐν τῷ Λαβυρίνθῳ ἐξησθένει πρὸς τὴν ἰσχὺν τοῦ Μινωταύρου, παγκρατίῳ αὐτὸν διαπαλαίων περιεγένετο. ὁ γὰρ εἶχε μάχαιραν· καὶ ὅτως ἐνομίσθη εὑρετὴς τῆς πυγμῆς. ἴσως ὖν ὁ Πίνδαρος ὐκ ἀργῶς μέμνηται τῶν Ἀθηνῶν, ἀλλὰ τοιοῦτόν τι ὑποσημαίνων. Ἄλλως. ἐν Ἀθήναις φησὶν εὑρῆσθαι τὴν παλαιστρικὴν ὑπὸ Φόρβαντος τοῦ παιδοτρίβου Θησέως. Φερεκύδης δὲ ἡνίοχον τὸν Φόρβαντά φησι Θησέως, σὺν ᾧ καὶ τὴν Ἀμαζόνα ἁρπάζει. καὶ Πολέμων δὲ ἱστορεῖ, πάλην εὑρηκέναι Φόρβαντα Ἀθηναῖον. ὅτι δὲ Θησεὺς παρ' Ἀθηναῖς ἔμαθε τὴν πάλην, Ἴστρος ἱστορεῖ.

91. Εἰ δὲ Θεμίσιον ἴκεις ὡς τ' ἀείδειν] εἰ δὲ βούλει, φησὶν, καὶ ἡδὲς ὑμνεῖν τὸν Θεμίσιον· ὅτος δὲ λέγεται πάππος τῷ Πυθέᾳ πρὸς μητρός· μηκέτι εὐλαβούμενός, φησι, φθέγγε, μηδὲ ὡς ὑπὸ ῥίγους συνεχόμενος, ἀντὶ τοῦ, μηδεμίαν εὐλάβειαν ἔχων, θαύμαζε, ὡς καὶ μεγαλοφώνως βοᾷν.

94. Πρὸς ζυγὸν καρχασίῳ] καρχήσιον τὸ ἀνώτατον τῆς κεραίας. τύτῳ τὸ ἱστίον προσανατείνυσιν, ὅταν θέλωσι δαψιλεῖ τῷ ἀνέμῳ χρῆσθαι ὑριδρομοῦντες. καὶ πύκτην ὖν αὐτὸν ὑμνεῖ καὶ παγκρατιαστὴν, διπλόην νικῶντα ἀρετὴν ἐν Ἐπιδαύρῳ, ὡς διττὰ Ἀσκληπιεῖα νενικηκότος αὐτοῦ, ἢ ὡς δύο σεφάνους εἰληφότος ἐν ἀγῶνι, πυγμῆς καὶ παγκρατίου. ταῦτα δὲ ἐπὶ τοῦ Θεμιστίου λέγει. ἢ ὅτω· ζυγὸν καρχησίῳ λέγει τὴν σύνθεσιν καὶ τὸ ἄκρον τοῦ καρχησίου, περιφραστικῶς δὲ, αὐτὸ τὸ καρχήσιον. ἢ καρχήσιόν φησι τὸ ἄκρον τοῦ ἱστίου. καρχήσιον γὰρ, ἐν ᾧ τὸν ἱμάντα ἐνείρουσι. θαύμαζε ὖν, φησὶν, αὐτὸν ὅτω μεγαλοφώνως καὶ θαῤῥοῦντως, ὥσπερ οἱ πλέοντες ἐπὶ πνεύματος ὑρίου, εἰς ἄκρον τὸ καρχήσιον ἀνατείνυσι τῆς κεραίας, ὅτως αἰόλον ἐκπέτασον τὸ ἄρμενον· ἀλληγορῶν δὲ ἐνδείκνυται τὴν περιουσίαν τῶν θαυμάτων· φθέγξαι δὲ, καὶ πυκτικὴν αὐτὸν καὶ παγκράτιον νενικηκέναι ἐν Ἐπιδαύρῳ, καὶ διπλῆς ἀρετῆς δόξαν κεκτῆσθαι, καὶ κομίζειν αὐτὸν Αἰγίνῃ φαιδρὰ τὰ ἄνθη μετὰ τῶν σεφάνων τῶν Χαρίτων, φθέγξαι. Προθύροις δὲ φησιν Αἰακοῦ (97), ἀντὶ τοῦ, ἐν τῷ ἡρῴῳ τοῦ Αἰακοῦ ἐν Αἰγίνῃ, ὅπερ ἐν τοῖς προθύροις ἀνάκεινται οἱ Ἐπιδαύριοι τῷ Θεμιστίῳ ἁπλοῖ σέφανοι· ἢ ὅτως· ὡς

95. Πυκτάν τε νιν καὶ παγκρατίῳ φθέγξαι ἑ-
λεῖν Ἐπιδαύρῳ δίπλοαν
Νικῶντ' ἀρετάν· προθύροισιν δ' Αἰακῦ
Ἄνθεα ποιάεντα φέρειν στεφανώ-
ματα, σὺν ξανθαῖσι Χάρισιν.

ὡς ἐν Αἰγίνῃ, ἐν τῷ τεμένει τῷ Αἰακῷ, ἐπὶ τῶν προπύλων τῶν ἀνακειμένων αὐτῷ στεφάνων.

96. Ἐπιδαύρῳ δίπλοαν] δίπλην, ἀντὶ τοῦ δεύτερον. ἐν δὲ Ἐπιδαύρῳ Ἀσκληπιῷ ἱερὸς ἀγὼν ἄγεται.

Περὶ

Περὶ τῶν κώλων τῆς τροφῆς καὶ ἀντιτροφῆς τῆ ἕκτῃ τῶν Νεμέων εἴδους.

Τῆς ἕκτης ᾠδῆς ἡ τροφὴ καὶ ἀντίτροφος κώλων ιγ΄. Τὸ α΄ ἰαμβικὸν (δίμετρον) ἀκατάληκτον. ἐν γὰρ τῇ δευτέρᾳ χώρᾳ ἐστὶν ὁ σπονδεῖος. πολὺ δὲ τοῦτο παρὰ τοῖς Λυρικοῖς. Τὸ β΄ ἰαμβικὸν πενθημιμερές. Τὸ γ΄ τροχαϊκὸν πενθημιμερὲς, ἢ Ἰωνικὸν δίμετρον βραχυκατάληκτον, ἀπὸ τροχαϊκῆς συζυγίας. Τὸ δ΄ διπλῆ περίοδος, ἣ καλεῖται τροχαϊκὴ ἀπὸ ἰαμβικῆς. Τὸ ε΄ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. Τὸ ς΄ ἰαμβέλεγος λείπων τῇ πέμπτῃ συλλαβῇ, ἢ ἀναπαιστικόν. Τὸ ζ΄ τὸ αὐτό. Τὸ η΄ ἐπιχοριαμβικὸν, ἐξ ἀντισπάστου καὶ χοριάμβου, ἀδιάφορον παρὰ τὴν ἀρχήν. Τὸ θ΄ δακτυλικὸν πενθημιμερές. Τὸ ι΄ τὸ αὐτό. Τὸ ια΄ προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ΄ Ἰωνικὸν δίμετρον (καταληκτικὸν) ἀπὸ τροχαϊκῆς συζυγίας. Τὸ ιγ΄ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ὅ ἐστι Φαλαίκειον παρὰ συλλαβήν, ἧ ἡ ἀρχὴ τὸν ἀντίσπαστον ἔχει ἀδιάφορον τοῦ ἄρχοντος ποδός.

Περὶ τῆς ἐπῳδῆς αὐτοῦ. Ἡ ἐπῳδὴ κώλων ια΄. Τὸ α΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ β΄ ἰαμβικὸν πενθημιμερές. Τὸ γ΄ ἡ τελευταία ἀπόδοσις ἀναγκάζει δακτυλικὸν γενέσθαι τὸ κῶλον. Τὸ δ΄ προσοδιακὸν δίμετρον ἀπὸ Ἰωνικοῦ, καὶ ἐνόπλιον. Τὸ ε΄ Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ Ἰωνικῆς συζυγίας. Τὸ ς΄ δακτυλικὸν τρίμετρον. Τὸ ζ΄ Ἰωνικὸν δίμετρον βραχυκατάληκτον. Τὸ η΄ ἀναπαιστικὸν δίμετρον

μετρον καταληκτικὸν (εἰς) δισύλλαβον. Τὸ δ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον Ἀλκμαϊκόν. ὁ γὰρ τέταρτος πὼς σπονδεῖος. Τὸ ί τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ιά δακτυλικὸν πενθημιμερές.

Περὶ τῆς ἐπιγραφῆς αὐτῆ. Ἀλκιμίδᾳ Αἰγινήτῃ. τοῦτον τὸν Ἀλκιμίδαν ἀναγράφεσθαί φησιν Ἀσκληπιάδης ἀντὶ Αἰγινήτᾳ Κρῆτα, ὅτως· Ἀλκιμίδας Θέωνος, Κρής.

ARGVMENTVM SEXTI CARMINIS.

Idem est deorum hominumque genus, verum vis naturalis ita vtrumque distinguit, vt alterum pereat, dii immortales sint. Tamen et mente et corpore similes quodammodo sumus diis, etsi, quam metam nobis Fatum posuerit, nescientes (1 — 3). Alcimidas quoque cognationem cum diis arguit. Vt arua alternatim nunc fruges dant, nunc quiescunt, sic (alternis ex hac stirpe) post auum Praxidamantem hic luctator Nemea redit (— 29). Auus enim primus Aeacidis (genti suae) coronam ab Alpheo (Olympia), quinquies Isthmicam, ter Nemeacam reportauit, et Soclidae, Agesimachi filiorum natu maximi, oblivionem sustulit. Tres illi (Agesimachus, Praxidamas, Alcimidas) summas obtinuerunt victorias (— 41). Nulla alia gens tam saepe pugilatu vicit. Verae sunt hae laudes (— 47). Sed aliis missis hunc (Alcimidam) celebra, Musa! Mortuorum res poetae et cantores laudarunt. Non desunt Bassidis praeclara facinora, hymnorum multorum argumenta (— 58). Nam Callias ex hac gente in Pythiis caestu vicit, et circa vesperam pompa atque carmine illustratus est, et in Isthmicis trietericis atque Nemeis ludis coronatus est (— 74). Virtutes Aeacidarum amplam scriptoribus dederunt materiem Aeginae laudandae (— 80). Volat per terras et maria ipsorum nomen; ad Aethiopas vsque, Memnone occiso, peruenit, quem Achilles, certamine orto, hasta interfecit (— 90).

Hanc

Hanc antiquiores (poetae) laudum materiem habuerunt, quos in eodem ſtudio ſequor. Fluctus qui circa nauem voluuntur, animum dicuntur perturbare (— 97). Sed ſponte hoc onere ſuſcepto, vigeſimam quintam celebro victoriam, quam genti attulit Alcimidas (— 104). Duas victorias Olympicas tibi, puer, et tibi, Timida, ſors iacta eripuit. Celerrime vero Meleſias manus et robur moderatur (— fin.).

ΕΙΔΟΣ ε'.

ΑΛΚΙΜΙΔΗ ΑΙΓΙΝΗΤΗ

ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗ.

Σ. α'. Κ. ιγ'.

Ἓν ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ
Μιᾶς δὲ πνέομεν
Μητρὸς ἀμφότεροι.
Διείργει δὲ πᾶσα κεκριμένα
Δύναμις, ὡς τὸ μὲν οὐδὲν,

Ὁ

1. Ἓν ἀνδρῶν, ἓν θεῶν γένος] ἐκ μιᾶς μητρὸς ὑπάρχομέν, φησι, καὶ ζῶμεν, τῆς Γῆς, οἵ τε θεοὶ καὶ οἱ ἄνθρωποι. ἐμφαίνει δὲ διὰ τοῦ προοιμίου, ὅτι κοινωνίαν τινὰ πρὸς τοὺς θεοὺς οἱ ἄνθρωποι ἔχομεν τῇ εὐφυΐᾳ καὶ τοῖς ἔργοις τοῦ νοῦ. ὅτι δὲ κοινὸν ἡμῖν τοῖς ἀνθρώποις πρὸς τοὺς θεοὺς τὸ γένος, καὶ Ἡσίοδος μαρτυρεῖ, ἐπὶ μὲν τῆς τῶν θεῶν γενέσεως λέγων (Theog. 126 f.)·

Γαῖα δέ τοι πρώτιστον ἐγείνατο
ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόεντ', ἵνα μιν
περὶ πάντα καλύπτῃ.

Οὐρανοῦ δὲ καὶ Γῆς εἰσὶν οἱ περὶ Κρόνον καὶ οἱ ἄλλοι Τιτᾶνες· ἐκ δὲ τῶν Τιτάνων οἱ ὕστεροι θεοί· Ἥφαιστος δὲ Πανδώραν ποιεῖ (Hes. Opp. et D. 60 f.)·

Ἥφαιστον δ' ἐκέλευε περικλυτὸν
ὅττι τάχιστα
Γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν
Καὶ σθένος, ἀθανάτης δὲ θεῆς
εἰς ὦπα εἰσκεῖν.

ἀπὸ δὲ τῆς Πανδώρας εἰς ἡμᾶς τὸ γένος διῆκτον. οὕτως ἓν ἐσι θεῶν καὶ ἀνθρώπων τὸ γένος. ἀφορᾷ δὲ καὶ πρὸς τὸ εὐφυὲς τοῦ Ἀλκιμίδη τὸ προοίμιον.

4. Διείργει δὲ πᾶσα κεκριμένα δύναμις] ἡ ἀμετάβλητος, ἢ ἡ κεχωρισμένη. ὁ δὲ νοῦς· διαχωρίζει δὲ ἀπ' ἀλλήλων ἡμᾶς ἡ ὡρισμένη δύναμις τῶν θεῶν· ἵνα ἕξωθεν ἀκούσωμεν, τοσοῦτον, ὥστε τὸ μὲν τῶν ἀνθρώπων εὐδιάφθορον εἶναι γένος, τὸ δὲ τῶν θεῶν ἐν ἀσφαλεῖ καὶ βεβαίῳ καὶ ἀφθαρσίᾳ τυγχά-

Ὁ δὲ χάλκεος ἀσφαλὲς αἰεὶ ἔδος
Μένει ἐρανός. ἀλλά τι προσφέρομεν
Ἔμπαν, ἢ μέγαν νόον, ἤ-
τοι φύσιν, Ἀθανάτοις·
Καί περ ἐφαμερίαν
Οὐκ εἰδότες ἐδὲ μετὰ
Νύκτας ἄμμε Πότμος ἄν-
τιν' ἔγραψε δραμεῖν ποτὶ ςάθμαν. —

Α. α'. Κ. ιγ'.

Τεκμαίρει καί νυν Ἀλκιμίδας
Τὸ συγγενές. — ἴσον δ'

Ἄγχι

συγχάνειν. ἢ ὅτω· τὰς θεὰς καὶ ἡμᾶς χωρίζει ἡ δύναμις· οἱ μὲν γὰρ ἀθάνατοί εἰσι καὶ ἰσχύουσιν, ἡμεῖς δὲ ὀδέν. ἢ ὅτω· τὸ μὲν ἡμέτερον γένος τὸ μηδὲν ἐσι καὶ ταπεινὸν, τὸ δὲ θεῖον πολλὴν ἔχει τὴν δύναμιν. καὶ ἐν Πυθιονίκαις (Pyth. VIII, 136) Σκιᾶς ὄναρ ἄνθρωπός, φησιν.

7. Ἀλλά τι προσφέρομεν ἔμπαν] ἀλλ' ὅμως, καίτοι ὀδαμινοὶ ὄντες, φησὶν, ἐμφερές τι ἔχομεν τοῖς θεοῖς· ἢ κατὰ νῦν· θεὸς γάρ τις ἐν ἡμῖν, κατὰ τὸν Εὐριπίδην (Fragm. ap. Valcken. Diatr. p. 238.)· ἢ κατὰ τὰς εὐφυίας τῶν σωμάτων καὶ τὰ κάλλη. ἢ ὅτως· ὅμως μέντοι ἐοικαμεν προσεοικέναι τοῖς θεοῖς κατά τι, ἢ κατὰ νῦν, ἢ κατὰ τὴν εὐφυίαν. ὁ δὲ νῦς· προσφερεῖς, φησὶν, ἐσιμὲν τοῖς θεοῖς, καίπερ ὐκ εἰδότες εἴτε ἐν ἡμέρᾳ εἴτε ἐν νυκτὶ πότμος ἔγραψε τὴν εἱμαρμένην ἡμῖν καὶ τὸν θάνατον. ἢ ὅτω· καί τοι μὴ γινώσκοντες μήτε τὰ πρὸς τὴν ἡμέραν, μήτε τὰ διὰ νυκτὸς ἐσόμενα, μηδὲ ὅσις ἡμᾶς μόρος κατακέκρικεν (εἰς) σκοπόν τινα καὶ ςάθμην λαβεῖν. ςάθμην δὲ φησι τὸν θάνατον κατὰ λόγον. ἐπίσασις γὰρ ἡμῖν ἐσι τῆ παντὸς βίᾳ καὶ ςάσις καὶ τέλος. ἢ ςάθμην ἀκουτέον ἐκ μεταφορᾶς τὴν περιγραφὴν τῆ βίᾳ καὶ τὴν οἴκησιν.

14. Τεκμαίρει δὲ καὶ νῦν (sic) Ἀλκιμίδας] ὅτι δὲ συγγενεῖς ἐσμὲν τῶν θεῶν, ὁ Ἀλκιμίδας, φησὶ, σαφὲς ποιεῖ τεκμηριώσθαι ἡμᾶς. εἰς ὃ γὰρ καὶ αὐτὸς ἔπραξε τῆ εὐφυΐᾳ ἑαυτῆ, ἐπέδειξεν τὴν πρὸς τὸ θεῖον ἡμῶν συγγένειαν, ἐγγύς τι καὶ παραπλήσιον εἰργασμένος ταῖς καρποφόροις ἀρούραις. ὁ δὲ νῦς· τεκμηριοῖ δὲ καὶ σαφὲς εἶναι ποιεῖ τὸ πρὸς τὰς θεὰς ἡμῖν διὰ τὴν εὐφυίαν συγγενὲς καὶ νῦν Ἀλκιμίδης τοῖς αὐτῆ κατορθώμασιν.

Ἄγχι καρποφόροις
Ἀρούραισιν, αἵ τ' ἀμειθόμεναι
Τόκα μὲν ὤν βίον ἄνδρεσ-
σιν ἐπήετανὸν πεδίων ἔδοσαν,
Τόκα δ' αὖτ' ἀναπαυσάμεναι σθένος ἔ-
μαρψαν, ἦλθέ τοι Νεμέας

Ἐξ

17. Αἵ τ' ἀμειβόμεναι] ἡ γὰρ διὰ παντός, φησιν, ἐξομαλίζουσι τὴν εὐκαρπίαν αἱ ἄρουραι, ἀλλὰ παρὰ χρόνους τινὰς ἀναπαύλης τυγχάνουσιν, εἶτα ἀναπαυσάμεναι πάλιν ἀποδιδόασι πλείονας τὰς καρπούς. ἀμειβόμεναι δὲ αἱ ἄρουραι, τουτέστιν ἐξ ἀμοιβῆς παρ' ἑαυτὸν φέρουσαν τὸν βίον ἔδοσαν, τουτέστι τὰ πρὸς τὸν βίον ἀφθονίαν καὶ πλοῦσια. διὰ γὰρ τῆ ἐπιστατικῆ τοῦτο βούλεται δηλοῦν. Ἄλλως. τῆ γένει τῆ Ἀλκιμίδα οἱ μὲν ἠγωνίσαντο, οἱ δὲ οὔ· ἀλλὰ συμβέβηκε τύχῃ τινὶ παρὰ μέρος ἀθλεῖν. νικᾷ γὰρ Ἀγησίμαχος, σχολάζει Σωκλείδης ὁ τούτου παῖς, εἶτα Πραξιδάμας ὁ ἐκ Σωκλείδου ἀναγώνιος γίνεται· Πραξιδάμαντος πάλιν σχολάζει ὁ υἱὸς, ὁ τῆ νικηφόρῳ πατρὶ. τούτῳ γὰρ μεταξὺ γεγενημένῳ ἐν τῷ γένει διαλείμματος ὑπεραπολογεῖται, καὶ παρομοιοῖ αὐτὸν τῇ γῇ τῇ παρ' ἑαυτὸν καὶ ἐκ διαλειμμάτων εὐκαρπούσῃ, λέγων ὅτι, δηλοῖ δὲ καὶ σαφὲς ποιεῖ τὸ ἑαυτὸ συγγενὲς Ἀλκιμίδης, ὅπως ἔστιν ἰδεῖν ὅμοιον τῇ σπορίμῃ γῇ καὶ ταῖς ἀρούραις, αἵτινες ἐξ ἀμοιβῆς καρποφορέουσι, ποτὲ μὲν ἀδιάλειπτα τὰ πρὸς τὸν βίον παρέχουσιν ἐκ τῆς γεωργίας, ποτὲ δὲ ἀναπαυσάμενοι καὶ σχολάσασαι τὴν ἑαυτῶν δύναμιν ἀνέλαβον. τὸ δὲ ὑπερβατόν· τεκμαίρει καὶ νῦν Ἀλκιμίδης, ὃς ἦλθεν ἐξ ἐρατῶν ἄθλων, παῖς ἀναγώνιος, ἰδεῖν τὸ συγγενὲς καὶ πρόσφορον τῇ γῇ, ἥτις ἐξ ἀμοιβῆς σπειρομένη ἀναπαύεται καὶ δίδωσι καρπὸς πολλούς.

21. Ἦλθέ τοι Νεμέας ἐξ ἐρατῶν ἀέθλων] καὶ ὁ Ἀλκιμίδης ἦν παραπλήσιος ταύταις ἐγένετο. ὡς γὰρ αὗται ποτὲ μὲν ἀναπαύονται, ποτὲ δὲ καρποφοροῦσι, τῆς γῆς ἐκ διαλείμματος καρποφορησάσης, οὕτω καὶ τὸ γένος τῆ Ἀλκιμίδα. ὁ μὲν γὰρ πάππος τῆ Ἀλκιμίδα ἐνίκησεν, ὁ δὲ πατὴρ οὐκέτι. ὁ δὲ μὴ νικήσας πατὴρ ἐν ἀναπαύσει παραβέβληται τῶν ἀρούρων· ὁ δὲ Ἀλκιμίδας πάλιν νικήσας τῇ μετὰ τὴν ἀνάπαυσιν καρποφορίᾳ, ὃς μετερχόμενος, φησι, τὴν ἐκ Διὸς μοῖραν, τουτέστι τὸν Νεμεακὸν στέφανον (τὰ γὰρ Νέμεα τῆ Διὸς) κατὰ τὸ ἦχνι τῆ Πραξιδάμαντος τὸν ἑαυτῆ πόδα νέμει, τουτέστι, μερίζει. ὡς γὰρ ἐκεῖνος ἐνίκησεν, οὕτω καὶ οὗτος. ὁ δὲ νῦς· ἦλθεν ἦν πρὸς τὸ παρὸν ἀπὸ τῶν Νεμεακῶν ἀγώνων τῶν ἐρασμίων ὁ ἀνδρειότατος Ἀλκιμίδης, ὃς ἐκ θεῶν ταύτην κληρωθεὶς τὴν εὐτυχίαν νῦν ἐφάνη περὶ τὴν τῆς πάλης νίκην, ὁμοι-

Ἐξ ἐρατῶν ἀέθλων
Παῖς ἐναγώνιος, ὃς
Ταύταν μεθέπων Διόθεν
Αἶσαν, νῦν πέφαντ' ἐκ ἀ-
μοιρος ἀμφὶ πάλᾳ κυναγέτας,

Ε. ά. Κ. ιά.

Ἴχνεσιν ἐν Πραξιδάμαν-
τος ἐὼν πόδα, νέμων
Πατροπάτορος ὁμαιμίᾳ. —
Κεῖνος γὰρ Ὀλυμπιόνι-
κος ἐὼν Αἰακίδαις
Ἔρνεα πρῶτος ἀπ' Ἀλφεῦ,
Καὶ πενταέτις Ἰσθμοῖ
Στεφανωσάμενος, Νεμέα δὲ τρὶς,
Ἔπαυσε λάθαν Σωκλείδα,
Ὃς ὑπέρτατος Ἀγησιμάχω
Υἱέων γένετο. —

Υ 2 Σ. β'.

ἄμοιρος, ἀλλ' ὥσπερ τις ἀγαθὸς κυνηγέτης, οὕτω κατ' ἴχνος βαίνων τῷ Πραξιδάμαντος τῷ ἑαυτοῦ πάππῳ. ὁ δὲ Ἀρίσταρχος οὐκ ἐπὶ τῷ διαλιπεῖν τὸν πατέρα παραβεβλῆσθαί φησι τῇ γῇ τῶν ἀνθρώπων, ἀλλα δι' αὐτὸν τὸν Ἀλκμᾶνα, πρότερον μὲν ὄντα παῖδα, νικήσαντα, διαλιπόντα δὲ χρόνον νῦν πάλιν νενικηκέναι.

30. Κεῖνος γὰρ Ὀλυμπιονίκης ἐὼν.] ἐκεῖνος ὁ Πραξίδαμος, φησί, πρῶτος ἐγένετο τῶν Αἰγινητῶν πάντων Ὀλυμπιονίκης, ἢ τῷ γένους ἑαυτῷ· ὁ δὲ παρὼν Ἀλκμᾶνος οὐκ ἐποίησε ληθαργησθῆναι τὸν ἑαυτοῦ πατέρα, μὴ ἀγωνισάντων τῶν ἀγωνισμάτων, ἀλλὰ διὰ τῆς ἑαυτοῦ ἀνδρείας κἀκεῖνον ἐσέμνυνε τὸν Σωκλείδην τὸν ἑαυτοῦ πατέρα. ὁ δὲ Δίδυμος, Σωκλῆς ἔστι τὸ ὄνομα, φησί· παρήγαγε δὲ αὐτὸ πατρωνυμικῶς, ὡς ἔθος ἐστὶ τοῖς ποιηταῖς. ὡς ὅν μὴ νενικηκότος τοῦ Σωκλείδου ὅτος τὴν περὶ ἐκεῖνα νίκην ἐπαίνεσε, νικήσας τοὺς προειρημένους στεφάνους. τὸ δὲ ὑπέρτατος ἀντὶ τοῦ πρεσβύτερος. ὁ γὰρ Σωκλείδης πρεσβύτερος μὲν τῶν υἱῶν γέγονεν Ἀγησιμάχου, πατὴρ δὲ Πραξιδάμαντος.

38. Ἐπεὶ

Σ. β'. Κ. ιγ'.

Ἐπεὶ οἱ τρεῖς ἀεθλοφόροι
Πρὸς ἄκρον ἀρετᾶς
Ἦλθον, οἵ γε πόνων
Ἐγεύσαντο. σὺν θεῷ δὲ τύχᾳ
Ἕτερον ἄ τινα οἶκον
Ἀπεφάνατο πυγμαχία πλεόνων
Ταμίαν ςεφάνων μυχῷ Ἑλλάδος ἁ-
πάσας. — ἔλπομαι μέγα εἰ-
πὼν τύχειν ἄντα σκοπῷ,
Ὥς ἀπὸ τόξα ἰείς. —

Εὐθυν.

38. Ἐπεί οἱ τρεῖς ἀεθλοφόροι] ἄρθρον ἔσι τὸ οἱ ἀντὶ τοῦ, τῷ, τυτέστι τῷ Σωκλείδῃ. τρεῖς γὰρ παῖδες ἐγένοντο αὐτῷ, ὧν ὁ Πραξιδάμας πρῶτος. οὗτινες παῖδες, φησιν, εἰς ἄκρον ἦλθον τῆς ἀρετῆς τῆς ἀθλητικῆς, τῶν τε πόνων τῶν ἀθλητικῶν μετέσχον καὶ ἐγεύσαντο. περιττεύει ὖν ὁ, τε. (e vulgari lectione, οἵ τε v. 40.) πρεῖς γὰρ ἀθλοφόρους εἶπε, τοὺς ἀδελφοὺς δηλαδὴ τοῦ Σωκλείδου. τῷ δὲ αὐτὸς μὴ ἡθληκέναι ὁ Σωκλείδης τὸν υἱὸν ἐγύμνασεν, ὅς τὴν περὶ αὐτὸν λήθην ἐσκέδασε νικήσας· ἀνεκήρυξε γὰρ τὸν πατέρα. τὸ δὲ σὺν θεῷ τύχᾳ, ἀντὶ τοῦ, τῇ ἐκ θεοῦ τύχῃ, οὐδένα ἕτερον οἶκον ὕτως ἀπέδειξε καὶ ἀπέφηνε, φησι, πλείως ἀπενηνοχότα ςεφάνους.

44. Μυχῷ Ἑλλάδος] ἀμφίβολον, πότερον ὡς ἐν Ἰσθμῷ πολλὰς νίκας εἰληφότος ὕτως εἶπεν, ἐπεὶ μυχὸς τῆς Πελοποννήσου Κόρινθος, ἐν ᾗ τὰ Ἴσθμια ἄγεται. Ὅμηρος (Il. VI, 152)·

Ἔτι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο.

ἢ, ἐπεὶ μυχοί εἰσιν τῶν χωρῶν αἱ πόλεις, αἱ κρύψεις ὑπάρχουσαι ἀντὶ τῶν πεδινῶν τόπων, τὰς πόλεις, ἐν αἷς ἐνίκησαν, μυχοὺς Ἑλλάδος κέκληκεν· ἐν ταῖς Ἑλλαδικαῖς πόλεσιν, ἐν ἑκάτῳ μυχῷ τῆς Ἑλλάδος.

45. Ἔλπομαι μέγα εἰπὼν ἄντα σκοπῷ τυχεῖν (sic)] ἔνιοι γράφουσιν, ἄν τετυχεῖν. ἐλπίζω ὖν, φησιν, μεγαλοβρημονήσας καὶ καυχησάμενος ἐπιτυχεῖν ἂν τῷ σκοπῷ, ὡς ἀπὸ τόξα πέμπων βέλος. τὸ δὲ τετυχεῖν ὅμοιον τῷ λελαβέσθαι. γράφουσι δὲ καὶ ἄντα, ἵν' ᾖ ὁ λόγος· ἐναντίον τι καὶ εὐθὺ τοῦ σκοποῦ. Ἄλλως. προσδοκῶ δὲ μεγάλως ἐπαινέσας τὸν νικηφόρον ἐπιτυχεῖν τῷ σκοπῷ, ὡς ἄριστος τοξότης. τῷ δὲ (47), ὥτ' (sic) ἀπ

Εὔθυν' ἐπὶ τῦτον, ἄγε,
Μοῖσα, ἕρον ἐπέων εὐκλέ-
α. παροιχομένων γὰρ ἀνέρων,

Α. β'. Κ. ιγ'.

Ἀοιδοὶ καὶ λόγιοι τὰ καλά
Σφιν ἔργ' ἐκόμιξαν.
Βασσίδαισιν ἅτ' ὰ
Σπανίζει· παλαίφατος γενεὰ,
Ἴδια ναυτολέοντες

Υ 3 Ἐπι-

ἀπὸ τόξυ, τὸ ὥτε Δωρικῶς ἀντὶ τῦ ὥστε φησιν.

48. Εὐθὺν ἐπὶ τῦτον ἄγε Μοῖσα] ἐπὶ τῦτον ἦν τὸν σκοπὸν, ὦ Μῦσα, τὰς σὰς ἄγε λόγυς τὰς εὐκλεεῖς, καὶ ἐπαίνει τὸν νικηφόρον. ἢ ὕτως· ἐπὶ τὸν σκοπὸν, ὃν προεῖπον, τὴν ἀριότητα τῶν ποιημάτων ἄγε.

50. Παροιχομένων γὰρ ἀνέρων] τῶν γὰρ τεθνηκότων ἀνδρῶν τὰ κάλλιστα κατορθώματα διὰ τῶν οἰκείων λόγων οἱ ποιηταὶ τῇ μνήμῃ παραδιδόασι, καὶ οἱ λοιποὶ τῶν σοφῶν. ἀοιδοὶ μὲν γὰρ οἱ ποιηταὶ, λόγιοι δὲ οἱ πρότερον τὰ κατὰ τὰς πόλεις διηγύμενοι.

53. Βασσίδαισιν ἅτ' ὰ σπανίζει] ὁ Δίδυμός φησι· προσήκει γράφειν Βαδίδαι. γενέσθαι γάρ τινα Βαδίωνα ἐν Αἰγίνῃ, ἀφ' ὃ κατάγεσθαι γενεὰν τὴν Βαδιδῶν. μνημονεύειν δὲ φασι τῦ Βαδίωνος Πυθαίνετον ἐν πρώτῳ Αἰγινητῶν, γράφων ὕτως· περὶ δὲ ταῦτα τῶν λεγομένων λέγεται Βαδίωνα τυγχάνειν διενηνεγμένον πρὸς Οἰνώνην τὴν ἑαυτῦ θυγατέρα. ὁ δὲ νῦς ὕτως· ἅτινα κάλλιστα ἔργα ἐν τοῖς Βασσίδαις ὰ σπανίζει, ἀλλὰ πλεονάζει, ὐδὲ ἐν τῷ γένει τῷ ἐξ ἀρχῆς διαβοήτῳ. Βάσσος γὰρ πρόγονος τῶν ἀνωτέρω τῦ Ἀλκιμίδυ. ἔστι δὲ καὶ φυλὴ ἐν Αἰγίνῃ, Βασσιάδαι. ἢ ὕτως· ἡ τῶν Βασσιδῶν, φησὶ, γενεὰ ὰ σπανίζει καλῶν ἔργων. διὸ οἱ ἀοιδοὶ καὶ οἱ λόγιοι κομίζουσιν αὐτῶν τὰ ἔργα τὰ καλά. ἐὰν προφερώμεθα, ἅτε ὰ σπανίζει, τὸν λόγον ὕτω κατασήσομεν· ὧν ὰ σπανίζει ἡ παλαίφατος γενεὰ, τῶν προειρημένων ἔργων. ἢ ὕτω· Βασσίδαι οἱ καθ' αὐτό· εἶτα ἀπ' ἄλλης ἀρχῆς· ἅτ' ὰ σπανίζει τὰ προειρημένα ἔργα· ἅτ' ὰ σπανίζει τοῖς Βασσίδαις. ἢ, Βασσίδαισιν ἅτ' ὰ σπανίζει· εἶτ' ἀπ' ἄλλης ἀρχῆς, παλαίφατος, ᾧ συναπτέον τὸ ἐπιφερόμενον.

55. Ἴδια ναυτολέοντες] οἱ Βασσίδαι, φησὶν, ἴδια ναυτολοῦντες, τυτέστιν, ἴδια χορηγοῦντες καὶ κομίζοντες ἔργα τοῖς τῶν Πιερίδων ἀρό-

Ἐπικώμια, Πιερίδων ἀρόταις
Δυνατοὶ παρέχειν πολὺν ὕμνον ἀγε-
ρώχων ἐργμάτων ἕνεκεν.
Καὶ γὰρ ἐν ἀγαθέᾳ,
Χεῖρας ἰμάντι δεθεὶς,
Πυθῶνι κράτησεν ἀπὸ
Ταύτας αἷμα πάτρας χρυ-
σαλακάτῳ ποτὲ Καλλίας ἀδῶν

Ε. β'. Κ. ιά.

Ἔρνεσι Λατοῦς, παρὰ Κα-
σαλίᾳ τε Χαρίτων

Ἐσπέ-

ἀρόταις, τυτθὶ τοῖς ποιηταῖς, ἀνυμνεῖν θέλοντες, ὡς ἐπακτοῖς χρήσονται ἐπαίνοις διὰ τὸ σπανίζειν αὐτὸς ἔργων, ἀλλὰ τοῖς αὐτῶν. πολλὰ γὰρ δεδράκασιν. ἐπικώμια δὲ τὰ εἰς κῶμον ὑμνεῖσθαι ἐπιτήδεια τῆς νίκης. μετὰ γὰρ τὸ νικῆσαι ἐκώμαζον μετὰ τῶν ἡλικιωτῶν. ἢ ὥτω· ὃ δεόμενοι δι' ἑτέρων κοσμήσασθαι, ἀλλ' ἑαυτοῖς ἀρκέμενοι πρὸς κόσμον, ἴδια παρακομίζοντες ἔργα τοῖς ποιηταῖς. ναυτολοῦντες δὲ, ἀντὶ τοῦ ἐπιφορτίζοντες, οἱονεὶ σωρεύοντες ἐκ τῶν ἰδίων κόπων τὰ ἐγκώμια. Ἀγερώχων δὲ ἐργμάτων (57) ἀντὶ τοῦ, μεγάλων ἔργων. δυναμένοις ἓν ποῖς ποιηταῖς παρέχειν πολλῶν ἐπαίνων χορηγίαν ἕνεκεν τῶν πραττομένων αὐτοῖς ἔργων ὀλβίων.

59. Καὶ γὰρ ἐν ἀγαθέᾳ Χεῖρας ἰμάντι δεθεὶς] καὶ γὰρ ἐν θαυμασίᾳ τὰ πυκτικὰ σκευὴ μετὰ χεῖρας λαβὼν ἐνίκησεν, ἀπὸ τῆς αὐτῆς συγγενείας ὧν καὶ πατρίδος ὁ Καλλίας· ἢ ὅτι πυκτεύσας ἐν Πυθοῖ ἐνίκησεν ἀρέσας τῷ Ἀπόλλωνι καὶ τῇ Ἀρτέμιδι, ἀπὸ τῆς αὐτῆς ὢν πατρίδος, ἤτοι τῆς Αἰγίνης, καὶ ἐκ τοῦ αὐτοῦ αἵματος, τυτέστιν, ἐκ τῆς αὐτῆς φατρίας τῶν Βασσιδῶν, Καλλίας (63), ὃς Κρέοντος ὑπῆρχε παῖς. χρυσηλάκατον δὲ εἶπε τὴν Λητὼ, τὸ τῆς Ἀρτέμιδος μετενεγκὼν ἐγκώμιον ἐπὶ τὴν μητέρα τὴν γεννήσασαν.

64. Παρὰ Κασαλίᾳ τε Χαρίτων] ἀπὸ τῆς πηγῆς τῆς Δελφῶς ὠνόμασεν. ἐκωμάσθη γὰρ νικήσας ὑπὸ τῶν ἡλικιωτῶν ἐσπέριος. Χαρίτων γὰρ ὁμάδῳ οἱ μὲν τῷ χορῷ ἀποδεδώκασιν, οἱ δὲ τῷ χαριεστάτῳ θορύβῳ τῆς ἐπὶ τῇ νίκῃ πανηγύρεως, φασιν, ἐλαμπρύνετο κωμάζων· ἤτοι μέχρις ἑσπέρας

Ἑσπέριος ὁμάδῳ φλέγεν·
Πόντῳ τε γέφυρ' ἀκάμαντος ἐν Ἀμφικτυόνων
Ταυροφόνῳ τριετηρίδι·
Τίμασε Ποσειδάνιον ἀν' τέμενος· βοτάνα τέ νιν
Ποθ' ἁ λέοντος νικάσαντ' ἔρεψ' ἀσκίοις Φλιοῦντος ὑπ' ὠγυγίοις ὄρεσιν. —

ρας ἔλαμπεν. ὁ δὲ νῦς· παρὰ δὲ τῇ Κασταλίᾳ πηγῇ, τετέχνιν, ἐν Δελφοῖς, τῷ ἀγῶνι νικήσας, τῇ τῶν χορευτῶν χάριτι ἐπὶ τῇ νίκῃ, μέχρις ἑσπέρας ἡ νίκη αὐτῷ καὶ ἡ δόξα ἔλαμπεν. ἦθος γὰρ ἦν καὶ πανυχίδας ὕμνων τοῖς νενικηκόσιν ἀποτελεῖσθαι. τοῦτο δὲ ὡς κατὰ τὰ Πύθια νικήσαντος αὐτοῦ, ὡς καὶ ἐν Ἰσθμίοις νενικηκότος αὐτοῦ· πόντῳ γὰρ γέφυρα ὁ Ἰσθμός· τεσσαράκοντα τριῶν γὰρ σταδίων ἀμφιθάλασσος ἦν. καί ἐστι κατὰ τὸ ἔτυμον γέφυρα, ἡ τῆς γῆς φέρουσα ὁδός. ἀπὸ δὲ τοῦ προκειμένου ἄτοπον προσυπακουστέον τὸ, φλέγε πάντῃ γέφυρα.

69. Ταυροφόνῳ τριετηρίδι.] τετέχνιν, ἐν ᾗ ταῦρος φονεύσαι καὶ ἱερουργῆσαι τῷ Ποσειδῶνι, ὡς καὶ Ὅμηρος (Odyss III. 6.)·

Ταῦρος παμμέλανας Ἐνοσίχθονι κυανοχαίτῃ.

τριετηρίδι δὲ, διὰ τὸ διὰ τριετηρίδος τὸν Ἰσθμικὸν ἀγῶνα τελεῖσθαι. Κρεοντίδαν δὲ τὸν Καλλίου φησὶν, ὡς τοῦ πατρὸς αὐτοῦ Κρέοντος καλεμένου.

71. Βοτάνα τε νίν ποθ' ἁ λέοντος] βέλεται ἡ ἱστορία, ἐκ τοῦ Ἀρχεμόρου αἵματος ἀναδεδόσθαι τὸ βοτανίδιον. οἱ δὲ, ὃ καὶ βέλτιον, βοτάνη λέοντος ἡ Νεμέα, παρόσον κατ' αὐτὴν διῆγεν ὁ λέων βασκάμενος. Ἄλλως. Βοτάνην λέοντος τὸ σέλινον λεκτέον. σέλινον γὰρ ὁ αὐτόθι στέφανος, ὅτι ὁ Ἡρακλῆς καταγωνισάμενος τὸν λέοντα, τοῦτο ἐνομοθέτησεν εἶναι τὸ στέμμα, ἀλλ' ἀλόγως. φέρεται γὰρ ἐπ' Ἀρχεμόρῳ ὅ τε ἀγὼν τεθεὶς, καὶ τὸ σέλινον τοῖς νικῶσι διδόμενον. ἢ ὁ Ἰσθμικὸς, ὅτι ἱερὸς τῷ Ποσειδῶνι. ὁ δὲ νῦς καὶ ἡ Νεμέα δέ ποτε νικήσαντα τὸν Καλλίαν ἔστεψεν, ἥτις Νεμέα ἐστὶν ὑπὸ τοῖς συμφύτοις καὶ ἀρχαίοις τοῦ Φλιοῦντος ὄρεσι. θέλει δὲ αὐτὸν καὶ Νεμεονίκην ἀποδεῖξαι. δασκίοις (sic) δὲ, ἢ τοῖς δασκίοις δένδροις δένδροις, ἢ παρὰ τὸ ὑψηλὸν, τοῖς μεγίστην σκιὰν ἀπεργάσασθαι δυναμένοις. κεῖται δὲ ἡ Νεμέα περὶ τὰ φλιάσια ὄρη,

Σ. γ΄. Κ. ιγ΄.

Πλατεῖαι πάντοθεν λογίοι-
σιν ἐντὶ πρόσοδοι
Νᾶσον εὐκλέα τάν-
δε κοσμεῖν· ἐπεί σφιν Αἰακίδαι
Ἔπορον ἔξοχον αἶσαν,
Ἀρετὰς ἀποδεικνύμενοι μεγάλας.
Πέταται δ' ἐπί τε χθόνα καὶ διὰ θά-
λασσας τηλόθεν γ' ὄνυμ' αὐ-
τῶν· καὶ ἐς Αἰθίοπας,
Μέμνονος ὐκ ἀπονο-
σάσαντος, ἐπᾶλτο. βαρὺ
Δέ σφι νεῖκος ἔμπεσεν, Ἀ-
χιλεὺς χαμαὶ καββὰς ἀφ' ἁρμάτων

Α. γ΄.

ὅρμ, παράκειται δὲ καὶ πόλις ὁμώνυμος, ἡ Φλιοῦς, ἡ πρότερον Ἀραιθυραία καλουμένη, ἣν καὶ Ὅμηρος ἔτω φησιν (Il. II, 571).

75. Πλατεῖαι πάντοθεν λογίοισιν] πολλαὶ καὶ πλατεῖαί ἀφορμαί εἰσι τοῖς ἐλλογίμοις, φησὶ, (πάλιν τὰς ποιητὰς ἀκουτέον) ὥστε ὑμνεῖν τὴν νῆσον ταύτην τὴν Αἴγιναν. ἐπειδὴ αὐτοῖς χορηγίαν παρέχουσιν ἐπαίνων οἱ Αἰακίδαι, καὶ ἐξαίρετον ἀρετὴν ἐπεδείξαντο. ἀμφίβολον δὲ, πότερον τοῖς προκειμένοις λόγοις παρέσχον μοῖραν πλείστην οἱ Αἰακίδαι, ἢ οἱ Αἰακίδαι ἔπορον ἔξοχον αἶσαν τοῖς ἰδίοις πολίταις, δοξάζοντες αὐτούς.

83. Καὶ ἐς Αἰθίοπας Μέμνονος ὐκ ἀπονοσάσαντος ἐπᾶλτο] ἔστι καὶ συνεσταλμένως καὶ βαρυτόνως ἀναγνῶναι, ἔπαλτο, τετέχνι ἐπάλθη, ἐβλήθη τὸ κλέος αὐτῶν εἰς Αἰθίοπας.

85. Βαρὺ δέ σφι νεῖκος ἔμπεσ' Ἀχιλεὺς (ἵς)] βαρεῖαν δὲ καὶ ἐπαχθῆ μάχην διὰ φιλονεικίαν αὐτοῖς ἐπέδειξεν ὁ Ἀχιλλεὺς τοῖς Αἰθίοψι χαμαὶ κλίνας τὸν Μέμνονα, αὐτὸς ἐκ τῶν ἁρμάτων κατελθὼν, τῆς φαιδρᾶς ἡμέρας τὸν υἱὸν, ἡνίκα ἐφόνευσε τῇ ἀκμῇ τῆ δόρατος τὴ λίαν ὀργίλε. περίφρασις δὲ τὸ σχῆμα, ἵνα τὴν Ἀχιλλέως δείξῃ περὶ τὸ πολεμεῖν εὐθαρσίαν. Ἄλλως. Μέμνων υἱὸς μὲν ἦν Τιθωνῦ καὶ Ἠμέρας, βασιλεὺς δὲ Αἰθιόπων. ὗτος ἐναντιούμενος τοῖς Ἕλλησιν ὑπὲρ τῶν Τρώων ἀνῃρέθη ὑπὸ Ἀχιλλέως, καὶ διὰ τοῦτό φησι τὴν τῶν Αἰακιδῶν δόξαν καὶ μέχρις Αἰθιόπων διαπτῆναι. ὐκ ἐκ παραδρομῆς δὲ ζάκοτον εἶπε τὸ δόρυ τῦ Ἀχιλλέως, ὡσανεὶ μείλινον

Α. γ'. Κ. ιγ'.

Φαεννᾶς υἱὸν εὖτ' ἐνάρι-
ξεν Ἀόος αἰχμᾷ
Ἔγχεος ζακότοι-
ο. — καὶ τάνδε μὲν παλαιότεροι
Ὁδὸν ἁμαξιτὸν εὗρον.
Ἕπομαι δὲ καὶ αὐτὸς ἔχων μελέταν. —
Τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον

λινον ἢ τι τοιοῦτον αὐτὸ ἔφη ἐν κοινότητι, ἀλλ' ὅτι ἰδιώτερον παρὰ τὰ ἄλλα κατεσκεύαστο. δίκρην γάρ, ὥστε δύο ἀκμὰς ἔχειν, καὶ μιᾷ βολῇ ὥστε διττὰ τραύματα ἀπεργάζεσθαι. καὶ Αἰσχύλος ἐν Νηρεΐσι (Fragm. p. 642. 1102. Pauw.)·

Κάμακος εἶσι, κάμακος γλωσσημα διπλάσιον.

Καὶ Σοφοκλῆς ἐν Ἀχιλλέως ἐρασταῖς (Fragm. p. 404. T. III. Brunk.)·

Ἥ δορὸς διχόσσομον πλᾶκτρον.
Δίπτυχοι γὰρ ὀδύναι νιν ἤρικον
Ἀχιλλῆι δόρατος.

μετάγουσιν δὲ τὴν ἱστορίαν ἀπὸ τῆς Λέσχης μικρᾶς Ἰλιάδος, λέγοντος οὕτως·

Ἀμφὶ δὲ πόρκης χρύσεος ἀστράπτει, καὶ ἐπ' αὐτῷ
Δίκρους δίη * *

ἢ ζάκοτόν φησι κατὰ μετωσίαν τὸ φέροντος καὶ αὐτὸ συμπνέον τῇ ὀργῇ, ἀπὸ τῶν παρ' Ὁμήρῳ (Il. XV, 316)·

Πολλὰ δὲ καὶ μεσσηγὺ πάρος χθὰ λευκὸν ἐπαυρεῖν
Ἐν γαίῃ ἵσαντο, λιλαιόμενα χροὸς ἆσαι.

91. Καὶ ταύταν (sic) μὲν παλαιότεροι] καὶ ταύτην μὲν τὴν ὁδὸν τὴν τῶν ἐπαίνων, ἥτις ἔστ τολοικὸν κατημαξευμένη, οἱ παλαιότεροι ἡμῶν καὶ οἱ πρεσβύτεροι ἐξεῦρον, ἀντὶ τοῦ, καὶ οἱ πρότεροι ἡμῶν ἐπῄνεσαν τὸς Αἰακίδας. ἀκολουθήσω οὖν καὶ αὐτὸς ἔχων ταύτην τὴν μελέτην καὶ σπουδήν, τὸ ἐπαινεῖν τὸς ἀγαθὸς ἄνδρας ἀεί. μελέτην φησὶ τὴν ἐπιμέλειαν. Ὅμηρος (imo Hes. Opp. 410.)· Μελέτη δέ τοι ἔργον ὀφέλλει.

94. Τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον] τὸς μὲν γεὼς τὸ πηδάλιον. τὸ δὲ κῦμα τὸ παρὰ τῷ πηδαλίῳ ἑλισσόμενον δοκεῖ καὶ παράσσει τὸν ἑκάστου θυμόν. ὃ τὸ παρελήλυθὸς οὖν παράσσει, ἀλλὰ τὸ ἔτι εἰλούμενον, λέγει δὲ τοῦτο ὁ Πίνδαρος, ὅτι παρεξέβη εἰς τὸ ὑμνεῖν τὸς Αἰακίδας. ἔργον δὲ οὐκ ἐξέλαβε τοῦτο, ἀλλ' εἰς τὸ ὑμνῆσαι τὸν Ἀλκιμίδην. διό, φησὶν αὐτὸν ὑμνήσω. ὁ δὲ νῦς· παραπεμψάμενος ὤν, φησὶ, τὰ παλαιὰ τῶν νέων καὶ παρόντων ἔξαμαι. καὶ γὰρ ἐπὶ τῶν πλεόντων ἀεὶ τὸ παρὰ τῷ πηδαλίῳ κῦμα παρὸν

Αἰεὶ κυμάτων λέγεται
Παντὶ μάλιστα δονεῖν
Θυμόν. ἐκόντι δ' ἐγὼ
Νώτῳ μεθέπων δίδυμον
Ἄχθος ἄγγελος ἔβαν, πέμ-
πτον ἐπ' εἴκοσι τῶτο γαρύων

Ε. γ'. Κ. ιά.

Εὔχος ἀγώνων ἄπο, τὰς
Ἐνέποισιν ἱερὰς,
Ἀλκιμίδας τό γ' ἐπάρκεσε
Κλειτᾷ γενεᾷ. — δύο μὲν
Κρονίᾳ πὰρ τεμένει,

Παῖ,

παρὸν καὶ ὁρώμενον τῷ κυβερνῶντος ἀνδρὸς παράσσει τὴν ψυχήν.

97. Ἐκόντι δ' ἐγὼ νώτῳ μεθέπων δίδυμον ἄχθος] μεταφορᾷ κέχρηται τῇ τῶν ὑποζυγίων. σημαίνει γὰρ, ὅτι ἑκουσίως ἐγὼ τῶτο τὸ μέρος ὑπέμεινα δίδυμον ὑπάρχον· τῶτο δέ φησιν, ἢ ὅτι σὺν τῷ τὸν Ἀλκιμίδην ὑμνῆσαι συμπαραλαμβάνειν μέλλει καὶ ἔπαινον τῷ ἀλείπτῃ Μελησίᾳ, ἢ τὸ τῷ Ἀλκιμίδῃ καὶ τὸ τῶν Αἰγινητῶν. καὶ γὰρ ἐκεῖνος καὶ ἔτι τρίτον τὸν Αἰακίδας ὕμνησε καὶ αὐτὸν τὸν Ἀλκιμίδην. ὁ δὲ νῦς· ἑκὼν γὰρ ἐδεξάμην ἐπὶ τοῖς ἐμαυτῷ νώτοις τῶτο τὸ φορτίον τὸ δίπλεν, ἄγγελος καὶ κῆρυξ βεληθεὶς γενέσθαι τῆς ἀρετῆς τῶν ἀνδρῶν, Ἀλκιμίδου καὶ Μελησίου. περὶ γὰρ αὐτῶν ἑξῆς φησιν, ὡς εἰκοσιέντε στεφάνες εἰληφότων τῶν ἀπὸ ταύτης τῆς φατρίας, ἢ καθόλω τῶν Αἰγινητῶν. Ἄλλως. φησὶν αὐτῷ τὸ προφθάσαν γένος εἰκοσιτέσσαρας ἐσχηκέναι νίκας, τὸν δὲ Ἀλκιμίδην εἰκοσὴν πέμπτην ταύτην νενικηκέναι, τῶτο δ' ὂν τὸ εἰκοσὸν πέμπτον σεμνολόγημα ἐξαγγέλλων, ὅπερ ἀπὸ τῶν ἀγώνων ἐδέξαντο, ἀγώνων δὲ τῶτων, ὡς ἱερὰς καλῶσιν (102), ἤτοι τὰς περιοδικὰς εἰκοσιτέσσαρας φησὶν, ὅπερ εὔχος καὶ σεμνολόγημα τὸ εἰκοσὸν πέμπτον ὁ Ἀλκιμίδης προσέθηκε, καὶ ἐνήρκεσε παράσχειν, νικήσας τὸν ἀγῶνα τῇ ἐνδοξοτάτῃ αὐτῇ γένναι.

104. Δύο μὲν Κρονίᾳ πὰρ τεμένει] ἐν Ὀλυμπίᾳ, φησὶν, ἐνόσφισεν αὐτὰς καὶ ἐχώρισεν ἡ προεξάνθησις τῶν τριχῶν. ἀπεκρίθη γὰρ, ὡς ἐ παιδικὴν ἔχοντος ἡλικίαν διὰ τὸ προηνθηκέναι τὰς τρίχας. πρὸ ὥρας γὰν τὸ ἄνθος αὐτῆς τῆς ἥβης, φησὶ, συνεκληρώθη· ἦτος γὰρ κλῆρος ἄνθος. ὁ δὲ Πολυτι-

Ηαῖ, σέ τ' ἐνόσφισε, Τιμίδα,
Κλαῦρος προπετὴς ἄν-
θ' Ὀλυμπιάδος. δελφῖνί κεν
Τάχος δ' ἅλμας ἴσον εἴποι-
μι Μελησίαν, χερῶν τε καὶ ἰ-
σχύος ἀνίοχον.

λυτιμίδας (sic) οἰκεῖος τῷ Ἀλκιμίδῃ. κληρωθέντες οὗτοι παίδων ἀγωνίσασθαι, μεταξὺ γενειάσαντες ἐξεκρούσθησαν τοῦ ἀγῶνος. ὁ δὲ νοῦς· δύο δὲ ἄνδρ κὴ νίκας τῆς Ὀλυμπίας, τῆς οὔσης παρὰ τῷ Κρονίῳ τεμένει, ὁ προπετὴς κλῆρος ὑμᾶς ἀπεξέρησεν, ὦ Ἀλκιμίδη.

108. Δελφῖνί κε τάχος δ' ἅλμας ἴσον εἴποιμι Μελησίαν] Μελησίας εἷς τῶν εὐδόξων ἀλειπτῶν· ἐπαινεῖ δὲ αὐτοῦ τὸ τάχος, ἐπεὶ ταχὺ αὔξει τοὺς ὑπ' αὐτοῦ ἀλειφομένους, κὴ κατάγει εἰς τοὺς ἀγῶνας. κὴ τοσοῦτόν, φησι, διαφέρει τῶν ἄλλων ἀλειπτῶν τῷ ταχέως τοὺς ἀλειφομένους κατάγειν, εὐχερείας καὶ ἰσχύος ἡνίοχον ὄντα, ὅσον ὁ δελφὶς τῶν ἄλλων ἐναλίων τῷ τάχει διαφέρει· ἀντὶ τοῦ, ἴσον ἂν εἴποιμι καὶ τὸν Μελησίαν τῷ ταχεῖ δελφῖνι, τῇ τε ἰσχύι καὶ τῇ τάχυ.

Περὶ

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τῆ ἑβδόμη τῶν Νεμέων ᾠδῆς.

Τῆς ἑβδόμης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιβ'. Τὸ α' ἀντισπαστικὸν τρίμετρον ὑπερκατάληκτον. Τὸ β' ἐγκωμιολογικὸν λεῖπον τῷ ἐσχάτῳ ἰάμβῳ. Τὸ γ' ἐπιωνικὸν, ὅπερ ἀντιπαθεῖ τῷ ἰάμβῳ. Τὸ δ' περίοδος δευτέρα, καὶ ἡ μὲν πρώτη ἀπόδοσίς ἐστι, μέσος δίαμβος, ἡ δὲ δευτέρα, διπλῆς τροχαῖος. [λείπει.] Τὸ ε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ὁ τρίτος πὰς δάκτυλος συναλειφόμενος. Τὸ ς' χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ζ' Ἀνακρεόντειον ἐκ δευτέρᾳ πενθημιμερῆς καὶ ἰαμβικῆς συλλαβῆς καταληκτικόν. Τὸ η' Ἰωνικὸν δίμετρον καταληκτικόν. ἡ γὰρ πᾶ συλλαβὴ βραχεῖα. Τὸ θ' τροχαϊκὸν Εὐριπίδειον διαλυθέν. Τὸ ι' ἐπιωνικὸν, ὅμοιον τῷ τρίτῳ. Τὸ ια' Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ' ἰαμβικὸν ἑφθημιμερές.

Περὶ τῆς ἐπῳδῆς αὐτῆ. Ἡ ἐπῳδὸς κώλων ἑπτά. Τὸ α' χοριαμβικὸν (δίμετρον) καὶ ἴαμβος καὶ συλλαβή. Τὸ β' Ἰωνικὸν δίμετρον ἀκατάληκτον. ἡ πρώτη συζυγία δι τροχαῖος, εἶτα Ἰωνική. Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' Φερεκράτειον ἢ ἀναπαιστικον μονόμετρον ὑπερκατάληκτον. Τὸ ε' Γλυκώνειον, ἡ μία ἀπόδοσις ἀντὶ τῆς ἰαμβικῆς συζυγίας τὴν χοριαμβικὴν ὡς συγγενῆ. Τὸ ς' τροχαϊκὸν δίμετρον καταληκτικόν. Τὸ ζ' τροχαϊκὸν τρίμετρον βραχυκα-

χυκατάληκτον, ἢ Ἀρχιλόχειον παρὰ μίαν συλλαβήν.

Περὶ τῆς ἐπιγραφῆς αὐτῦ. Σωγένει Αἰγινήτῃ. πρῶτος ὁ Σωγένης Αἰγινητῶν ἐνίκησε παῖς ὢν πενταέθλῳ κατὰ τὴν τεσσαρεςκαιδεκάτην Νεμεάδα. ἐτέθη δὲ ὁ πένταθλος πρῶτος κατὰ τὴν τρισκαιδεκάτην Νεμεάδα.

ARGVMENTVM SEPTIMI CARMINIS.

Ilithyia, partus praeſes dea, ſine qua non naſceremur, audi (1 — 6)! Non omnes naſcimur eadem ſorte; tuo numine Sogenes (ex natura ſua) victor quinquertio celebratur. Incolit (Aeginam) vrbem Aeacidarum, qui certamina amant. Si vero quis feliciter pugnauerit, carminibus laudatur (— 17). Magnae virtutes obſcurae iacent, ſi hymnis deſtituuntur; praeclare facta vnice conſpiciuntur, cantu illuſtratae (— 24). Periti nautae de tempeſtate ante cogitant, quam ea ingruit; (Sic et, qui ſapit, de poetarum laudibus mature cogitat); omnes moriuntur; ſed per Homerum contigit Vlyſſi gloria maior iis, quae ipſe paſſus eſt (— 31). Nam figmenta Homeri arte placent, et ſeducunt; facile enim multitudo decipitur (— 35). Si vera cognoſcere licuiſſet, non Aiax ob arma (Achillis ſibi negata) ſe enſe transfixiſſet, fortiſſimus poſt Achillem Graecorum ad Troiam dux (— 44). Sed mors clarum quoque hominem opprimit; immortales vero exiſtunt, qui carmine celebrantur, fortes viri. Etenim (vt hoc exemplo vtar) Neoptolemus, qui Troiam euertit, ad Delphos caeſus iacet (— 54). Aberrauit in nauigatione a Scyro, et cum ſuis Ephyram venit, nec diu Moloſſis imperauit, at poſteri eius hoc regnum obtinent. Delphos venit, manubias deo conſecraturus; hic a quodam interfectus eſt, Delphis valde dolentibus (— 63). Euenit vero, quod in fatis erat,

vt

vt scilicet intra septum sacrum sepeliretur vnus ex Aeacidis, eique, tanquam heroi, sacra fierent (— 70). Quod vt recte factum esse pateat, tria verba sufficiunt. Certaminibus praesidet testis verax. Aegina, per tuae et Iouis progeniei facta domestica laudum materies suppetit, quod audeo dicere; at modus in omni re gratus est. Vel mel atque Venerea voluptas satietatem adferunt. (Itaque nec ego laudum copia taedium creabo.) Natura omnes qui viuimus diuersa vtimur sorte; vnus omnem felicitatem consequi nequit; nec dici potest, cui Parca summam beatitatem constanter dederit — 85). Tibi, Thearion, dat conuenientem felicitatem, et forti animo non deest prudentia. (Ciues tibi obtrectant.) Ego, hospes tuus, ab omni obtrectatione alienus, te vere laudabo, quod praemium bonis viris debetur. Nemo me propterea reprehendet; confido hospitii iuri (quo cum Aeginetis iunctus sum); inter populares meos sereno vultu circumspicio, moderatus et aequus homo, (faueat modo reliquum mihi tempus!) et neminis laudibus obtrectans (— 102). O Sogenes, qui (ita me deus iuuet!) cito confecto certamine ante meridiem victor fuisti (— laborem eo maior voluptas sequitur —), patere me hanc laudem tibi victori dicere paullo elatius. Non asper sum ad canendum. Leue est coronas nectere. Exspecta. Musa tibi praestantius parat ornamentum (— 117). Enimuero in Nemeaco hymno Iouis mentio facienda est. Eum enim Aeaci patrem esse dicunt, Aeginae auctoris et fratris atque hospitis Herculis (— 126). Si vnus alterum iuuat, quanto magis vicinus vicinum. Quum vero vicinus est (vt Herculis sacellum aedibus Sogenis), maxima

maxima felicitas exoritur. In tua vicinia, Hercules, feliciter incolit Sogenes patris amans vicum beatum (— 136). Sunt enim eius aedes inter tua fana interiectae. Te, Hercules, decet Iunonem, Iouem, et Mineruam exorare; potes mortalibus opitulari. Vtinam ipsis (Sogeni et patri) per omnem vitam stabilem largiaris felicitatem, nepotesque paternum et vel maius consequantur decus (— 149)! Nunquam Neoptolemum male dictis lacerabo. Sed inopiae est, ter quaterque haec repetere, quemadmodum qui pueris semper acclamant: Iouis Corinthus est.

ΕΙΔΟΣ

ΕΙΔΟΣ ζ'.

ΣΩΓΕΝΕΙ ΑΙΓΙΝΗΤΗ,

ΠΑΙΔΙ ΠΕΝΤΑΘΛΩι.

Σ. α'. Κ. βʹ.

Ἐλείθυια, Μοιρᾶν πάρεδρος βαθυφρόνων,
Παῖ μεγαλοσθενέος, ἄκουσον,
Ἧς,

1. Εἰλείθυιαι πάρεδρος Μοιρᾶν [(sic)] ζητεῖται διατί ἀπὸ τῆς Εἰλειθυίας εἰσβέβληκε, καὶ τί δήποτε τῇ Εἰλειθυίᾳ προσδιαλέγεται. ἔνιοι μὲν οὖν φασι, νέον ὄντα τὸν Σωγένη, ἑτέρου νικήσαντος, αὐτὸν κατὰ χάριν ἀνηγγέλθαι τῷ πατρὸς Θεαρίωνος, εἰς τοῦτο φιλοτιμηθέντος, τὸν δὲ ἀγωνισάμενον Νεοπτόλεμον τοῦνομα Ἀχαιόν· παρὸ καὶ εἰς τοὺς ὑπὲρ Νεοπτολέμου τοῦ Ἀχιλλέως τὸν ποιητὴν παρεκβῆναι λόγους. αὐτοσχέδιον δέ φησι τοῦτο εἶναι ὁ Δίδυμος. οὐδεὶς γὰρ ἀφ' ἑτέρου ὀνόματος κεκλῆσθαι, μόνον δὲ ἐν τοῖς ἱππικοῖς ἀγῶσι νενόμισται τὸ ἔθος, ὥστε τοὺς βασιλέας καὶ τυράννους ἀναγράφεσθαι. κλῆσις γὰρ καὶ χορηγίας τὴν ἱπποτροφίαν ἐπίδειξιν εἶναι καὶ ὁ ῥώμης. ἔνιοι δέ φασι, πρὸς τοῦνομα τοῦ Σωγένους παρειλκύσθαι τὴν Εἰλείθυιαν· εἶναι γὰρ αὐτὴν σωγένη τινα, διὰ τὸ τὰ γενόμενα ἀνασώζειν. τὸν οὖν Πίνδαρον ψυχρευσάμενον πρὸς τοῦνομα τῆς Εἰλειθυίας μεμνῆσθαι. καὶ τοῦτο δὲ οὐκ εὖ· τότε γὰρ καταφέρεται εἰς τοῦτο ὁ Πίνδαρος, ὅταν ὑπῇ τις ὁμωνυμία. οἷον (Fragm. p. 5 f.)· ὀλβίων ὁμώνυμε Δαρδανιδᾶν παῖ Θρασύμηδες Ἀμύντα. καὶ (Fragm. p. 8 f.)· σύνες ὅ τε λέγω, ζαθέων ἱερῶν ὁμώνυμε, πάτερ κτίτορ Αἴτνας. νῦν δὲ οὐδὲν τοιοῦτόν ἐστιν. ἔνιοι δὲ πατέρα τοῦ Σωγένους Θεαρίωνα τὴν Εἰλειθυίαν ἔφασαν ἱεράσθαι· ἀμάρτυρον δὲ καὶ τοῦτο. οἱ δὲ· ὅτι ἓν γειτόνων ἦν τῷ Σωγένει ἱερὸν Εἰλειθυίας. οὐδὲ τοῦτο δὲ ἱστορεῖται. ἄλλοι δὲ ἔφασαν, ὅτι τὰς ἐκ φύσεως ἀγαθὰς ἐπαινεῖ πάντοτε ὁ Πίνδαρος μᾶλλον τῶν ἐκ διδασκαλίας. καὶ ἡ Εἰλείθυια ἓν τῶν Σωγένην εὐθέως ἐπὶ τὴν γένεσιν ἐπιτηδειον κατεσκεύασε πρὸς ἄθλησιν. οἱ μὲν γὰρ ἄλλοι τῶν θεῶν αὐξανομένοις

Ἥρας, γενέτειρά τέκνων· ἄνευ σέθεν
Οὐ φάος, ἀ μέλαιναν δρακέντες εὐφρόναν
Τεὰν ἀδελφεὰν ἐλάχομεν
Ἀγλαόγυιον Ἥβαν. —
Ἀναπνέομεν δ' ἐχ ἅπαντες ἐπὶ ἴσα·
Εἴργει δὲ πότμω ζυγὸν
Ἕτερον ἕτερα. — σὺν δὲ τὶν
Καὶ παῖς ὁ Θεαρίωνος ἀρετᾷ κριθεὶς

Εὔδα-

μένοις ἀγαθὰ ὠρῶνται, ἡ δὲ Εἰλείθυια κατ' αὐτὴν τὴν πρώτην καταβολήν. ἔτι δὲ καὶ πρὸς τοῦτο λέγειν· τί δήποτε τὴν Εἰλείθυιαν βίᾳς ἐπὶ τὸ σωγένες παρέλαβεν, ἀλλ' ἐχὶ καὶ ἐπ' ἄλλων εὐφυίᾳ διενεγκόντων. Ἀριστόδημος δὲ ὁ Ἀριστάρχῳ μαθητὴς βέλτιον ἔτω φησίν· εἰ μέν ποτε τῷ Θεαρίωνι καὶ παρὰ τὴν ἡλικίαν ἤδη προήκοντι, εὐξαμένῳ τῇ θεᾷ, σωγένη τεκνωθῆναι, καὶ τὴν τοῦ παιδὸς αὐτοῦ γέννησιν οἷον Εἰλειθυίας εἶναι χάριν. διὰ τὴν ἰδιότητα γὰρ τῆς γενέσεως τῇ ἀθλητῇ πρὸς τὴν θεὸν ταύτην ἐπήρεισε τὸν λόγον. ἐπισύρεται δὲ τοῦτο ἐξ ἐπιγράμματος Σιμωνίδου. ἐνικῶς δὲ εἶπε Εἰλείθυια, ὡς καὶ Ἡσίοδος (Theog. 921)·

Ἥ δ' Ἥβην καὶ Ἄρηα καὶ Εἰλείθυιαν ἔτικτεν.

ὁ δὲ Ὅμηρος ἑκατέρως. ὅτι δὲ τῆς Ἥβης ἀδελφὴ ἡ Εἰλείθυια, πρόσκειται τὰ Ἡσιόδου. ὁ δὲ νεὼς· ὦ Εἰλείθυια, σὺ μὲν τῆς μεγαλοσθενοῦς καὶ ἰσχυρᾶς Ἥρας, πάρεδρος δὲ τῶν συνετῶν Μοιρῶν. τοῦτο δέ φησιν, ἐπεὶ δοκοῦσι παρὰ τὸν τῶν ὠδίνων καιρὸν παρετάνυσθαι καὶ ἐπικλώθειν τὰ τῆς εἱμαρμένης.

3. Ἄνευ σέθεν ἢ φάος] ἄνευ γὰρ σοῦ, ὦ Εἰλείθυια, οὔτε τὴν νύκτα, οὔτε τὴν ἡμέραν θεωρήσαντες ἡδυνήθημεν τῆς σῆς ἀδελφῆς Ἥβης τυχεῖν. εἰκότως· οὐ γὰρ οἷόν τε μὴ γεννηθέντα καὶ ταῦτα ἰδεῖν καὶ αὐξηθῆναι. ἢ οὕτως· ἢ γὰρ ἐν νυκτὶ ἢ ἐν ἡμέρᾳ γεννώμεθα, ἐκ ἄνευ σοῦ τὴν σὴν ἀδελφὴν ἐλάβομεν τὴν Ἥβην· οἷον, εἰ μὴ ἐγεννήθημεν, οὐδ' ἂν ἠκμάσαμεν. ἀγλαόγυιον δὲ αὐτὴν φησιν, ἐπεὶ οὐ ἠβῶμεν χρόνου, εὐπρεπέστεροι αὐτοὶ ἑαυτῶν γινόμεθα. καὶ γὰρ αἰσχροὶ ὦσί τινες τὰς φύσεις, εὐπρεπέστεροι ἑαυτῶν γίνονται κατὰ τὸν τῆς ἀκμῆς χρόνον.

7. Ἀναπνέομεν δ' ἐχ ἅπαντες ἐπὶ ἴσα] ζῶμεν δὲ ἐχ ὁμοίως πάντες, φησίν, ἀλλ' οἱ μὲν πλουτοῦσιν, οἱ δὲ οὔ. καὶ οἱ μὲν ἐρῶνται, ἢ ἐρῶνται· οἱ δὲ οὔ. εἶτα ἔξωθεν προσληπτέον τὸ, πράγματα. διακωλύει γὰρ ἕτερον ἕτερα, καὶ διαζεύγνυσιν ἡμᾶς ἀπ' ἀλλήλων, ἢ ἀπ' ἄλλων πραγμάτων, τὰ συγκεκληρωμένα ἡμῖν πράγματα.

9. Σὺν δὲ τὶν καὶ παῖς ὁ Θεαρίωνος] σὺν σοὶ δὲ, ὦ Εἰλείθυια, ἀντὶ τοῦ, διά σε γεγονὼς ἢ ὁ τοῦ Θεα-

Εὔδοξος ἀείδεται Σω-
γένης μετὰ πενταέθλοις.

Α. α'. Κ. ιβ'.

Πόλιν γὰρ Φιλόμολπον οἰκεῖ δορικτύπων
Αἰακιδᾶν. μάλα δ' ἐθέλοντι
Σύμπειρον ἀγωνίᾳ θυμὸν ἀμφέπειν. —
Εἰ δὲ τύχῃ τὶς ἔρδων, μελίφρονʼ αἰτίαν
Ῥοαῖσι Μοισᾶν ἐνέβαλεν.
Ταὶ μεγάλαι γὰρ ἀλκαὶ
Σκότον πολὺν ὕμνων ἔχοντι δεόμεναι.
Ἔργοις δὲ καλοῖς ἐσο-
πτρον ἴσαμεν ἐνὶ σὺν τρόπῳ,

Θεαρίωνος παῖς Σωγένης ἔκκριτος γινόμενος, ἔνδοξος καὶ ἀγωνιστικὸς ὑμνεῖται, καὶ πένταθλος ἀγωνίζεται. εἰκότως δὲ ἔτως ἐστὶν ἔνδοξος, ἐπειδὴ καὶ τὴν εὔυμνον Αἴγιναν τὴν τῶν γενναίων Αἰακιδῶν οἰκεῖ. φιλόμολπον (13) δὲ ταύτην καλεῖ, διὰ τὰς γεγραφόντας τοῖς νικῶσιν ἐπινίκους. Σύμπειρον (15) δὲ, τὸ συμπεπερασμένον. σφόδρα δὲ ἀεὶ θέλησί, φησι, τὴν ἑαυτῶν ψυχὴν συμπεπερασμένην ἔχειν τῇ νίκῃ τῇ πενταθλιστικῇ.

16. Εἰ δὲ τύχῃ τις ἔρδων] εἰ δὲ ἐπιτύχῃ τὶς πράσσων, τὴν ἡδεῖαν αἰτίαν τῷ αὐτὰ ἐπιτετευχέναι, ταῖς ἀοιδοῖς τῶν Μουσῶν ἐνέβαλε, τουτέστι, τοῖς ὕμνοις τοῖς εἰς αὐτὸν γεγραφόμενοις. ἢ ἔτως· οἷον, μὴ ἀπείρατοι τῶν ἀγώνων εἶναι, τουτέστι, πειρᾶσθαι θέλησι τῶν ἀγώνων, ἐνεργεῖν θέλησι διὰ τῆς πείρας. δύνατον δὲ καὶ ἰδίως ἀκούεσθαι, ὡς φιλοπενταέθλων ὄντων τῶν Αἰγινητῶν, ἐπειδὴ Πηλεὺς δοκεῖ εὑρηκέναι τὸν πένταθλον Αἰγινήτης ὑπάρχων καὶ Αἰακίδης. ὁ δὲ νῦς· ἐὰν δέ τις σὺν εὐτυχίᾳ εἴη τι πράττων, ἡδεῖαν πρόφασιν τοῖς τῶν Μουσῶν ῥεύμασιν ἔδωκεν.

18. Ταὶ μεγάλαι γὰρ ἀλκαὶ] αἱ γὰρ μεγάλαι δυνάμεις καὶ τὰ μείζονα κατορθώματα ὕμνων χρήζουσι, σκότον καὶ ἀφάνειαν ἔχουσιν. ἢ ἔτως· αἱ μεγάλαι ἀλκαὶ ὕμνων δεόμεναι, σκότον πολὺν ἔχουσι, τουτέστιν, ἀφανεῖς γίνονται, ἐὰν μὴ ὑμνηθῶσιν.

20. Ἔργοις δὲ καλοῖς ἔσοπτρον] τοὺς ἀγαθόν τι πραξαντάς, φησι, φιλοτιμᾶσθαι δεῖ τὰ ἴδια ἔργα διὰ τῶν ποιημάτων, καὶ παραδιδόναι ἔπειτα λαμπρότατα. Ἄλλως. ἔσοπτρόν φησι τῶν καλῶν ἔργων τὸν

Εἰ Μνημοσύνας ἕκατι λιπαράμπυκος
Εὕρῃ τις ἄποινα μόχθων
Κλυταῖς ἐπέων ἀοιδαῖς.

Ε. α'. Κ. ζ'.

Σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον
Ἔμαθον, ὃδ' ὑπὸ κέρδει βάλον. —
Ἀφνεὸς πενιχρός τε θανάτᾳ
Παρὰ σᾶμα νέονται. —

Ἐγὼ

τὸν ὕμνον εἶναι, ὅτι, ὥσπερ ἡμεῖς διὰ τοῦ κατόπτρου γινώσκομεν, οὕτω τὰ καλὰ ἔργα διὰ διὰ τῶν ὕμνων θεωρεῖται, ὡς δ' ἐσόπτρου· κρὴν τελευτήσασιν οἱ πράξαντες, ἐμβλέψαντες εἰς κάτοπτρον ἀρετῆς τὰς ὕμνας ἀντιλαμβανόμεθα τῶν καλῶν ἔργων. ὁ δὲ νῦς· τοῖς δὲ καλοῖς ἔργοις λαμπρότητα ἴσμεν ἐνὶ τρόπῳ γιγομένην, διὰ δὴ τῶν ὕμνων.

Σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον] οἱ μὲν ὕτως· ὥσπερ τῶν κυβερνητῶν οἱ σοφοὶ ἐπιτηδεία πνέοντος ἀνέμου ὐχ ὑπτιῶντω πρὸς τὸ παρὸν ἀγαθὸν, ἀλλὰ μετὰ τρεῖς ἡμέρας ἐσόμενον ἄνεμον προγινώσκουσι καὶ προορῶσι τὸ μέλλον· ὕτω καὶ τὺς ἀνθρώπυς τὺς συνετὺς προσῆκόν ἐστι μὴ τῷ παρόντι πλάτῳ βυκολεῖσθαι τὰς ἐλπίδας, ἀλλὰ φροντίζειν τῦ μετὰ ταῦτα καὶ ἄξιόν τι δρᾶν, ὅπως καὶ μετὰ ταῦτα ὑμνηθέντες ἀθάνατον ἔχωσιν τὴν εὐδοξίαν. καὶ γὰρ οἱ πλύσιοι καὶ οἱ πένητες ὁμοίως τελευτῶσιν. διὸ δεῖ τῆς μετὰ ταῦτα μελλύσης εὐδοξίας φροντίζειν. οἱ δὲ ὕτως· ὥσπερ γὰρ τῶν διαπλεόντων οἱ σοφοὶ καὶ τῶν μετὰ ταῦτα ἀνέμων φροντίζυσι, καὶ ὐχὶ διὰ τὸ παρὸν κέρδος (κέρδος δὲ τὸ τῦ πλῦ εὔδιον) ἐζημιώθησαν τὸν μετὰ ταῦτα πλῦν, ὑδὲ ἀπώλοντο ἀμελήσαντες, ἀλλὰ καὶ μετὰ ταῦτα προορώμενοι καὶ ἀσφαλιώμενοι ἐσώθησαν· ὕτω δέον μὴ φιλοκερδεῖς εἶναι, ἀλλὰ προϊέσθαι τοῖς ποιηταῖς μισθὸν, ὅπως ἄν σχῶσι τῆς ἀρετῆς ἀδιάλειπτον τὴν μνήμην. ὅτι δὲ φιλοκερδὴς πανταχῦ ὁ Πίνδαρος ἐκ τῶν φθασάντων δῆλός ἐστιν. οἰκειοτέρα δὲ αὕτη ἡ ἐκδοχή, ὡς ἐξ ὧν ἐπάγει. φησὶ γάρ, ὅτι ὁμοίως καὶ ὁ πλύσιος καὶ ὁ πένης τελευτᾷ· διὸ δεῖ τὸν πλύσιον τῆς μετὰ ταῦτα εὐδοξίας φροντίζειν. ὁ γάρ ἐστιν ἀργυρίῳ τὸν θάνατον παραιτήσασθαι. ὁ δὲ νῦς· οἱ σοφοὶ δὲ τῶν κυβερνητῶν προορῶνται, τίς ἐπὶ τρεῖς ἡμέρας πνεύσεται ἄνεμος, ἢ τίς εἰς τρίτην ἡμέραν πνεύσεται.

Ἐγὼ

Ἐγὼ δὲ πλέον ἔλπομαι
Λόγον Ὀδυσσέος, ἢ πάθεν,
Διὰ τὸν ἀϋσπῆ γενέσθ' Ὁμήρον.

Σ. β'. Κ. ιβ'.

Ἐπεὶ ψευδέεσσίν οἱ ποταναῖ μαχαναὶ
Σεμνὸν ἔπεσί τι· σοφία δὲ
Κλέπτει παράγοισα μύθοις. τυφλὸν δ' ἔχει
Ἦτορ ὅμιλος ἀνδρῶν ὁ πλεῖστος. εἰ γὰρ ἦν
Ἐὰν ἀλάθειαν εἰδέμεν,
Οὔ κεν ὅπλων χολωθεὶς
Ὁ καρτερὸς Αἴας ἔπαξε διὰ φρενῶν
Ζ 3 Λευρὸν

29. Ἐγὼ δὲ πλέον ἔλπομαι] ἐγὼ δέ, φησιν, ἐλπίζω αὐτὸν μὴ τοσαῦτα πεπραχέναι, μηδὲ τοιαῦτα, τὸν Ὀδυσσέα, οἷα Ὅμηρος κεκήρυχε περὶ αὐτοῦ. ἀγαθῷ γὰρ τυχὼν ποιητῇ ἐνδοξότερα καὶ μείζονα ἔσχεν ἔργα ἢ κατώρθωσε. δυνατοὶ γάρ εἰσιν οἱ ποιηταὶ τὰ τυχόντα ἔργα μεγαλύνειν καὶ αὔξειν. διὸ καὶ σὺ φρόντιζε τῶ ὑμνεῖσθαι. ὁ δὲ νῦς· ἐγὼ δὲ μᾶλλον ἐλπίζω διὰ τὴν Ὁμήρου ποίησιν ζῆν ἐπιπλέον καὶ θρυλλεῖσθαι τὴν Ὀδυσσέως εὐδοξίαν. τοῖς γὰρ περὶ Ὀδυσσέως κεκηρυγμένοις σεμνότης τις ἐπήνθει. ποτανὴν δὲ μηχανὴν τὰ ποιήματα εἶπε, καθὸ ὑψοῖ καὶ μετεωρίζει τὰς ἀρετὰς τῶν ὑμνημένων, ἢ καθὸ τὰ ἔπη κοινῶς λέγεται παρ' Ὁμήρῳ πτεροέντα, ἢ διὰ τὸ οὕτω μεμηχανῆσθαι, ὥστε κατὰ πᾶσαν χώραν πέτεσθαι καὶ διϊκνεῖσθαι.

33. Σοφία δὲ κλέπτει παράγοισα μύθοις] ἡ τῶ Ὁμήρῳ σοφία κλέπτει τὸν νῶν ἡμῶν, ὥστε τὰ ψευδῆ δοκεῖν ἀληθῆ εἶναι διὰ χάριν καὶ σεμνότητα, ἡ ἀπόστασις πρὸς τὰ ἐξῆς ἱστορούμενα περὶ τοῦ Αἴαντος. καθόλου ἡ σοφία ἔχει κλέψαι τὸν νῶν τῶν ἀνθρώπων. ἢ ὅτως· ἡ δὲ σοφία καὶ ὁ λόγος ἱκανός ἐστι τινὰ παραπεῖσαι ὑποκλέψαι τὴν ἀλήθειαν. τυφλὸν γὰρ καὶ ἀνόητον ἦτορ ἔχει ὁ πολὺς τῶν ἀνδρῶν ὄχλος. βέλεται δὲ τὸν δημώδη λέγειν.

35. Εἰ γὰρ ἦν ἐὰν ἀλάθειαν εἰδέμεν] ἔνιοι μὲν ἀνέγνωσαν, ἐὰν, δασέως, ἀντὶ τοῦ, τὴν ἑαυτοῦ· βέλτιον δὲ ψιλῶς, ὡς καὶ Διονύσιος ὁ τῶ Χαρμίδου. Ἄλλως. εἰ γὰρ ἦν τὴν ὄσαν καὶ δέουσαν ἀλήθειαν πάντας γινώσκειν, οὐκ ἂν οὐδὲ ὁ Αἴας τῶν ἀριστείων ἐστερήθη, εἰ μὴ διὰ

Λευρὸν ξίφος· ὃν κράτι-
σον, Ἀχιλέος ἄτερ, μάχα
Ξανθῷ Μενέλα δάμαρτα κομίσαι, θοαῖς
Ἐν ναυσὶ πόρευσαν εὐθυ-
πνόῳ Ζεφύροιο πομπαὶ

Α. β'. Κ. ιβ'.

Πρὸς Ἴλιθ πόλιν. — ἀλλὰ κοινὸν γὰρ
ἔρχεται
Κῦμ' Ἀΐδα, πέσε δ' ἀδόκητον
Ἐν

διὰ τὴν τῶν κρινάντων ὄχλων ἀμαθίαν· καὶ διὰ τὴν ὀργὴν ἐνέπηξε κατὰ τῶν φρενῶν ἑαυτῷ τὸ ξίφος.

39 Λευρὸν ξίφος] λευρὸν οἱ μέν, τὸ πλατύ· βέλτιον δὲ, τὸ πλάγιον ἀκμεῖν, ἵνα νοήσωμεν ὀχλ τὸ καθ' ἑαυτὸ πλαγίως ἔχον, ἀλλὰ τὸ κατὰ τὴν πληγὴν πλαγιως ἐνεχθέν. ὕτω γὰρ καὶ ὁ Εὐφορίων τὴν πληγὴν ὑπεξήσατο·

Πλεῦρά τε καὶ θώρηκα διήρικεν ἰλὶς ἄχρις.

τῷ δὲ, ὃν κράτισον καὶ ἑξῆς, ὁ νεῦς ὕτως· ὃν τινα ἤγαγον οἱ τῷ Ζεφύρῳ πνοαὶ, τῷ ξανθῷ Μενελάῳ τὴν δάμαρτα κομίσαι εἰς Ἴλιον. Ὁμηρος (Il. II, 768 f.):

Ἀνδρῶν δ' αὖ μέγ' ἄριστος ἔην
Τελαμώνιος Αἴας,
Ὄφρ' Ἀχιλεὺς μήνιεν.

44. Ἀλλὰ κοινὸν γὰρ ἔρχεται] πάντες γὰρ ἀποθνήσκομεν καὶ οἱ ἄξιοι καὶ οἱ μή. καὶ τὸ κῦμα, φησι, τῷ ᾅδῃ ἐνέπεσε τῷ ἀδοκήτῳ, τῷ μὴ δοκοῦντι νῦν τελευτήσειν, ἀλλὰ μετὰ ταῦτα ἐξαίφνης ἐμπίπτει ὁ θάνατος. ἢ ἀδόκητον κέκληκε, τὸν ἄδοξον, δοκέοντα δὲ τὸν ἔνδοξον. δοκεῖν γὰρ καὶ δοξάζειν, ταυτόν. ἐπεὶ ἓν ὁ θάνατος καὶ τὸν ἔνδοξον καὶ τὸν ἄδοξον συναναιρεῖ, σὺ δ μεγάλα κατεργασάμενος τῷ αἰῶνι παρακατατίθεσο τὴν μνήμην διὰ τῶν ποιημάτων. Ἄλλως. Ἀδόκητον τὸν νεώτερόν φησιν· ὁ γὰρ προσδοκᾷ τάχεως τὸ ἀποθανεῖν· δοκέοντα δὲ τὸν πρεσβύτην· προσδοκᾷ γὰρ τὸ ἀποθανεῖν. ἐμπίπτει, φησὶν, ὁ θάνατος ὁμοίως καὶ πρεσβυτέροις καὶ νεωτέροις. τὸ δὲ σύμπαν τῆς διανοίας τοιοῦτόν ἐστι· τὸ μὲν ἀποθανεῖν καὶ τοῖς νεωτέροις καὶ τοῖς πρεσβυτέροις ἐμπίπτει· ἐκείνων δὲ ἡ τιμὴ καὶ ἡ δόξα αὔξεται, ὧν ἂν ἡ Μοῦσα αὐξήσῃ τὸν ἐγκωμιαστικὸν λόγον. βούλεται δὲ εἰπεῖν· ὅτι ἀθάνατος ἡ μνήμη τῶν ἐγκωμιαζομένων.

47. Τιμὰ

Ἐν καὶ δοκέοντα. τιμὰ δὲ γίνεται,
Ὧν θεὸς ἄβρὸν αὔξει λόγον, τεθνακότων
Βοαθόων. — τοὶ γὰρ μέγαν
Ὀμφαλὸν εὐρυκόλπε
Ἔμολε χθονός, ἐν Πυθίοισι δὲ δαπέδοις
Κεῖται, Πριάμε πόλιν,
Νεοπτόλεμος, ἐπεὶ πράθεν·
Τᾷ καὶ Δαναοὶ πόνησαν. ὁ δ' ἀποπλέων
Σκύρε μὲν ἄμαρτεν· ἵκον-
το δ' εἰς Ἔφυραν πλαγχθέντες.

46. Τιμὰ δὲ γίνεται, ὧν θεὸς ἄβρὸν αὔξει λόγον] ἄβρὸν λόγον τὰ ἐγκώμια φησι, θεὸν δὲ τὴν Μοῦσαν. ὁ δὲ νοῦς· τούτων δέ τι μὴ γίνεται τεθνηκότων, ὧν ἂν θεὸς αὔξει λόγον, τυτέξιν, ὁ ποιητὴς ἐμπνευσθεὶς ὑπὸ τῶν θεῶν. τινὲς δὲ τὸ, τεθνακότων, πρὸς τὸ ἑξῆς.

47. Τεθνακότων βοαθόων] πρὸς τὸ ἓν ἀκμῇ ἐὸν ἀχρὶ τοῦ (52), ἐπεὶ πράθε, καὶ γραπτέον ἐν τῷ ν (50), ἔμολεν, ὡς Δίδυμος, καὶ ὑφ' ἓν ἀπὸ τοῦ, τεθνακότων, ἕως τοῦ, πράθεν, ἀναγινώσκει. τὸ δὲ ὅλον τοιοῦτον· ἔμολε παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπε χθονὸς Νεοπτόλεμος, Πριάμου πόλιν ἐπεὶ πράθεν. τεθνηκότων δὴ τῶν βοηθῶν ἐν Πυθίοις δαπέδοις κεῖται. ποίων δὲ βοηθῶν; τῶν περὶ τὸν Εὐρύπυλον, ὃς αὐτὸς ὁ Νεοπτόλεμος ἀνελὼν ἐπόρθησε τὴν Ἴλιον. ὕστερον γὰρ ἦλθε ὁ πόνος ἔσω τοῦ ἥρωος. δεκεῖ δὲ ὁ Νεοπτόλεμος ἐν Δελφοῖς ἀνῃρῆσθαι καὶ τεθεῖσθαι ἐν τῷ ναῷ. ἐὰν δὲ ἐπὶ τῶν περὶ τὸν Ἕκτορα, καθὼς Ἀρίσταρχός φησιν, ἀναδράμωμεν, πρῶτον μὲν μακρόθεν ἕξομεν τὴν πόρθησιν συνάπτων· δεύτερον δὲ ἐπὶ τὴν κοινότητα μεταβήσομεν, δι' ἧς τὸ ἐγκώμιον ἐκ ἔσται. εἰ δὲ γράφεται, ἔμολον, τῷ πλησυντικῷ ἀντὶ ἑνικοῦ χρᾶται, ὥστε ὅμοιον εἶναι τῷ (v. 54 f.)· ὁ δ' ἀποπλέων Σκύρε μὲν ἄμαρτεν· ἵκοντο δὲ εἰς Ἔφυραν, ἀντὶ τοῦ, ἵκετο. εἰς δὲ τὸ προκείμενον τείνων παρέθηκε τὴν τοῦ Νεοπτολέμου ἀπώλειαν, ὅτι ἀδικήτως αὐτῷ συνέβη.

53. Τᾷ καὶ Δαναοὶ πόνησαν] ὑπὲρ ἧς, φησὶ, καὶ οἱ Ἕλληνες ἐταλαιπώρησαν, ἢ ἐφ' ἧ, ἢ ἐν ἧ, ἢ ταύτῃ καὶ οἱ Δαναοὶ πόνησαν, ἢ καὶ ὁ Νεοπτόλεμος· παρόσον ἀπονοσοῦντες οἵκαδε χειμῶνι ἐχρήσαντο καὶ ὁ Νεοπτόλεμος καὶ οἱ Ἕλληνες. Ἔφυραν δὲ εἶπε νῦν τὴν ἐν Ἠπείρῳ, ἣν Κίχυρόν φησι μετωνομάσθαι ἀπὸ Κιχύρου τοῦ Μερμέρου. τέσσαρας δὲ ἀναγράφει τὰς

Ε. β΄. Κ. ζ΄.

Μολοσσία δ' ἐμβασίλευεν ὀλίγον
Χρόνον· ἀταὰρ γένος αἰεὶ Φέρεν
Τὸ τοῦ γέρας. ὤχετο δὲ πρὸς
Θεὸν κτέατ' ἀνάγων Τρω-
ϊαθέν γ' ἀκροθινίων.
Ἵνα κρεῶν νιν ὕπερ μάχας
Ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ.

Σ. γ΄.

καὶ Ἐφύρας, πρώτην μὲν τὴν αὐτὴς Κόρινθον ὀνομασθεῖσαν· Ὅμηρος (Il. VI, 152)· ἔστι πόλις Ἐφύρη. ἑτέραν δὲ τὴν περὶ Θεσσαλίαν· Ὅμηρος (Od I, 259)·

Ἐξ Ἐφύρης ἀνιόντι παρ' Ἴλου Μερμερίδαο.

τρίτην δὲ περὶ Ἦλιν, ἧς Ἑκαταῖος μνημονεύει τετάρτην, τὴν ἐν Θεσπρωτοῖς. συνήθως δὲ ὁ Πίνδαρος τῷ τῆς λέξεως κέχρηται σχήματι, συντάξας τῷ ἐνικῷ πληθυντικόν· ὁ δὲ ἀποπλέων Σκύρῳ μὲν ἅμαρτεν, ἐνικόν· ἵκοντο δὲ, οὐκ ἀπήνεγκεν ἐνικόν, ἀλλὰ πληθυντικὸν ἐνικῷ.

56. Μολοσσία δ' ἐν βασίλευεν (sic) ὀλίγον χρόνον] ἀνάγει τὰς χρόνους. ὕστερον γὰρ ἀπὸ Μολοσσοῦ, τοῦ Νεοπτολέμου καὶ Ἀνδρομάχης, τέκνον ἔλαβεν ἡ Μολοσσία, παρεκβαίνει δὲ εἰς τὰ Νεοπτολέμου, ὡς μὲν Ἀρίσταρχος, ὅτι νικήσας καὶ χαρισάμενος τὴν ἀνεψιὰν τῷ Σωγένει Νεοπτόλεμος ἦν Ἠπειρώτης τὸ γένος, ὅπερ οὐκ ἦν φησὶν ἔχειν ὁ Δίδυμος· ὡς δὲ Ἀρίσταρχος, ὅτι ἀλείπτην ἐκέκτητο τῷ Νεοπτολέμῳ. διὸ εἰς ἔπαινον τοῦ ὀνόματος τῇ ἡρωϊκῇ κέχρηται παρεκβάσει. ὁ δὲ νῦς τὸ γένος τοῦ Νεοπτολέμου τὸ τῆς βασιλείας γέρας ἔσχεν ἀεί. δοκοῦσι γὰρ οἱ ἀπὸ Νεοπτολέμου βεβασιλευκέναι ἐπὶ πλεῖον.

58. Ὤιχετο δὲ πρὸς θεὸν] διάφοροι αἰτίαι, δι' ἃς ἦλθεν εἰς Δελφοὺς ὁ Νεοπτόλεμος· καὶ οἱ μέν φασιν, ὅτι παίδων αὐτῷ γινομένων ἐξ Ἑρμιόνης, ἦλθε παρὰ τοῦ θεοῦ πευσόμενος ὡς παιδοποιήσεται· οἱ δὲ, ὅτι ἐπιτιθέμενος τοῖς Πελοποννήσοις πράγμασι, διαπράσσει πρῶτον ἐπέβαλε τὸ ἐν Δελφοῖς ἱερὸν, ἤτοι χρηστήριον. ἄλλοι δὲ, ὅτι δίκας αἰτήσων τοῦ πατρὸς τοῦ θεοῦ (Hom. Il. XXII, 359 f.)·

ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων
Ἐσθλὸν ἐόντ' ὀλέσωσιν ἐπὶ σκαιῇσι πύλῃσιν.

οὐκ ἔοικε δὲ συγκατατίθεσθαι ὁ Πίνδαρος ταύταις ταῖς αἰτίαις, ἀλλ' ὅτι τιμήσων ἦλθε τὸν θεόν.

62. Ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ] φησὶ, τῷ Νεοπτολέμῳ θύοντος, τοὺς Δελφοὺς ἁρπάζειν τὰ θύματα, ὡς ἔθος αὐτοῖς· τὸν δὲ Νεοπτόλεμον δυσανασχέτως ἔχοντα, διακωλύειν, αὐτοὺς δὲ διαχρήσασθαι

Σ. γ'. Κ. β'.

Βάρυνθεν δὲ περισσὰ Δελφοὶ ξεναγέταν.
Ἀλλὰ τὸ μόρσιμον ἀπέδωκεν.
Ἔχρῃν δέ τιν' ἔνδον ἄλσει παλαιτάτῳ
Αἰακιδᾶν κρεόντων τὸ λοιπὸν ἔμμεναι
Θεᾶ παρ' εὐτειχέα δόμον,
Ἡρωΐαις δὲ πομπαῖς
Θεμίσκοπον οἰκεῖν ἐόντα πολυθύτοις
Εὐώνυμον. — ἐς δίκαν
Τρία ἔπεα διαρκέσει·
Οὐ ψεῦδις ὁ μάρτυς ἔργμασιν ἐπιστατεῖ. —

φασθαι αὐτὸν ξίφη ἔχοντας. Ἄλλως. Ἀσκληπιάδης διὰ τῶν τραγῳδουμένων φησὶν ὕτως· περὶ μὲν ὧν τῷ θανάτῳ σχεδὸν ἅπαντες οἱ ποιηταὶ συμφωνοῦσι, τελευτῆσαι μὲν αὐτὸν ὑπὸ Μαχαιρέως, ταφῆναι δὲ τὸ μὲν πρῶτον ὑπὸ τὸν ὦδὸν τῷ νεῳ, μετὰ δὲ ταῦτα Μενέλαον ἐλθόντα ἀνελεῖν, καὶ τὸν τάφον ποιῆσαι ἐν τῷ τεμένει. τὸν Μαχαιρέα φησὶν υἱὸν εἶναι Λαΐτα. τρεῖς δὲ αἰτίας ὑπὲρ τῷ θανάτῳ τῷ Νεοπτολέμῳ περίζεται· πρῶτον μὲν ὅτι τὸ πεπρωμένον αὐτῷ ἀπέδωκε· δεύτερον, ὅτι πρέπον ἦν τῶν Αἰακιδῶν καὶ ὀφειλόμενον, σύνοικον εἶναι τῷ Ἀπόλλωνι· ἐτάφη γὰρ ὑπὸ τὸν ὦδὸν τῷ ἱερῷ· ἡ δὲ τρίτη, ὅτι ἐπισκοπεῖ τὰς τελουμένας θυσίας τοῖς ἥρωσι. λέγεται γὰρ, ὅτι μετὰ τὸ θῦσαι ἐναγισμὸς ἐπέσπενδον.

68. Ἡρωΐαις δὲ πομπαῖς] γίνεται ἐν Δελφοῖς ἥρωσι ξένια, ἐν οἷς δοκεῖ ὁ θεὸς ἐπὶ ξένια καλεῖν τοὺς ἥρωας. εἶναι ἐν μόρσιμον, ἐν ταῖς πομπαῖς ταῖς ἡρωΐαις καὶ ταῖς πανηγύρεσιν, ἐν αἷς ἐκήρυσσον τοὺς ἥρωας, θυσίαις ταῖς πολυθύτοις ἐπισκοπεῖν μετὰ Θέμιδος, καὶ τὰ νομίμως γινόμενα αὐτοῖς ξένια ἐφορῶντα. ὁ δὲ νῦς· ταῖς δὲ ἡρωϊκαῖς πομπαῖς καὶ πανηγύρεσι ταῖς πολυθυτοις, οἰκεῖν προσῆκαν τὸν Νεοπτόλεμον, ὄντα δίκαιον ἔφορον.

70. Εὐώνυμον ἐς δίκαν] Ἀρίσταρχος ὕτως· ἐπεὶ μέμψις τοῖς Αἰγινήταις πρὸς τὸν ποιητὴν ἦν, χάριν τῷ Νεοπτολέμῳ, εἰς τὴν ἀπολογίαν τὴν περὶ Νεοπτολέμου δικαίως διαρκέσει τρία ἔπεά, φησιν· ὅτι μόρσιμον ἦν αὐτῷ ὕτω τελευτῆσαι, καὶ ὅτι πεπρωμένον ἦν, ἕνα τῶν Αἰακιδῶν ἀποδανόντα τεθῆναι ἐν τῷ ναῷ, τρίτον, ὅτι ταῖς ἡρωΐαις πομπαῖς ἕνα τῶν Αἰακιδῶν θεμίσκοπον εἶναι. τρεῖς δὲ φησὶ λόγους ἱκανὸς εἶναι εἰς τὴν εὐώνυμον δίκην, οἷον, ἱκανὰς εἶναι τρεῖς αἰτίας, ἃς ἐξαριθμεῖται, τῷ δικαίως αὐτῷ συμβεβηκέναι τὸν

Αἴγινα, τεῶν Διός τ' ἐκ-
γόνων, θρασύ μοι τόδ', εἰπεῖν

Α. γ'. Κ. ιβ'.

Φαεννᾶις ἀρεταῖς ὁδὸν κυρίαν λόγων
Οἴκοθεν. ἀλλὰ γὰρ ἀναπαυσις
Ἐν παντὶ γλυκεῖα ἔργῳ. κόρον δ' ἔχει
Καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια. —
Φυᾷ δ' ἕκαστος διαφέρο-
μεν βιοτάν, λαχόντες
Ὁ μὲν τά, τὰ δ' ἄλλοι. τυχεῖν δ' ἓν'
ἀδύνατον
Εὐδαιμονίαν ἅπα-
σαν ἀνελόμενον· ὐδ' ἔχω

Εἰπεῖν,

τὸν θάνατον. ἔνιοι δὲ ὕτως ἀπολογοῦνται περὶ τῆς τῦ Νεοπτολεμυ τελευτῆς, τρία φέροντες ταῦτα, ὅτι τὸ ὑπὲρ τῶν κρεῶν εἰπεῖν ἀνηρῆσθαι, καὶ ὅτι οἱ Δελφοὶ ἐβαρυνθησαν ἐπὶ τῇ ἀπωλείᾳ αὐτῦ, καὶ ὅτι πεπρωμένον ἦν, αὐτὸν ἀναιρεθῆναι. ὁ δὲ Ἀριστόδημος ἕπεα τρία τὰς τριάδας ἀκύει. τὴν γὰρ ἀρχὴν ἔπος προσηγόρευον τὴν τροφὴν καὶ τὴν ἀντιτροφὴν, καὶ τὴν ἐπῳδὸν, τρεῖς δὲ λοιπὸν ὑπεῖνα τῷ ἐπινικίῳ τριάδας.

73. Αἴγινα, τεῶν Διός τ' ἐκ προγόνων.] ὦ Αἴγινα, τῶν τεῶν καὶ τῦ Διὸς ἐκγόνων (τῶν Αἰακιδῶν δὲ λέγει) τὸν ταῖς λαμπραῖς ἀρεταῖς, αἷς οἴκοθεν ἔχετε, ὁδὸν κυρίαν, λόγον ἀντάξιον κυρίως ἔχυσαν, εἰπεῖν ἀδύνατόν μοι καὶ τολμηρὸν τυγχάνει. τῦτο δὲ φησιν, ὡς ὁ δυνησόμενος θρασέως τὴν τῶν Αἰακιδῶν ἀρετὴν διεξιέναι. πολλοῖς γὰρ ἀνήνυτόν φησι τῦτο.

76. Ἀλλὰ γὰρ (sic) ἀναπαυσις ἐν παντὶ] βέλεται ἤδη λῆξαι τῆς περὶ Νεοπτόλεμον παρεκβάσεως· ἀναπαύσομαι ἤδη λέγων περὶ αὐτῦ, ἐπεὶ κόρος ἔπεστι πᾶσι. κόρον γὰρ ἔχει καὶ τὸ μέλι, φησὶ, καὶ τὰ Ἀφροδίσια. παρὰ τὸ Ὁμηρικόν (Il. XIII, 636)· Πάντων μὲν κόρος ἐστί.

79. Φυᾷ δ' ἕκατος διαφέρομεν] διαφέρομεν, φησιν, ἄλλοι ἄλλων τῇ φύσει· ὁ πρὸς πάντα πάντες εὐφυεῖς ἐσμεν, ἀλλ' ἄλλοι περὶ ἄλλα.

Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ
ἐπιτέρπεται ἔργοις (Hom. Od. XIV, 228.)

τὸ

Εἰπεῖν, τίνι τᾶτο Μοῖρα τέλος ἔμπεδον
Ὤρεξε. Θεαρίων, τὶν
Δ' ἐοικότα καιρὸν ὄλβῳ

Ε. γ'. Κ. ζ'.

Δίδωσι· τόλμαν τε καλῶν ἀραμένῳ
Σύνεσις ἐκ ἀποβλέπει Φρενῶν. —
Ξεῖνός εἰμι, σκοτεινὸν ἀπέχων
Ψόγον. ὕδατος ὥτε
Ῥοὰς Φίλον ἐς ἄνδρ' ἄγων
Κλέος ἐτήτυμον, αἰνέσω. —
Ποτίφορος δ' ἀγαθοῖσι μισθὸς ἔτος. —

Σ. δ'.

τὸ δὲ τυχεῖν πάντων ἀγαθῶν ἕνα καὶ παραμεῖναι αὐτῷ μέχρι τέλους ἀδύνατον.

85. Θεαρίων, τὶν δ' ἐοικότα] σοὶ δέ, φησιν, ὦ Θεαρίων, ἡ τύχη καιρὸν εὐδαιμονίας ἁρμόδιον δωρεῖται, ὅτι γεγηρακότι ἐνακμάζετε σοὶ τὸ γῆρας ταῖς τῶ παιδὸς εὐδοξίαις.

87. Τόλμαν τε καλῶν ἀραμένῳ] ὅλως ἀποδέχεται ὁ Πίνδαρος τὴν μετὰ συνέσεως τόλμαν. (Fragm.)· Τόλμα τε μὶν ζαμενὴς καὶ σύνεσις πρόσκοπος ἐσάωσεν· ἡ μὲν σύνεσις, προεπισκοπεῦσα, πῶς ἐκβήσεται, ἡ δὲ τόλμα ἐγχείρησις ὖσα. (Aliud Fragm.)· Θαρσαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων. ὧν τοῖς ἰδίοις δημόταις καταφανὴς εἰμι, ὡς ἂν ὑδενὶ ἐνεχόμενος ἀτόκῳ πράγματι.

89. Ξεῖνός εἰμι σκοτεινὸν ἀπέχων ψόγον.] ξένος εἰμί, φησι τῶν Αἰγινητῶν, τὸν ἐπισκοτοῦντα ψόγον ἀπέχων· ὑδείς με ψέγει, ὅτι ἐπαινῶ τὺς Αἰγινήτας. ὁ γὰρ πολίτας ὄντας ἐμαυτῦ διὰ τᾶτο ἐπαινῶ. προσχαρίζεσθαι γὰρ ἄν ἐδόκουν διὰ τὴν οἰκειότητα ἐγκωμιάζων. ὁ γὰρ ἐξ οἴκου ποτὶ μῶμον ἔπαινος κίρναται (Fragm. p. 105). νῦν δὲ ἐκ ὢν ἐξ οἴκου ἐπαινῶ αὐτύς. διὸ ἐ φθονήσομαι. Δίδυμος δὲ, ὑδένα ψέξω, φησι, καὶ οὐχ ὅτι τᾶτο ἐκ ἀλλοτρίων τοῦ Πινδάρου, ἀλλὰ πολλὰ γὰρ αὐτῷ τοιαῦτα εἴρηται. τᾶτο δὲ λέγει, παρὸ εἰώθασιν οἱ πολῖται ἀεὶ φθονεῖν τοῖς κατά τι προέχουσι. διὰ τᾶτό φησιν ὁ Πίνδαρος ξένος εἶναι, καὶ τὸν σκοτεινὸν ψόγον ἄποθεν ἔχειν· καὶ ὑδένα, φησὶ, ψέξω, μᾶλλον δὲ τὸ κλέος τὸ ἀληθὲς, ὥσπερ ὕδατος ῥοὰς εἰς τὸν φίλων ἄγων ἄνδρα αἰνέσω, ὡς ὕδωρ ὀχετηγός. ὡς γὰρ ἐκεῖνος ἀμφυτὰ ἄγων τὸ ὕδωρ ἐπὶ τὰ δένδρα τρέφει αὐτὰ, ὕτω κἀγὼ τὰς

Σ. δ'. Κ. ιβ'.

Ἐὼν δ' ἐγγὺς Ἀχαιὸς ὁ μέμψεταί μ' ἀνὴρ
Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων.

Καὶ

τὰς τῶ ὕμνω ῥυὰς ἐπὶ τὸν φίλον ἄνδρα, ἐκαινέσω καὶ αὐξήσω τὸ κλέος. ὁ δὲ νῦς· ξένος ὢν λέγω τἀληθῆ, τὴ φθόνε ἐκτὸς ὤν τῶν πολιτῶν. ἔμφυτον γὰρ τοῖς πολίταις, τὸ ἀλλήλοις διαφθονεῖν· καὶ ὥσπερ τὰ ὕδατα ὀχετηγὸς ἀψαύτως, ὕτω καὶ ἐγὼ διαπορθμεύσω τὴ ἀνδρὸς τὴν ἀρετὴν τοῖς ὕμνοις, καὶ τὴν περὶ τὰς ἀγῶνας αὐτῆ εὐδοξίαν, ἀψευδῶς καὶ ἀληθῶς. κροσφορος γὰρ ἐστι τοῖς ἀγαθοῖς καὶ ἀνδρείοις ὁ μετὰ τῆ ἀληθῆς ὕμνος.

94. Ἐὼν δ' ἐγγὺς Ἀχαιὸς, ὃ ψεύστεται (sic) με ἀνὴρ.] Ἀχαιὸν ἄνδρα τὸν Ἠπειώτην, ἢ αὐτὸν τὸν Νεοπτόλεμον, ἢ ἕνα τῶν Ἠπειρωτῶν. Ἀχαιὸς γὰρ ὁ καθάπαξ ὁ Ἠπειώτης, ἀλλὰ Μυρμιδών. Ἀχαιοὶ γὰρ οἱ ἀπὸ τῆς Θεσσαλίας ταχθέντες ὑπὸ Νεοπτολέμω, ἀπεπλάγχθησαν εἰς τὴν Μολοσσίαν καὶ κατώκησαν εἰς τὴν Ἤπειρον. ὁ μέμψοιτο ἄν ἔν με Ἀχαιὸς ἀνὴρ ἐπὶ τὸ δοκεῖν μικρολόγου παρεταίνω τὸν Νεοπτόλεμον, ὅτι εἶπεν αὐτὸν περὶ κρεῶν μεμαχῆσθαι, καὶ διὰ τῦτο ἀπολωλέναι. καθόλυ γὰρ ἀπολογεῖσθαι βύλεται περὶ τῆ Νεοπτολέμυ θανάτυ πρὸς τὰς Αἰγινήτας. ἐκεῖνοι γὰρ ἠτιῶντο τὸν Πίνδαρον, ὅτι γράφων Δελφοῖς τὸν παιᾶνα (Fragm.), ἔφη Ἀμφικτύοισι μαινάμενον μυρίαν περὶ τιμὰν ἀπολωλέναι. ἀπολογούμενος γάρ τι ἀντεισήγαγε τοῦτο ὁ Πίνδαρος, ὅτι οὐκ ἔφησε περὶ χρημάτων γεγονέναι τῶ Νεοπτολέμω τὴν μάχην, ἀλλὰ περὶ τῶν νομιζομένων τιμῶν τοῖς Δελφοῖς, ὅ ἔν λέγει, τοιῦτόν ἐστι· παρὼν δέ τις ἐνταῦθα Δωδωναῖος ὃ μέμψεταί μοι, ὡς ἐνυβρίσαντι τῷ Νεοπτολέμω. ἢ ἔτως· ἐγγύς μοι γενόμενος καὶ ἀκούσας αὐτὸς ὁ Νεοπτόλεμος, ὧν εἶπον, ἢ ἕτερος Ἠπειώτης, ὃκ ἄν μέμψοιτο.

95. Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων.] δοκεῖ ὁ Νεοπτόλεμος τὴν τῆ πατρὸς ἀρχὴν διαδέξασθαι τῶν Μυρμιδόνων, καὶ ἡγήσασθαι ἐν Τροίᾳ. ἕτοι δὲ καὶ Ἀχαιοὶ ἐκαλῦντο, καθά φησι καὶ Ὅμηρος (Il. II, 684)·

Μυρμιδόνες δὲ καλῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί.

ἕτοι δὲ κατὰ τὸν Ἰόνιον πόντον ᾤκησαν, καθὰ καὶ αὐτὸς Πίνδαρος σημαίνει λέγων (Nem. IV, 83)· Νεοπτόλεμος δ' Ἀπείρω διαπρυσίᾳ, βαθύτατα τόθι πρῶνες ἔξοχοι κατάκεινται, Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόντον. γράφεται πόρον. τὸ δὲ, προξενίᾳ (96), ἀμφίβολον, πότερόν φησιν ὁ Πίνδαρος μὴ μεμφθῆναι ἂν ὑπὸ τῶν Αἰακιδῶν· πρόξενον γὰρ ὄντα, μὴ ἂν ποτε κατὰ Νεοπτολέμυ εἰπεῖν. καὶ ὅτι πρόξενος ὢν αὐτοῖς ἐκ' οὐδενὶ μεμφθήσομαι. θαῤῥῶ γὰρ αὐτοῖς, οἷον, οὐδείς με μέμψεται, ἢ πεποιθότα τῆ προξενίᾳ τῆ πρὸς τοὺς Ἠπειώτας, ἢ πιστεύω καὶ

Καὶ πρόξενία πέποιθ'· ἔν τε δαμόταις
Ὄμμασι δέρκομαι λαμπρὸν, ὐχ ὑπερβαλὼν,
Βίαια πάντ' ἐκ ποδὸς ἐρύ-
σαις. — ὁ δὲ λοιπὸς εὔφρων
Ποτὶ χρόνος ἕρποι. — μαθὼν δέ τις ἄν ἐρεῖ,
Εἰ πὰρ μέλος ἔρχομαι
Ψεγίον ὄαρον ἐννέπων. —
Εὐξενίδα πάτραθε Σώγενες — ἀπομνύω
Μὴ τέρμα προβὰς, ἄκον θ' ὥς-
τε χαλκοπάραον, ὄρσαι

A. θ'.

καὶ τῇ συγγενείᾳ, ἣν ἔχομεν Θηβαῖοι πρὸς τοὺς Αἰγινήτας. διὸ ὐ μέμψονταί μοι οὐδὲ ὕτοι.

97. Ὄμματι δέρκομαι λαμπρὸν] καὶ ἐν τοῖς ἱεροῖς μου πολίταις ὁρῶ ὐχ ὑπέρλαμπρον, καὶ ὑπεροπτικὸν, ἀλλὰ μέτριός τις καὶ χρηστὸς τυγχάνω. ἡ δὲ ὑπὲρ συναπτέα τῷ βάλλων, ἵν' ᾖ, ὐχ ὑπερβάλλων. ἢ ὕτως· οὐδὲ μὴν ἄλλως, φησὶν, ἐν τοῖς πολίταις ὑπεροπτικός εἰμι καὶ ὑπέρογκος, ὐ προσβλέπων τοὺς πολίτας ὄμματι λαμπρῷ καὶ ὑπερηφάνῳ, ἀλλὰ μειδιῶντι καὶ προσηνεῖ, ὥστε καὶ δι' αὐτὸ τὸ, ἄμεμπτος εἶναι.

98. Βίαια πάντα ἐκ ποδὸς ἐρύσαις] διάγω, φησὶ, κατὰ τὰς Θήβας μετρίαζων τὰ βλάσφημα καὶ ὑπεροπτικὰ ἐκποδὼν ἀφελκύσας, ἤτοι, μακρὰν μου χωρίσας. ἢ ὕτως· ὕτω, φησὶ, ζῶ τὰ βιαϊκὰ πάντα ἐκ ποδῶν μου ἄρας, τυτέσιν, οὐδένα βιαζόμενος ζῶ.

99. Ὁ δὲ λοιπὸς εὔφρων] ὁ δὲ λοιπὸς χρόνος περσέρποι καὶ βαίνοι πρὸς ὧν καὶ εὔφρων, ὁ δὲ νῦς ὅλος· εἴθε μοι τὸ ὅλον τοῦ βίου ὕτω μετ' εὐφροσύνης συμπεραθείη. Τὸ δὲ, ποτὶ ἕρπει, ἀντὶ τοῦ, προσέρπει.

100. Μαθὼν δέ τις ἄν ἐρεῖ] τὶς σοφὸς μαθών. ἔτι γὰρ καὶ ταῦτα προσαπολογεῖται ὑπὲρ τῆ Νεοπτολέμῳ. τὸ δὲ ἄν ὑπερβιβαστέον πρὸς τὸν δὲ σύνδεσμον, ἵν' ᾖ· μαθὼν δέ τις, εἰ παρὰ τὸ προσῆκον λέγω, ἀντὶ τοῦ, εἰ ψεύδομαι. ὁ δὲ νῦς· γνώριμος δέ τις καὶ πολίτης εἴποι ἄν τις ἔνδοξα καὶ ὐκ ἀληθῆ λέγων ἐμαυτῷ.

103. Εὐξενίδα πάτραθε Σώγενες] πρὸς αὐτὸν τὸν Σωγένη ἀπέστρεψε τὸν λόγον. Εὐξενίδην δὲ εἶπεν, ὡς ἀπό τινος Εὐξένου, τῆς ὅλης φατρίας ἀφηγημένου, ὡς Σκοπάδας καὶ Ἀλευάδας εἴωθε καλεῖν τοὺς Θεσσαλοὺς, καὶ Ἐμμενίδας τοὺς ἐπὶ Σικελίᾳ. ἢ Εὐξενίδας, ἀντὶ τοῦ, εὐξένους. πανταχοῦ δὲ τοὺς Αἰγινήτας φιλοξένους πρασαγορεύει, καὶ νῦν εὐξενίδα, ἀντὶ τοῦ, εὔξενε. Ἄλλως. φατρία ἐν Αἰγίνῃ, ἀπὸ Εὐξένου, ἧς ἔτιν ὁ Σωγέ-

Α. δ'. Κ. ιβ'.

Θοὰν γλῶσσαν — ὅς ἐξέπεμψας παλαισμάτων
Αὐχένα καὶ σθένος ἀδίαντον,
Αἴθωνι πρὶν ἁλίῳ γυῖον ἐμπεσεῖν —
Εἰ πόνος ἦν, τὸ τερπνὸν πλέον πεδέρχεται —
Ἔα με, νικῶντί γε χάριν
Εἴ τί περ ἄν ἀεθλεῖς
Ἀνέκραγον. ὠ τραχύς εἰμι καταθέμεν.

Εἴρειν

Σωγένης. ὁ δὲ λόγος· ὦ Σώγενες, ὑπαμυνῶ τῇ (sic) Εὐξενίδα πάτρᾳ, μὴ τέρμα προβὰς, θοὰν ὄρσαι γλῶσσαν, ὡς ἄκοντα χαλκοπάρυον. τοῦτο δὲ ἀπὸ τῶν πεντάθλων μετενήνοχε, τῶν τὸ ἀκόντιον παρὰ τὸ ὡρισμένον τέρμα βαλλόντων διὰ τῶν ἐξ ἄθλων γινομένων. ἐγὼ, φησι, καθίημι τὴ σκοπῆ, ἡ γλῶσσά μὲ ἐπὶ τὸν σκοπὸν ἀνήνεκται, οὐχ ὑπερπέπτωκε τὸ τέρμα, ὡς ἀκόντιον. τοῦτο δὲ εἶπεν, ἐπειδὴ πένταθλός ἐστιν ὁ Σωγένης. ὁ νῦν· ὕμνυμι τῇ Φατρίᾳ τῶν Εὐξενιδῶν περὶ σοῦ λέγων, μὴ ὥσπερ ἀκοντιστὴ, οἱ δ' ἁπλησίαν ἰσχύος ὑπερβάλλυσι τὸ τέρμα, καθ' ὃ δεῖ πέμψαι, οὕτω κἀγὼ τῇ ἀληθείᾳ.

106. Ὃς ἐξέπεμψας παλαισμάτων αὐχένα] ἀπὸ τῆ πρὸς αὐτὸν λόγε εἰς τὸν περὶ αὐτῆ μετέσηκ· ὅτις, ὁ Σωγένης, τῶν τῆ πεντάθλε ἀγωνισμάτων ἐξέπεμψεν ἑαυτῆ τὸ γυῖον, ἄνευ ἰδρῶτος, πρὶν ἐκπεσεῖν τὴν τῆ ἡλίε ἀκτῖνα. ἐκ δὲ τύτε τὸ τῆς ἀθλήσεως ἐράσμιον καὶ ταχὺ χαρακτηρίζει.

ἔνιοι δὲ, ὡς νικήσας, φασὶ, τὸ ἀκόντιον ἐσείφθη. ἀκέτι μέν τοι ἐπάλαισε, παραιτησαμένων αὐτὸν τῶν ἄλλων. ἐπεὶ δὲ οἱ παλαίοντες χρονοτριβῆσι, καὶ τὸν πλείονα χρόνον ἐν τῷ ἡλίῳ μένυσι. διὰ τύτο, φησι, πρὶν ἁλίῳ γυῖον ἐμπεσεῖν, τυτέστι, πρὸ τῆ ἐκλυθῆναι τὸ σῶμα ὑπὸ τῆ ἡλίε διὰ τὴν πάλην, ἀντὶ τῆ εἰπεῖν, πρὶν παλαῖσαί σε.

109. Εἰ πόνος ἦν] εἰ καὶ κάματος ἦν, φησὶν, ἐν τῷ ἀγωνίζεσθαι, ἀλλὰ μείζων ἡ ἐκ τῆς νίκης ἡδονή. ὁ ἀγών, φησιν, αἴτιος ὁ γενόμενος τῆς παντελῆς νίκης, ὐκ ἐποίησε χρείαν σε ἔχειν τῆ διὰ πάλης σε γενέσθαι τῶν ἀνταγωνιστῶν, ἀλλά σε ἄβρεκτον τὸν αὐχένα ἐξέπεμψε τῆ ἀγῶνος.

110. Ἔα με νικῶντί γε χάριν] τὸ ὑπερβατὸν ὕτως· ἔα με, εἴ τι περ ἄν ἀεθλεῖς ἀνέκραγον, νικῶντί γε χάριν φέρειν.

112. Οὐ γὰρ (sic) τραχύς εἰμι καταθέμεν] ὐ γάρ εἰμι ἀηδὴς φησι, καὶ ἀπηνὴς τοῖς νικῶσι τὰ ἐγκώμια θέσθαι.

113. Εἴ-

Εἶρειν στεφάνους ἐλα-
φρόν. ἀναβάλλεο. Μοῦσά τοι
Κολλᾷ χρυσὸν, ἔν τε λευκὸν ἐλέφανθ' ἁμᾷ,
Καὶ λείριον ἄνθεμον πον-
τίας ὑφελοῦσ' ἐέρσας. —

Ε. δ'. Κ. ζ'.

Διὸς δὲ μεμναμένος ἀμφὶ Νεμέᾳ
Πολυφάτων ὕμνων θρόον δόνει
Ἡσυχῇ· βασιλῆα δὲ θεῶν

Δάπεδον

113. Εἶρειν στεφάνους ἐλαφρὸν] πρὸς αὐτὸν διαλέγεται. ὁ δὲ νοῦς· ἐπὶ τούτοις τοῖς κατορθώμασιν ἐλαφρῶς συντιθέναι καὶ πλέκειν στεφάνους παραιτοῦ, ἀντὶ τοῦ, μέγα τι καὶ ἀξιοπρεπὲς ἐφάρμοζε τῇ νίκῃ ἐγκώμιον.

114. Ἀναβάλλεο· Μοῦσά τοι κόλλᾷ χρυσὸν] ἤτοι ἡ Μοῦσα, ἡ ἐγκωμιαστική, ποικίλως κοσμεῖ τοὺς ἐπαινουμένους, οἷον, ἡ Μοῦσα πᾶσι χρῆται τοῖς ἐγκωμίοις. Ἄλλως. λέγειν τὶ ἐλαφρὸν περὶ τῶν ἱερῶν στεφάνων ἀναβάλλῃ, οἷον, μὴ λέγε πολὺ περὶ τῶν νικώντων, ἀλλὰ μᾶλλον μεγάλα λέγων αὔξανε αὐτούς, ἀντὶ τοῦ, ἀνακρούου καὶ ἄρχου τὶ λέγειν ἐλαφρῶς περὶ τῶν στεφάνων. εἰ μείζονα εἴρηκας αὐξητικὸς ὤν, νῦν ἐλαφρῶς ἄρχου τὶ λέγειν περὶ αὐτῶν.

116. Καὶ λείριον ἄνθεμον] τινὲς φασιν εἶναι κεφάλιον, εἰρῆσθαι δὲ αὐτὸ ποντίαν ἔερσαν, διὰ τὸ δοκεῖν, ἕως μέν ἐστι κατὰ βάθους, κάπαλὸν εἶναι καὶ φυτῷ ὅμοιον· ὅταν δὲ ἀναπτασθῇ, καὶ γένηται ἔξω τοῦ ὕδατος, ἀπολιθοῦσθαι, τοῦ ἡλίου καταλάμψαντος αὐτῷ· οἱ δὲ ποντίαν δρόσον τὴν πορφύραν φασὶ, διὰ τὴν τοῦ κογχυλίου βαφήν, λείριον δὲ ἄνθος τὸ ἔριον. ἀναφέρει δὲ ταῦτα ἐπὶ τὴν τῶν ὑφαινομένων ποικιλίαν ταύτην, ἐπεὶ τὸ πλύμα ὑφάσματι παρέοικεν, ὡς καὶ αὐτὸς ἐν ἄλλοις (Fragm.)· Ὑφαίνω δ' Ἀμυθαονίδαις ποικίλον ἄνθημα.

118. Διὸς δὲ μεμναμένος] τοῦ Διὸς εἰς ὑπόμνησιν ἐλθὼν, πολυθρύλλητον λόγον ἐκ τῶν ὕμνων ἀνακίνει, εὐμούσως καὶ τεταγμένως περί τε τὴν Νεμέαν καὶ τὸν Δία. τοῦτο δὲ λέγει, ἐπεὶ Νεμεονίκης ὁ Σωγένης.

120. Βασιλῆα δὲ θεῶν] τὸν τῶν θεῶν βασιλέα, Δία, κατὰ τοῦτο τὸ ἔδαφος ὑμνεῖν προσήκει, ἤτοι, τὸ τῆς Νεμέας· ἀνάκειται γὰρ ὁ Νεμεαῖος ἀγὼν τῷ Διΐ· ἢ κατὰ τὸ τῆς Αἰγίνης, ὅ καὶ μᾶλλον διὰ τὰ ἐπιφερόμενα. διατί δὲ πρέπει τὸν Δία ἐν τῇ Αἰγίνῃ ὑμνεῖν, αὐτὸς ἐπίσει.

123. Λέ-

Δάπεδον πρέπει ἀν' τό-
δε γαρυέμεν θεμόρα
Ὀπί. λέγοντι γὰρ Αἰακὸν
μιν ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι,

Σ. ε'. Κ. ιβ'.

Ὑμᾶ μὲν πολίαρχον εὐωνύμῳ πάτρᾳ,
Ἡράκλεις, σέο δὲ προπρεῶνα
Μὲν ξεῖνον ἀδελφεόν τ'. — εἰ δὲ γεύεται
Ἀνδρὸς ἀνὴρ, τί φαῖμέν κε γείτον' ἔμμεναι,
Νόῳ

123. Λέγοντι γὰρ Αἰακὸν] τητέσι, διὰ τὸ τὸν Δία πατέρα εἶναι Αἰακοῦ, ὃς ἦν πολίαρχος ἡμῶν. Διὸς γὰρ καὶ Αἰγίνης Αἰακός. ἰδίως δὲ φαίνεται ἐπὶ ταύτης τῆς ᾠδῆς ἀνατραμμένος ὁ Πίνδαρος. ὅτε μὲν γὰρ αὐτὸς ἐκ τοῦ ἰδίου προσώπου διαλέγεται πρὸς τοὺς μεμφομένους περὶ τοῦ Νεοπτολέμου, ὅτε δὲ παράγει τὸν χορὸν τῶν Αἰγινητῶν διαλεγόμενον.

125. Ἐμᾷ μὲν πολίαρχον] οὗ γὰρ ὁ Πίνδαρος Αἰγινήτης. φασὶ δὲ, τὸν Δία ὑπὸ ταῖς γοναῖς τῆς Αἰγίνης πεφυτευκέναι τὸν Αἰακόν. ὁ δὲ νοῦς· ἔφυσε δὲ ὁ Ζεὺς τὸν Αἰακὸν, ὦ Ἡράκλεις, τῇ μὲν ἐμῇ πόλει βοηθὸν, σοὶ δὲ πρόθυμον ἀδελφόν. μνημονεύει δὲ τοῦ Ἡρακλέους, ἐπειδὴ ὁ τοῦ νικηφόρου οἶκος ἑκατέρωθεν Ἡρακλείοις περιέχεται τεμένεσιν. ἀπέστρεψε δὲ τὸν λόγον πρὸς τὸν Ἡρακλέα, ὡς τοῦ Αἰακοῦ ὑποδεδεγμένου καὶ ξενικότος. Προπρεῶνα δὲ, ἀντὶ τοῦ, πρόθυμον. φησὶ δὲ καὶ, ὅτι ἀδελφὸς Ἡρακλέους ὁ Αἰακός.

127. Εἰ δὲ γεύεται (sic) ἀνδρὸς ἀνὴρ] εἰ θιγγάνειν φησὶ τῇ ψυχῇ καὶ ἐπιδέεται ἀνδρὸς ἀνὴρ εἰς τὰς βιωτικὰς χρείας, τί ἂν φαίμεν χρῆμα τούτῳ μεῖζον εἶναι, ἢ τοὺς φιλοῦντας εὐθὺς καὶ γειτνιᾶν; ὁ γὰρ γείτων τάχιον χρείας ἁπαιτήσης ἅπαντᾷ. Ἡσίοδος (Opp. et D. 345)·

Γείτονες ἄζωστοι ἔκιον, ζώσαντο δὲ πηοί.

ἢ οὕτως· ἐπεὶ δεῖται ἄνθρωπος ἀνθρώπου εἰς βίον, τί ἂν εἴη τούτου μεῖζον τοῦ εὑρεῖν γείτονας ἀλλήλους φιλοῦντας; Ἀρίσταρχος οὕτως· ἐπεὶ δὲ κατὰ τὰς συνηθείας καὶ γειτνιάσεις ἕτερος ἄνθρωπος ἀφ' ἑτέρου γεύεταί τι καὶ ἀπολαύει ἀφομοιούμενος, ὥσπερ ἡ παροιμία ἔχει·

Χώλῳ παροικεῖς, κἂν ἐνὶ σκάζειν μάθοις·

εἰκότως ἂν τὸν ὠφεληθέντα γείτονα ἀπὸ γείτονος ἀξιόχρεων εἶναι χάρμα. παρὸ καὶ Ἡσίοδος (Opp. et D. 346)·

Πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ.

Ἄλλως.

Νόῳ φιλήσαντά γ' ἀτενεῖ,
Γείτονι; χάρμα πάντων
Ἐπάξιον, εἰ γ' αὐτὸ καὶ θεὸς ἄν ἔχοι. —
Ἐν τίν κ' ἐθέλει, Γίγαντας ὅς ἐδάμασας, εὐτυχῶς
Ναίειν πατρὶ Σωγένης ἀταλὸν ἀμφέπων
Θυμὸν προγόνων ἐϋκτή-
μονα ζαθέαν ἀγυιάν.

Α. ε. Κ. ιβ'.

Ἐπεὶ, τετραόροισιν ὥσθ' ἁρμάτων ζυγοῖς,
Ἐν τεμένεσσι δόμον ἔχει τε-
οῖς, ἀμφοτέρας ἰὼν χειρός. — ὦ μάκαρ,
Τὶν

Ἄλλως. ὁ δὲ λόγος κατ' ἐρώτησιν καὶ ἀπόκρισιν. εἰ δὲ κατὰ τὰς γειτνιάσεις γένεται καὶ ἀπολαύει γείτονος γείτων δεξιῶ τε καὶ προθύμῳ, τί ἂν εἴποιμεν τῷ φιληθέντι τὸν φιλήσαντα; εἶτα ὡς κατὰ σύγκρισιν γείτονα πάντων χρημάτων ἐπάξιον.

131. Εἰ δ' αὐτὸ καὶ θεὸς ἄν ἔχοι] εἰ δὲ τοῦτο οὕτως ἔχει, ὅτι οἱ φιλοῦντες γείτονες μεγάλως ἀλλήλους ὠφελοῦσι, καὶ περὶ θεῶν τοῦτ' ἂν εἴη, καὶ θεὸς τοῦτ' ἂν ἀγαθὸν, γειτνιῶν ἀνθρώπῳ φιλοῦντι; ὥστε πολλὰ αὐτῷ συμβαλέσθαι. τοῦτο δὲ ἀναφέρει ἐπὶ τὸν Σωγένη καὶ τὸν Ἡρακλέα. ἦν γὰρ Ἡράκλεια τεμένη ἑκατέρωθεν τῆς οἰκίας Σωγένους. μέγα οὖν ἔχει ἀγαθὸν ὁ Σωγένης, τὸ ἔχειν σε γείτονα, ὦ Ἡράκλεις, φιλοῦνται αὐτόν. οὐ γὰρ ἐνίκησεν ἄν, εἰ μὴ ἐκ τῆς ἰδίας ἐπινοίας. ὁ δὲ νῦς· εἰ δὲ αὐτὸ τοῦτο καὶ θεὸς παρέχει τὸ τῆς γειτνιάσεως ἀγαθὸν, σὺν σοὶ ἄν, ὦ Ἡράκλεις, ὅσις ἐδάμασας τοὺς γίγαντας, ὁ Σωγένης εὐτυχῶς βούλοιτο διαζῆν, τὴν σὴν καὶ δικαίαν τῷ πατρὸς αὐτοῦ θεραπεύων ψυχὴν καὶ τῶν προγόνων τὴν θείαν καὶ πλουσίαν οἰκίαν, ἀπὸ κοινοῦ, ἀμφέπων.

137. Ἐπεὶ τετραόροισιν ὥσθ' ἁρμάτων ζυγοῖς] ἐπειδή, φησιν, ὥσπερ τῶν τετρώρων ἁρμάτων ὁ ῥυμὸς μεταξὺ, οὕτω καὶ ἐν τοῖς τοῦ Ἡρακλέους τεμένεσιν ὁ νικηφόρος ἐν μέσῳ τὸν ἑαυτοῦ οἶκον ἔχει. ὁ δὲ νῦς· ἐπεὶ ἐν τοῖς σοῖς τεμένεσιν, ὦ Ἡράκλεις, τὸν

Τὴν δ' ἐπέοικεν, Ἥραν πόσιν τε πειθέμεν
Κόραν τε γλαυκώπιδα. δυνα-
σαι δὲ βροτοῖσιν ἀλκὰν
Ἀμαχανιᾶν δυσβάτων θαμὰ διδόμεν.
Εἰ γάρ σφισιν ἐμπεδο-
σθενέα βίοτον ἁρμόσαις
Ἥβα λιπαρῷ τε γήρᾳ διαπλέκοις
Εὐδαίμον' ἐόντα· παίδων
Δὲ παῖδες ἔχοιεν αἰεί

Ε. έ. Κ. ξ'.

Γέρας τό περ νῦν, καὶ ἄρειον ὄπιθεν.
Τὸ δ' ἐμὸν ἤ ποτε φάσει κέαρ

Ἀτρό-

δόμον ἔχει μέσον· ὡς ἐπὶ ἁρμάτων ὁ ῥυμὸς μέσος ἐστὶν, οὕτως ὁ Σωγένης οἶκος ἐξ ἀμφοτέρων τῶν χειρῶν, καὶ ἀριστερᾶς καὶ δεξιᾶς, ἔχων τὰ σὰ τεμένη, μέσος ἐστὶν, ὡς ὁ ῥυμὸς ἅρματος τετρώρου.

141. Δύνασαι δὲ βροτοῖσιν ἀλκὰν] δύνασαι δὲ καὶ αὐτὸς τῶν ἀπόρων καὶ ἀμηχάνων εὑρεσιν δοῦναι· ἀπὸ κοινοῦ γὰρ τὸ, διδόμεν· καὶ δύνασαι τὰς ἄλλας θεὰς πεῖσαι δοῦναι, ὡς προεῖπεν. ὁ δὲ νῦς· δύνασαι, φησιν, ἀπαλλάξειν τὰς ἀμηχανίας καὶ τὰς ἀτυχίας τῶν ἀνθρώπων. ἀλεξίκακος γὰρ ὑπάρχεις.

144. Εἰ γάρ σφιν (lic) ἐμπεδοσθενέα] εἴθε γὰρ αὐτοῖς ἀσφαλῆ καὶ ἀδιάπαυστον ἁρμόσας τῇ τε ἥβῃ καὶ τῷ λιπαρῷ γήρᾳ αὐτῶν παραπλέξαις. Ἄλλως. εἴθε γὰρ αὐτῷ ἐμπεδοσθενῆ τὸν τὸν βίον ἁρμόσαις, ἐν τῇ ἀκμῇ καὶ τῷ λιπαρῷ γήρᾳ διαπλέκοις τὸν βίον εὐδαίμονα.

147. Παίδων δὲ παῖδες ἔχοιεν] ὡς τιμήν τινα ἐχόντων αὐτῶν, ἢ ἱερωσύνην, ἢ ἄλλο τι τοιοῦτον παρὰ τοῖς Αἰγινήταις. ἔχοιεν δὲ τοῦτο τὸ γέρας, φησὶν, οἱ παῖδες τῶν παίδων, ὅπερ νῦν ἔχουσι, καὶ ὄπισθεν αὐτὸ ἄρειον.

150. Τὸ δὲ ἐμὸν ἤ ποτε φάσει κέαρ] ἢ ἀτρόπως, φησὶν, ἢ ἀπροσδοκήτως, εἰς μνήμην ἐληλυθέναι Νεοπτολέμου. ὁ μὲν οὖν Καλλίστρατος ἐπέφησε, τὸν Σωγένη γείτονα εἶναι τῷ Ἡρακλέους, καὶ ὁ Νεοπτόλεμος δὲ γειτνιᾷ τῷ θεῷ τῷ ἐν Δελφοῖς. κατὰ τοῦτο,

Ἀτρόποισι Νεοπτόλεμον ἑλ-
κύσαι ἐπέεσσι. ταῦτα
Δὲ τρὶς τετράκις τ' ἀμπολεῖν,
Ἀπορία τελέθει, τέκνοι-
σιν ἄτε μαψυλάκας, Διὸς Κόρινθος.

ταῦτό, φησὶν, οἰκείως μεμνῆσθαι τῷ Νεοπτολέμῳ, διὰ τὴν ἀμφοτέρων γειτνίασιν. ὁ δὲ Ἀριστόδημος, ὅτι μεμφθεὶς ὑπὸ Λιγυηνῶν ἐπὶ τῷ δοκεῖν ἐν παιᾶσιν εἶπεῖν, τὸν Νεοπτόλεμον ἐπὶ ἱεροσυλίᾳ ἐληλυθέναι εἰς Δελφοὺς, νῦν ὥσπερ ἀπολογεῖται εἰπών, ὅτι οὐχ ἱεροσυλῶν ἐτελεύτησεν, ἀλλ' ὑπὲρ κρεῶν φιλοτιμηθεὶς ἀνῃρέθη. διὸ καὶ ἐποίσει.

152. Ταῦτα δὲ τρὶς τετράκις τ' ἀμπολεῖν, ἀπορία τελέθει] δῆλον, ἀπολελόγημαι ἱκανῶς περὶ τῷ Νεοπτολέμῳ. τί οὖν ἔτι μέλλω τὰ αὐτὰ ἀναπολεῖν; ἀπορεῖν γάρ ἐστι λόγων, τὸ ἀναπολεῖν τὰ αὐτὰ ὥσπερ παρὰ νηπίοις τοῖς τέκνοις. τὸ δὲ, ἑλκύσαι, ἀντὶ τοῦ ἐνυβρίσαι φησίν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν κυνῶν τῶν ἑλκόντων τὰ σώματα. ὁ δὲ νῦς· διορίζεται, φησὶ, καὶ πέποιθεν ἑαυτῇ ἡ ἐμὴ ψυχὴ, μηδέποτε τῷ Νεοπτολέμῳ ἐνυβρίσαι.

153. Ἄτε μαψυλάκας Διὸς Κορίνθους] μαψυλάκας, ὁ μάτην φλυαρηθείς. Διὸς Κόρινθος δὲ παροιμία ἐξὶν ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων. ἡ δὲ παροιμία ἐντεῦθεν ἔρρει. Ἀλήτης ἐλθὼν περὶ τῆς ἐν Κορίνθῳ βασιλείας προσῆλθε τῷ μαντείῳ τῷ ἐν Δωδώνῃ, ὅ ἐστι τοῦ Διὸς, καὶ ἔχρησεν αὐτῷ τότε κρατήσειν, ὅτε τὸ δῶ βῶλον γῆς· ἐπιθέσθαι δὲ ἡμέρᾳ πολυσφάκτῳ. ἐλθὼν οὖν ἐν Κορίνθῳ ἤτει τινὰ ἀγροϊκὸν ἄρτον ὁ Ἀλήτης. ὁ δὲ λαβὼν βῶλον ἔδωκεν. ἐτελεῖτο δὲ καὶ θυσία τοῖς νεκροῖς ἐν Κορίνθῳ, δι' ἣν τῆς πόλεως ἐν μνήμασιν ὄσης ἐπέρχεται ὁ Ἀλήτης, καὶ εὗρε Κρέοντος θυγατέρας περὶ συνθήκας γενομένας. ἔφησέ τε, ἐὰν κρατήσῃ, ἕξειν τὴν νεωτέραν αὐτῶν πρὸς γάμον. καὶ πείθεται ἡ κόρη, καὶ προδίδωσι τὴν πόλιν, τὰς πύλας ἀνοίξασα, καὶ κρατεῖ ὁ Ἀλήτης, καὶ ὠνόμασεν αὐτὴν, Διὸς Κόρινθον, ἐπειδὴ διὰ τῆς μαντείας τῆς Διὸς ἡ ἀρχὴ εἰς αὐτὸν ἦλθε. Ἄλλως. παροιμία ἐπὶ ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων ὁ Διὸς Κόρινθος, ὅταν ὑπερεξελίκτως ἀναπολῶσι τὰ αὐτὰ πολλάκις. ἐγὼ οὖν, φησὶν, οὐκ εἰμὶ Διὸς Κόρινθος. δοκεῖ οὖν ἀπὸ τοιούτου τινὸς εἰρῆσθαι ἡ παροιμία. Μεγαρέας φησὶ Κορινθίων ἀποίκους, καὶ πολλὰ τοῖς Κορινθίοις κατ' ἰσχὺν τῆς πόλεως ὑπείκειν· ἀλλά τε γὰρ πλείονα τοὺς Κορινθίους προστάσσειν, καὶ τῶν Βακχιαδῶν εἴ τις τελευτήσει, (οἰκοῦσι δὲ αὐτοὶ τὴν πόλιν,) ἔδει Μεγαρέων ἄνδρας

ἄνδρας καὶ γυναῖκας, ἐλθόντας εἰς Κόρινθον, συγκηδεύειν τὸν νεκρὸν τῶν Βακχιαδῶν. ὡς δὲ ὕβρεως οὐδὲν ἀπέλειπον οἱ Κορίνθιοι, τὰ δὲ τῶν Μεγαρέων ἔβρωτο, καὶ πρὸς ἐλπίσι τῷ μηδὲν παθεῖν ἀποστάντας αὐτοὺς, ἀλλ' ἀφεῖνω, πέμπουσι δῆτα πρέσβεις οἱ Κορίνθιοι κατηγορήσοντας τῶν Μεγαρέων, οἳ προσελθόντες εἰς τὴν ἐκκλησίαν, ἄλλα τε πολλὰ διεξῆλθον, καὶ τέλος, δικαίως ζενάξει ὁ Διὸς Κόρινθος, εἰ μὴ λήψοιτο δίκην παρ' αὐτῶν. ἐφ' οἷς παροξυνθέντες οἱ Μεγαρεῖς τοὺς πρέσβεις λίθοις ἔβαλον, καὶ μετὰ μικρὸν ἐπιβοησάντων τινῶν τοῖς Κορινθίοις καὶ μάχης γενομένης νικήσαντες, φυγῇ τῶν Κορινθίων ἀποφυγόντων, ἐφαπτόμενοι, κτείνοντες ἅμα παίειν τὸν Διὸς Κόρινθον ἐκέλευον. ὅθεν, φησὶν ὁ Δήμων, ἔτι καὶ νῦν ἐπὶ τῶν ἄγαν σεμνυνομένων καὶ δειλῶς ἀπαλλαττόντων τὴν παροιμίαν ταύτην τετάχθαι.

Περὶ

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τῆ ὀγδόᾳ τῶν Νεμέων εἴδας.

Τῆς ὀγδόης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐννέα. Τὸ α΄ ἥμισυ ἔπους καταληκτικόν. Τὸ β΄ ἰαμβέλεγος. Τὸ γ΄ Στησιχόρειον. Τὸ δ΄ ἐγκωμιολογικὸν, μιᾶ πλεονάζον ἐν ἀρχῇ τῆ πενθημιμερῆς ἰαμβικῆ· ἢ χοριαμβικὸν τρίμετρον, ταῖς ἐναντίαις κατακλειόμενον. Τὸ ε΄ ἰαμβέλεγος, λειπόσης τῆς ἀρχῆς. Τὸ ς΄ λογαοιδικὸν Ἀρχεβέλειον, ἢ ἐπιωνικὸν ἀπ᾽ ἐλάττονος, ἄτακτον διὰ τὸν σπονδεῖον. Τὸ ζ΄ ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ η΄ Εὐριπίδειον. Τὸ θ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτῆ. Ἡ ἐπῳδὴ κώλων ἕνδεκα, Τὸ α΄ προσοδιακὸν ἀπὸ Ἰωνικῆ ἀπὸ μείζονος. Τὸ β΄ Εὐριπίδειον. Τὸ γ΄ ἰαμβέλεγος λείπων τῇ ἀρχῇ. Τὸ δ΄ Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ταῖς ἐναντίαις κατακλεισθὲν, ἄτακτον, Ἀλκμαϊκῷ ζήλῳ. Τὸ ε΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ς΄ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ζ΄ ὅμοιον τῷ γ΄ τῆς ἐπῳδῆς. Τὸ η΄ μικτὸν ἐκ τροχαίᾳ πενθημιμερῆς καὶ δακτυλικῆ πενθημιμερῆς. Τὸ θ΄ ἰαμβέλεγος, ἐπιτιθεμένῃ τῆ τέλει. Τὸ ι΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ια΄ τροχαϊκὸν τρίμετρον καταληκτικὸν, ὅμοιον τῷ· Ζεῦ πάτερ, γάμον μὲν ἂκ ἐδασάμην.

Περὶ τῆς ἐπιγραφῆς αὐτῆ. Δεινία (sic), υἱῷ Μέγα, σαθιεῖ. ἔνιοι φασὶ σαθιεῖς αὐτόν τε τὸν Δεινίαν καὶ τὸν πατέρα, καὶ τοῦτο βλέποντα τὸν Πίνδαρον (v. 26.), Δεινίδος δισσῶν σαθίων καὶ πατρὸς, εἰπεῖν. παρέχει δέ, φησιν ὁ Δίδυμος, τοῦτο ἀπορίαν, τὸ μηδένα ἕτερον αὐτῶν ἐν ταῖς Νεμεαικαῖς νίκαις ἀναγεγράφθαι.

ARGVMENTVM OCTAVI CARMINIS.

O iuuenta, amorum nuncia, quae virginum et iuuenum oculis insides (velut amor), aliique mitem, alii diuersam sortem destinas! optabile est, in quauis re successu vsum, amorem propitium habere (1 — 9); qualis Iouis et Aeginae fuit, vnde Aeacus Oenonae rex natus est. Multi eum videre voluerunt. Sponte vicini heroes fortissimi cupierunt ipso duce in rebus gerendis vti, Athenienses atque Spartani (— 21). Supplex Aeacum pro vrbe hac et his ciuibus precor, afferens victoriarum Dinidis et patris eius Megae ornamentum, carmen; quae enim deo auctore obtigit felicitas, stabilior est, qualis Cinyrae Cyprii fuit (— 31). In eius res nolo digredi; multa de eo dicta sunt; noua vero tradere, periculosum est propter obtrectatores; obtrectatio enim semper bonos, non malos, appetit (— 38). Ea Aiacem quoque perdidit. Strenuus ille, sed parum facundus, in altercatione postponebatur, magno praemio callide dictis proposito. Danai Vlyssi fauerunt, et Aiax armis (Achillis) priuatus sibi manum intulit. Et tamen diuersimode pugnauerant tum circa Achillem occisum, tum aliis locis. Verum iam olim orationis fraudes nocuerunt, quae clarum hominem deprimunt, obscuros euehunt (— 56). Nunquam mihi sint tales mores! imo simplicitate vtar, ne malam liberis famam relinquam. Alii aurum, alii immensos agros optant; ego probari ciuibus malim,

laudanda laudans, reprehendens improbos (— 67). Praeclare facta, vt arbores rore, carminibus augentur. Varius vsus est amicorum (poëtarum), maxime in victoriis. Qui enim (victoria) oblectatur, cupit eius rei fidem fieri (carmine — 75). O Mega! te in vitam reuocare non possum; at patriam et Chariadas ob quatuor victorias possum celebrare. Laetor vero me conuenienter factis dicere posse. Multi iam certaminum aerumnas per carmina lenierunt. Etenim iam ante bellum septem ducum contra Thebas mos fuit victoribus carmina accinere (— 87).

ΕΙΔΟΣ η'.

ΔΕΙΝΙΔΙ ΥΙΩΙ ΜΕΓΑ ΑΙΓΙΝΗΤΗ

ΣΤΑΔΙΕΙ

Σ. α'. Κ. θ'.

Ὥρα πότνια, κάρυξ
Ἀφροδίτας ἀμβροσίαν Φιλοτάτων
Ἅτε παρθενίοισι καὶ παίδων ἐφίζοισα βλεφάροις, τὸν μὲν ἀμέροις ἀν' ἀγκὰς
Χερσὶ βατάζεις, ἕτερον δ' ἑτέραις·
Ἀγαπατὰ δὲ, καιρῷ μὴ πλαναθέντα πρὸς ἔργον ἕκαστον,

1. Ὥρα πότνια, κάρυξ Ἀφροδίτα (sic)] συντάττει τὸ προοίμιον ὁ Πίνδαρος εἰς τὸ τῆς ὥρας ἄνθος τῷ νικηφόρῳ, εἶτα ἐπικωμιαστικῶς τῶν πατρίων ἐφάπτεται, λέγων τὴν Αἴγιναν δι' ὡραϊσματος ὑπὸ Διὸς ἁρπάσθαι. ὁ δὲ νῆς· ᾧ ἀκμὴ ἐντιμωτάτη, ἄγγελε τῶν Ἀφροδισίων καὶ θαυμαστῶν φιλιῶν, ἥτις τοῖς τε τῶν παρθένων βλεφάροις καὶ τοῖς παιδικοῖς ἐπικαθεζομένη, πραέσιν ἔρωσι ταῖς τῆς ἀνάγκης χερσὶ βατάζεις, ἕτερον δὲ φαύλοις πόθοις. πραέσι δέ, φησι, ταῖς τῆς Ἀνάγκης (sic) χερσὶν, ὅτι ἐξ ἀνάγκης ἡμῖν οἱ ἔρωτες παραγίνονται. ἑτέραις δὲ, προσδεκτέον χερσὶν, οἷον, τὸν δὲ μὴ πραείαις, ἀλλὰ σκληραῖς. πρὸς ἀμφότερα δὲ τὰ μέρη, τοῖς τῶν παρθένων καὶ παίδων, τητέσι, τοῖς παιδικοῖς, τὸ βλεφάροις ἀκουτέον, ἵν' ᾖ τὸ τῆς ἐριμηνείας κατάλληλον.

6. Ἀγαπατὰ δὲ καιρῷ] ἀγαπητὸν δέ ἐστι καὶ εὔτακτον, τῆς εὐκαιρίας καὶ τὸ δέοντος καιρῷ μὴ ἀποσφαλέντα πρὸς ἕκαστον ἔργον, τῶν βελτιόνων ἐρώτων ἐπιθυμεῖν δύνασθαι καὶ ἐπικρατεῖν, τῶν δὲ φαύλων ἀπέχεσθαι. τοιούτων ὢν ἐρώτων ἐπικρατεῖν δύναισθαί, φησι, καλόν ἐστιν, οἵοι ἦσαν ἐκ Διός τε καὶ Αἰγίνης. ἔστι δὲ καὶ θαυμα-

Τῶν ἀρειόνων ἐρώ-
των ἐπικρατεῖν δύνασθαι.

Α. α'. Κ. Θ'.

Οἷοι καὶ Διὸς Αἰγί-
νας τε λέκτρον ποιμένες ἀμφεπόλησαν
Κυπρίας δώρων· ἔβλαστεν δ' υἱὸς, Οἰνώ-
νας βασιλεὺς, χειρὶ καὶ βλακὶ ἄριστος.
Πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν.
Ἀβοατὶ γὰρ ἡρώων ἄωτοι
Περιναιεταόντων
Ἤθελον κείνᾳ γε πεί-
θεσθ' ἀναξίαις ἐκόντες,

Ε. α'.

θαυμασικῶς ἐκλαβεῖν τὸ, οἷοι, ὁποῖοι ἀγαθοὶ ἔρωτες. πιθανῶς δὲ ποιμένας δώρων Ἀφροδίτης τὰς ἐρωτάς φησιν. ὡς γὰρ ὁ ποιμὴν νέμει τὴν ἀγέλην, οὕτω καὶ ὁ ἔρως τὰς συνουσίας. οἱ ὖν Διὸς καὶ Αἰγίνης περιεπόλησαν ἔρωτες τὸ λέκτρον. ὁ γὰρ Ζεὺς οὐ μόνον δι' ἐπιθυμίαν ἐμίγη τῇ Αἰγίνῃ, ἀλλ' ἵνα καὶ σπερμήνῃ τὰς ἀρίστας ἐξ αὐτῆς, Αἰακὸν, Πηλέα, Ἀχιλλέα, Νεοπτόλεμον. οὕτοι ὖν οἱ ἔρωτες ἄριστοι, οἱ μὴ μόνον ὀργόμενοι τῆς ἀπολαύσεως καὶ τῆς ὥρας αὐτῆς, ἀλλ' ἀποτελεσμάτων ἀξιολόγων καὶ ἔργων ἐπιφανῶν τελεσιεργοί.

12. Ἔβλαστε δ' υἱὸς Οἰνώνας] τὸ ἔβλαστεν ἀντὶ τῦ ὤφθη φησίν. ἀπὸ δὲ τῆς νήσυ καὶ τὴν ἡρωΐδα ὠνόμασεν. υἱὸς γὰρ τῆς Οἰνώνης, τῆς Αἰγίνης, ὁ Αἰακός.

13. Χειρὶ καὶ βλακὶ ἄριστος βασιλεὺς] τυτέσιν ἀνδρείᾳ καὶ φρονήσει. Ὅμηρος (Il. III, 179)·

Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.

14. Πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν] πλεῖστα δέ, φησι, πολλοὶ ἠξίων θεάσασθαι τὸν Αἰακὸν, περιηχύμενοι τῇ τῦ ἀνδρὸς εὐδοξίᾳ. καὶ γὰρ τὰ ἀναθήματα τῶν ἡρώων οὐχ οἱ τυχόντες, ἀλλ' οἱ ἄκροι τῶν περιοικούντων ἁμαχητὶ πείθεσθαι αὐτῷ ἤθελον, καὶ χωρὶς τῦ κρατηθῆναι μάχῃ. οὕτω διέπρεπε, φησὶν, ὥστε τοὺς παροικοῦντας ἑκουσίως πείθεσθαι ταῖς ἀξίαις, τυτέσι, ταῖς ἀρχαῖς καὶ ταῖς βασιλείαις αὐτῦ.

19. Οἵ

Ε. α'. Κ. ια'.

Οἵ τε κραναᾶις ἐν Ἀθάναισιν ἅρμοζον τρατὸν,
Οἵ τ' ἀνὰ Σπάρταν Πελοπηϊάδαν·
Ἱκέτας Αἰακῆ σεμνῶν γονάτων πόλιός θ' ὑπὲρ φίλας
Ἀξῶν θ' ὑπὲρ τῶνδ' ἄπτομαι, φέρων
Λυδίαν μίτραν καναχηδὰ πεποικιλμένην, Δείνιδος δισσῶν ταδίων
Καὶ πατρὸς Μέγα Νεμέειον ἄγαλμα.
Σὺν θεῷ γάρ τοι φυτευθεὶς
Ὄλβος ἀνθρώποισι παρμονώτερος.

Σ. β'. Κ. θ'.

Ὅσπερ καὶ Κινύραν ἔβρισε πλέτῳ ποντίᾳ ἔν ποτε Κύπρῳ.
Ἴσα-

19. Οἵ τε κραναᾶις ἐν Ἀθάναισιν ἅρμοζον τρατὸν] οἵτινές, φησι, διώκων τὰς Ἀθήνας, ἢ εἰς συμφωνίαν ἦγον τὸ πλῆθος. ταῦτα δὲ ἀνάγεται εἰς ἐκεῖνα, ὅτι αὐχμὸς κατέσχε τὴν Ἑλλάδα, καὶ εὐξαμένη τῷ Αἰακῷ ὄμβρος ἐγεγόνει. ἃ δὲ νῦν καὶ οἱ ἐν ταῖς τραχείαις Ἀθήναις ἤρμοζον καὶ παρεσκεύαζον, καὶ ἅτοι συμμαχοῦντες αὐτῷ παρεῖχον δύναμιν, ἢ ὑπὸ τὴν αὐτὸ ἀρχὴν ὄντες, ὁμοίως παρεσκεύαζον αὐτῷ, ἀπὸ κοινῆ καὶ οἱ Πελοποννήσιοι καὶ οἱ Λακεδαιμόνιοι.

24. Ὑπὲρ τῶνδε ἄπτομαι φέρων Λυδίαν μίτραν] ἀλληγορικῶς τὸν ποικίλον ὕμνον ἔτω φησίν· ὅτι ἐντεχνεῖς οἱ Λύδιοι περὶ τὴν μουσικήν. τὸ γὰρ Λύδιον μέλος ποικίλον. Ἄλλως. ἔτως εἶπε τὸ ποίημα αὐτῆ ὡς Λυδίῳ ἁρμονίᾳ γεγραμμένον.

26. Δείνιδος δισσῶν ταδίων καὶ πατρὸς] τῆ Δείνιος, ἤτοι τῆ Δεινίᾳ. Μέγας ὁ τῆ Δεινίᾳ πατήρ, φησι. δισσῶν δὲ ταδίων, ὅτι διαυλοδρόμος. Νέμεον δὲ ἄγαλμα, τὸ γεγραμμένον εἰς Νεμεακὴν νίκην ποίημα.

28. Σὺν θεῷ γὰρ (sic) φυτευθεὶς ὄλβος ἀνθρώποισι παρμονώτερος] ὁ γὰρ γνώμῃ θεῆ, φησὶν, ὄλβος τοῖς ἀνθρώποις ἐμφυτευθεὶς καὶ δοθεὶς μονιμώτερός ἐστιν, ὅσις ὄλβος ἐπλήτησε καὶ εὐδαίμονα πεποίηκε

Ἴσαμεν δὴ ποσσὶ κάφοις, ἀμπνέων τε
Πρίν τι φάμεν. πολλὰ γὰρ πολλᾷ λέλεκται.
Νεαρὰ δ' ἐξευρόντα δόμεν βασάνῳ
Ἐς ἔλεγχον, ἅπας κίνδυνος. ὄψον
Δὲ λόγοι φθονεροῖσιν.
Ἄπτεται δ' ἐσλῶν ἀεί,
Χειρόνεσσι δ' ἐκ ἐρίζει.

A. β'.

ποίηκε τῷ πλήτῃ τὸν Κινύραν ἐν Κύπρῳ τῇ νήσῳ. τοῦτο καὶ Ὅμηρος μνημονεύει (Il. XI, 20).

Τόν ποτε οἱ Κινύρας δῶκε ξεινήϊον εἶναι.

32. Ἴσαμεν δὴ ποσσὶ κάφοις] ἐπειδὴ τὰ Κινύρα ἐν ὑποδείγματι τῶν διὰ θεὸν τὸν πλοῦτον ἐνησιφόρων ποιημένων, ἐπιλαμβάνεται ἑαυτὸ ὁ Πίνδαρος, ἵνα μὴ παρεκβῇ, πλείονα εἰς τὸν περὶ Κινύρα λόγον μεταφέρων ἀπὸ τῶν πενταθλων, φησὶν, ἴσαμεν πρὶν παλαῖσαι, εἰ τύχοι, τὸ πνεῦμα συλλεγόμενος. Ἄλλως. ἀντὶ τοῦ, παύομεν. πάλιν δὲ ἐπιχειρεῖν τοῖς τῶν Αἰγινητῶν πατρίοις μέλλων, καὶ ἀγῶνα τὴν ἐπιχείρησιν γινώσκων, ἀναπνεῖν βούλεται, καὶ ὥσπερ ἐκ διαλείμματος πάλιν ἀγωνίζεσθαι, οὗ τρόπον οἱ τὰ πένταθλα καρτεροῦντες καὶ κατορθοῦντες. Ἄλλως. οἱ μεγάλα φωνεῖν θέλοντες, οἷον τραγῳδοὶ, προαναπνέουσιν ἐπὶ πολὺ, ἵν' ὅταν ἀναφωνήσωσιν, ἐξαρκέσῃ ἐπιπλέον ἡ φωνή. πολλαὶ δ', φησὶ, περὶ τὰ Κινύρα καταβέβληνται ἱστορίαι καὶ διάφοροι. διὸ ἀναπνέω πρὶν εἰπεῖν. πολλὰ γάρ μοι περὶ τῶν Αἰακιδῶν λέγεται· ἡ πολλή μοι ἐστι μελέτη καὶ φροντὶς ὑπὲρ τῶν εἰς Αἰακίδας ἐγκωμίων.

34. Νεαρὰ δ' ἐξευρόντα δόμεν] (sic) βασάνῳ εἰς ἔλεγχον] ἐμὲ δὲ νῦν, φησὶ, καινολογῆσαι περὶ τὰ Κινύρα, παρώσαντα τὰ κοινῶς ἱστορημένα, κινδυνῶδές ἐστιν. ἐὰν γάρ τι καινουργῶ, ἀπιστηθήσομαι. ἢ ὅτι νεώτερα δ' ἐγκώμια ἐξευρόντα καὶ ἐπινοήσαντα τῇ τῶν ἀκροατῶν κρίσει δοῦναι πρὸς διάκρισιν καὶ δοκιμασίαν, ἐπικίνδυνον. βασάνῳ δὲ, ἤτοι διαβολῇ, κρίσει. βασανίζοντες γὰρ οἱ ἀκροαταὶ τὰ λεγόμενα, κρίσιν διδόασιν.

36. Ὄψον δὲ λόγοι φθονεροῖσι (sic)] τοῦτο πρὸς τοὺς ἀντιτέχνους· τοῖς φθονεροῖς οἱ λόγοι εἰς διαβολὴν τῶν κατηγορημένων, ὄψον εἰσὶν, ἤτοι προσόψημα, τυτέσιν, οὐχ ἑτέρῳ χρῶνται προσεψήματι οἱ φθονεροὶ, ἢ τοῖς εἰς διαβολὴν λόγοις.

37. Ἄπτεται δ' ἐσλῶν αἰεὶ (sic)] ἀπὸ τῶν φθονούντων ἐπὶ τὸν

Α. β'. Κ. ϑ'.

Κεῖνος καὶ Τελαμῶνος
Δάψεν υἱὸν, φασγάνῳ ἀμφικυλίσσαις.
Ἤ τιν' ἄγλωσσον μὲν, ἦτορ δ' ἄλκιμον λάθα κατέχει λυγρῷ ἐν νείκει· μέγιστον
Δ' αἰόλῳ ψεύδει γέρας ἀντέταται.
Κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ
Δαναοὶ θεράπευσαν·
Χρυσέων δ' Αἴας σεριθεὶς ὅπλων φόνῳ πάλαισεν.

Ε. β'.

τὸν φθόνον μετήγαγε τὸν λόγον· ἢ τῶν τυχόντων, φησὶν, ἄπεται ὁ φθόνος, ἀλλὰ τῶν μειζόνων. ὐδεὶς γὰρ Θερσίτῃ φθονεῖ, ἀλλ' Ἀγαμέμνονι. χείροσιν ὖν ἐκ ἐρίζει· ὁ γὰρ φθόνος εἰς καλὰ βαίνει. τὸ, ἀμφικυλίσας φασγάνῳ (40), ἀντὶ τοῦ, ξίφει περικυλίσας. τοῦτο δὲ ἐκ τῆ συμβεβηκότος ἀπὸ τῆς καταπτώσεως τῆς κατὰ ἀναίρεσιν φησίν.

41. Ἤ τιν' ἄγλωσσον μὲν] ἄγλωσσον δή τινα καὶ ἄλλον, ἦτορ δὲ ἄλκιμον, καὶ ἀνδρεῖον, ἐν λυγρῷ γήρει κατέχει λήθη καὶ θάνατος, τυτέσι, καὶ ἕτερός τις τῶν ἀλαλωτέρων φθονηθεὶς ἀδίκως ἐτελεύτησεν, ἐν οἷς καὶ ὁ Αἴας. Ἄλλως. τοῦτο δὲ ὡς πρὸς τὸν Αἴαντα. θέλει δὲ εἰπεῖν, ὅτι φιλονεικίας ὄσης καὶ ἔριδος, τὸν ἀνδρεῖον τὸ σῶμα, ἀσθενὴ δὲ τὴν ἀπόκρισιν, λήθη κατέσχεν. ὁ δὲ νῦς· ναὶ δὴ, τὸν μὴ τῷ λόγῳ μὲν ἱκανὸν, ἀνδρεῖον δὲ σῶμα μόνον ἔχοντα, μεγάλη λήθη ἐν τῇ πρὸς τὰς ἐχθρὰς μάχῃ καὶ σάσει κατέχει. καταπαλαίονται γὰρ τῷ λόγῳ καὶ οἱ πάνυ ἀνδρεῖοι καὶ βαρύσωμοι ὑπὸ φρονίμων. τὸν γὰρ ἐν τῷ λέγειν μὴ δεινὸν, μηδὲ σοφιστὴν τῷ λόγῳ ὁ τοιοῦτος ὑπερβάλλει. αἰόλῳ δὲ ψεύδει τῷ ποικίλῳ φησὶ καὶ πιθανῷ· μέγιστον γάρ ἐστι τῷ ποικίλῳ δόλῳ γέρας, φησὶ, διὰ τὸ τοῦ λόγου πιθανὸν, ὅτι ὁ πιθανὸς λόγος καὶ τὴν ἀλήθειαν οἶδε πολλάκις ὑποκλέπτειν. Ἄλλως. μέγιστον νέμεται γέρας τῷ ποικίλῳ ψεύδει. οἱ γὰρ ποικίλως ψευδόμενοι ἀποδοχῆς τυγχάνουσι παρὰ τοῖς ἀνθρώποις. τοῦτο δὲ ἀπόδειξιν ἐπιφέρει τὰ ἑφεξῆς.

44. Κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ] κρυφίαισιν, ἤτοι ταῖς ἀδίκοις, ἢ ταῖς κρύφα φερομέναις ψήφοις· ὕτω γὰρ φέροντοι. Ὀδυσσέα γὼν βασκήναντα τῷ Αἴαντι οἱ Ἀχαιοὶ κρυφίας ἐνεγκόντες ψήφους περὶ

Ε. β'. Κ. ιά.

Ἡ μὰν ἀνόμοιά γε δαί-
οισιν ἐν θερμῷ χροΐ
Ἕλκεα ῥῆξαν πολεμιζόμενοι·
Ὑπ' ἀλεξιμβρότῳ λόγχα, τὰ μὲν
Ἀμφ' Ἀχιλεῖ νεοκτόνῳ,
Ἄλλων τε μόχθων πολυφθόροισιν ἐν
Ἀμέραις. — ἐχθρὰ δ' ἄρα πάρφασις ἦν
Καὶ πάλαι αἱμύλων μύθων ὁμόφοι-
τος, δολοφραδὴς, κακοποιὸν ὄνειδος·
Ἃ τὸ μὲν λαμπρὸν βιᾶται,
Τῶν δ' ἀφάντων κῦδος ἀντείνει σαθρόν. —

Σ. γ'.

περὶ τῶν Ἀχιλλέως ὅπλων ἐθεράπευσαν οὐκ ὀρθῶς. ἔδει γὰρ Αἴαντα νικῆσαι.

48. Ἡ μὰν ἀνόμοιά γε] οὐχ ὅμοιά, φησὶ, τραύματα ἔλαβον ὅ τε Αἴας καὶ Ὀδυσσεὺς, τυτέσιν, οὐ τὸν αὐτὸν τρόπον οὐδὲ ἐξίσου τοῖς Τρωσὶν ἐπολέμησαν, ἀλλ' ὁ μὲν Ὀδυσσεὺς δειλὸς ἦν, ὁ δὲ Αἴας ἀθεῖτο εἰς τὰς πολεμίους. θερμὰ δὲ ἕλκη τὰ φλεγμαίνοντά φησι. πολεμιζόμενοι δὲ, ἀντὶ τοῦ πολεμίζοντες, ἐνεργητικῶς, καὶ διακονοῦντες. ὁ δὲ Ἀρίσταρχος ὅτως· ἀνόμοια πλήγματα τοῖς πολεμίοις ὅ τε Ὀδυσσεὺς καὶ ὁ Αἴας ὑπὸ ἀλεξιμβρότου λόγχης κινούμενοι. τῷ δὲ Αἴαντος ἀνδρείᾳ καὶ Ὅμηρος μαρτυρεῖ (Od. V, 309 f.):

ὅτε μοι πλεῖστοι χαλκήρεα δοῦρα
Τρῶες ἐπέβρισαν περὶ Πηλείωνι
θανόντι.

54. Ἐχθρὰ δ' ἄρα πάρφασις ἦν] πάρφασις, παραλογισμὸς καὶ παράπτεισις, ἢ ἀπάτη. ἐν ᾗ δὲ δεῖ προσάγειν τὸν λόγον. ἄρα, φησὶ, καὶ τότε ἦν ἡ ἐχθρὰ ἀπάτη, ἡ ἀπατητικῶν λόγων σύμφυτος καὶ δολοφραδὴς, καὶ ὄνειδος ὂσα κακοποιόν. Ἄλλως. ταῦτά, φησι, δυσανασχετῶν ἐπὶ τῷ ἀδίκως ἀναιρεθῆναι τὸν Αἴαντα διὰ τὰ ψεύδη τῆ Ὀδυσσέως. διὸ καὶ φησιν· ἦν ἄρα τις καὶ παρὰ τοῖς ἥρωσιν ἀπάτη, ἣ μόνον παρ' ἡμῖν.

58. Τῶν δὲ ἀφάντων κῦδος συντείνει (sic) σαθρὸν] ἀφάντων, ἀντὶ τοῦ ἀφανῶν, εὐτελῶν. τὸ δὲ ἀντείνει, ἀντὶτοῦ ἀνατείνει, ἐπαίρει, σαθρὸν πρὸς ὀλίγον. ὁ δὲ νοῦς· τῶν δὲ ἀδόξων τὸ κῦδος μεγαλύνει καὶ ὑψοῖ σαθρὸν αὐτῶν τὸ κλέος. οἰκόβιος γὰρ ἡ τῶν ἀδόξων δόξα καὶ εὐκατάκτος.

Σ. γ'. Κ. θ'.

Εἰη μή ποτέ μοι τοι-
ὅτον ἦθος, Ζεῦ πάτερ, ἀλλὰ κελεύθοις
Ἁπλόαις ζωᾶς ἐφαπτοίμαν, θανὼν ὡς
Παισὶ κλέος μὴ τὸ δύσφαμον προσάψω.
Χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι
Ἀπέραντον· ἐγὼ δ' αὐτοῖς ἀδὼν καὶ
Χθονὶ γυῖα καλύψαι-
μ' αἰνέων αἰνητὰ, μομ-
φὰν δ' ἐπισπείρων ἀλιτροῖς.

Α. γ'. Κ. θ'.

Αὔξεται δ' ἀρετὰ, χλω-
ραῖς ἐέρσαις ὡς ὅτε δένδρον ἀναίσ-
σει, σοφοῖς ἀνδρῶν ἀρηθεὶσ' ἐν δικαίοις

Τὲ

59. Εἰη μή ποτε μοι τοιοῦτον ἦθος, Ζεῦ πάτερ] ὦ Ζεῦ, μὴ γένοιτό μοι τὸ ἦθος τοιοῦτον, ἀλλὰ τὰς τῆ βίᾳ μοι κελεύθους καὶ ὁδοὺς ἁπλανεῖς φύλαξον, τυτέσιν, ἁπλᾶς καὶ ἀκακούθεις ἀνύσιμι, ὅπως μὴ τελευτήσας τοῖς παισὶ μὲ κακὴν καταλείψω φήμην, τυτέσιν, ἵνα μὴ δυσφημηθῶσιν οἱ ἐμοὶ παῖδες, ἀδικά με πράξαντος.

63. Χρυσὸν δ' (sic) εὔχονται, πεδίον δ' ἕτεροι ἀπέραντον] ἕτεροι μὲν ὧν χρυσὸν πολὺν εὔχονται, κτήσασθαι δηλονότι, ἄλλοι δὲ γῆν πολλὴν πρὸς γεωργίαν· ἐγὼ δὲ εὔχομαι τοῖς πολίταις ἀρέσας καὶ τεθνάναι, ἐπαινῶν μὲν τὰ ἄξια τῆ ἐπαινεῖσθαι, ψόγον δὲ καὶ μέμψιν τοῖς ἀδίκοις ἐμβάλλων.

68. Αὔξεται δ' ἀρετὰ χλωραῖς ἐέρσαις] ἀντὶ τῆ, ταῖς χλωροποιοῦσι δρόσοις· αὗται γὰρ τῶν φυτῶν αὐξητικαί. τὸ δὲ ἑξῆς· αὔξεται δὲ ἀρετὰ, ἐν σοφοῖς τε καὶ δικαίοις τῶν ἀνδρῶν ἀρθεῖσα, ὡς ὅτε δένδρον χλωραῖς ἐέρσαις πρὸς ὑγρὸν αἰθέρα. ὁ δὲ νῶς· αὔξεται δὲ καὶ ἡ ἀρετὴ τῶν ἀνδρῶν ὑψωθεῖσα τοῖς σοφοῖς καὶ δικαίοις λόγοις τῶν ποιητῶν, ὥσπερ καὶ φυτὸν ἐπαίρεται πρὸς αἰθέρα καὶ αὔξεται ταῖς χλωροποιοῖς δρόσοις. ἢ ὅτως· ὥσπερ δένδρον ὕδατι ποτιζόμενον εἰς ὕψος αὔξεται. ἢ ὅτως· ἡ ἀρετὴ τῶν δικαίων ἐπιτυγχάνουσα ὑψοῦται. τὸ δὲ ἑξῆς· ὡς δένδρον αἴσσει πρὸς αἰθέρα ὑγραῖς ἐέρσαις ὅτω καὶ ἡ ἀρετὴ σοφοῖς ἀνδράσι καὶ δικαίοις αὔξεται ἀερθεῖσα.

71. Χρεῶν

Τε πρὸς ὑγρὰν αἰθέρα. χρεῖαι δὲ παντοῖ-
αι φίλων ἀνδρῶν· τὰ μὲν ἀμφὶ πόνοις
Ὑπερώτατα· μαστεύει δὲ καὶ τέρ-
ψις ἐν ὄμμασι θέσθαι
Πίστιν. — ὦ Μέγα, τὸ δ' αὖ-
τις τεὰν ψυχὰν κομίξαι,

Ε. γ'. Κ. ια'.

Οὔ μοι θυνατόν· κενεᾶν
Δ' ἐλπίδων χαῦνον τέλος·
Σεῦ τε πάτρα Χαριάδαις τε λάβρον

Ὑπέ-

71. Χρεῖαι δὲ παντοῖαι φίλων ἀνδρῶν] καὶ πᾶσαι χρεῖαι τῶν προσφιλῶν ἀνδρῶν, φησὶν, οἱονεὶ, καὶ πρᾶξις πᾶσα ἀνδρῶν προσφιλῶν καὶ δικαίων αὐξάνεται τοῖς ὕμνοις, ἐξόχως δὲ τὰ περὶ πόνους κατορθώματα. Ἄλλως. κατὰ πολλά τις χρείαν ἔχει, φησὶ, τῶν φίλων ἀνδρῶν· ὃ διὰ παντὸς δὲ τῶν αὐτῶν εἰσὶν αἱ χρεῖαι, ἀλλ' ἄλλοτε ἄλλα, πῆ μὲν ἐν τοῖς πόνοις καὶ ἔργοις, πῆ δὲ καὶ τέρπεται ὁρῶν τις τὸν φίλον· νῦν δὲ δηλαδὴ τῇ Πινδάρῳ χρεία, ἵνα ὑμνήσῃ τὸν νικηφόρον.

73. Μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασιν] ἐπιζητεῖ δὲ καὶ ἡ τῶν ὀμμάτων τέρψις τὸ πιστὸν, ὥστε θέσθαι ἐν ὄμμασι, τυτέσι, θεωρῆσαι. καὶ ἡμεῖς δὲ φιλοῦντες ὑμᾶς κατὰ ἀλήθειαν, θεωροῦντες τερπόμεθα. Εὐριπίδης (Ion. 732)·

Εἰς ὄμματ' εὖνις φωτὸς βλέπειν γλυκύ.

75. Ὦ Μέγα] ὡς τεθνηκότος τῇ Μέγα ἄτῳ φησίν· ἐμοὶ δὲ ἀδύνατον, ὦ Μέγα, τεθνηκότος σε τὴν ψυχὴν ὑπὸ ὄψιν καὶ πίστιν ἀγαγεῖν.

77. Κενεᾶν δ' ἐλπίδων χαῦνον τέλος] τυτέσιν, ἐὰν ἐλπίσω τὰ ἀδύνατα, κενὸς ἔσομαι. ἢ ὥτω· τῶν δὲ ματαίων ἐλπίδων ἀσθενὴς καὶ ἀβέβαιος ἡ ἔκβασις.

79. Σεῦ δὲ πάτρᾳ Χαριάδαις τε] Χαριαδῶν φυλὴ, ἀφ' ἧς ὁ νικηφόρος. τὸ δὲ ἑξῆς· τῇ δὲ σῇ πατρίδι καὶ τοῖς Χαριάδαις ἀναμείξαι καὶ ὑπερεῖσαι εὔτονον μεσικὴν κήλην βάλομαι, ἕνεκα τῶν δυνατῶν σε ποδῶν καὶ νικηφόρων. δρόμων γὰρ ἐνίκησαν. ὁ δὲ νοῦς ὅλος· τὸ μὲν ἀνατεῖσαι τὸν τεθνεῶτά, φησιν, ἀδύνατόν μοί ἐστι, τῇ δὲ πατρίδι καὶ τῇ φυλῇ, ἣ ἐστι Χαριάδαι, ὑπερεῖσαι λίθον μισαῖον, τυτέστι κήλην ἀπὸ Μισῶν, ἤγουν τὸν ὕμνον, δυνατός εἰμι, ἐφ' ᾧ ἡδραιπένοι ἔσονται ἔνδοξοι. Λάβρον δὲ τὸν

Ὑπερῖσαι λίθον Μοισαῖον, ἕ-
κατι ποδῶν εὐωνύμων
Δὶς δὴ δυοῖν. χαίρω δὲ, πρόσφορον
Ἐν μὲν ἔργῳ κόμπον ἰείς. — ἐπ' ἀοι-
δαῖς δ' ἀνὴρ νώδυνον καί τις κάματον
Θῆκεν. — ἦν γε μὰν ἐπικώμιος ὕμνος
Δὴ πάλαι, καὶ πρὶν γενέσθαι
Τὰν Ἀδράστα τάν τε Καδμείων ἔριν.

τὸν λίθον τῶν Μυσῶν ἀλληγορικῶς τὴν ἀπὸ τῶν λόγων εὔτονον σκληρότητα φησὶ. λάβρον δὲ, διὰ τὸ ῥεύματι χρῆσθαι τὴν ποιητάς.

82. Χαίρω δὲ πρόσφορον] χαίρω ὅταν ᾖ, φησὶ, τὰ πεπραγμένα πρόσφορα τῷ λόγῳ. Χαίρει δὲ περὶ τῶν διὰ τῆ ὕμνῳ κόμπων, ποιητὴς δέ τις τοῖς ὕμνοις ἀνώδυνον τίθησι τὸν πόνον τῷ νικηφόρῳ. Ἄλλως. ταῖς ἐπῳδαῖς, φησὶν, ἀνώδυνόν τις ἔθηκε τὸν κάματον. ἐδόκουν γὰρ οἱ ἀρχαῖοι ταῖς ἐπῳδαῖς ἴασιν καὶ θεραπείαν εὑρίσκειν. Ὅμηρος (Od. XIX, 457)· Ἐπαοιδοὶ δ' αἷμα κελαινὸν ἔσχεθον. πρὸς τί δὲ τοῦτο εἶπεν; ὅτι, ὡς ἐπαοιδῇ τις χρησάμενος καθίζει τὸν κάματον, οὕτω κἀγὼ ὡς ἐπῳδῇ χρησάμενος τῷ ὕμνῳ καθίσω τὴν κακοπάθειαν τῆ ᾠδικότος.

85. Ἦν γε μὰν ἐπικώμιος ὕμνος δὴ πάλαι] τουτέστι, τὰ ἐγκώμια ἐγράφετο καὶ πάλαι, πρὶν καὶ τοὺς Ἀργείους ἐκστρατεῦσαι ταῖς Θήβαις, τουτέστι, πρὶν τὰ Νέμεα τεθῆναι, ἦν ἐγκώμια. στρατευσάντων γὰρ τῶν περὶ Ἄδραστον ἐπὶ Θήβας, ὁ Ἀρχέμορος ὑπὸ τῆ δράκοντος διεφθάρη, οἱ δὲ ἐπ' αὐτῷ τῆ μόρῳ ἄρξαντι τὰ Νέμεα ἔθηκαν.

Περὶ τῶν κώλων τῦ αὐτῦ (IX) εἴδους.

Ἡ ἐννάτη ᾠδὴ μονοστροφικὴ ἐστι κατὰ δυωδεκάδας διῃρημένη. Τὸ α΄ δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ β΄ τὸ αὐτό. Τὸ γ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ΄ δακτυλικὸν πενθημιμερές. Τὸ ε΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ς΄ δακτυλικὸν πενθημιμερές. Τὸ ζ΄ ἐγκωμιολογικὸν μετατεθείσης τῆς πρώτης ἐπὶ τὴν ἐσχάτην. Τὸ η΄ ἰαμβέλεγος, μετατιθεμένης τῆς τελευταίας ἐπὶ τὴν ἀρχήν. Τὸ ἔννατον πενθημιμερὲς δακτυλικόν. Τὸ ι΄ δίμετρον ἰαμβικὸν ἀκατάληκτον. Τὸ ια΄ τὸ αὐτό. Τὸ ιβ΄ πενθημιμερὲς ἰαμβικόν.

Περὶ τῆς ἐπιγραφῆς. Χρομίῳ Αἰτναίῳ. ὁ Χρόμιος ἦτος φίλος ἦν Ἱέρωνος, καταχαθεὶς ὑπ' αὐτῦ τῆς Αἴτνης ἐπίτροπος· ὅθεν καὶ Αἰτναῖος ἐκηρύχθη. αὗται δὲ αἱ ᾠδαὶ ἐκέτι Νεμεονίκαις εἰσὶ γεγραμμέναι. διὸ κεχωρισμέναι φέρονται.

ARGV-

ARGVMENTVM NONI CARMINIS.

Musae, chorum Sicyone Aetnam in domum Chromii victoris deducemus; itaque hymnum incipite (1 — 7). Nam curru conscenso Latonae eiusque liberis, qui Delphis praesunt, cantum annuntiat (victoria sua Chromius). Aiunt vero, praeclarum facinus non esse silentio tegendum. Conuenit diuinus cantus factis (— 17). Cithara tibiisque canamus curule certamen, quod Adrastus ad Asopum instituit, qui tum ibi (Sicyone) regnans vrbem nouis festis et certaminibus virorum atque curruum reddidit inclytam (— 29). Fugit enim Amphiaraum et seditionem Argis, atque Talai stirps excidit Argiuo regno. At vir bonus (Adrastus) componit pristina iurgia; data Amphiarao Eriphyla (Adrasti sorore) in matrimonium, gens haec maxima euasit (— 41). Quondam aduersus Thebas profecti sunt non faustis auspiciis; Iupiter non annuit, sed abstinere eos ab expeditione voluit. Verum exercitus in apertam ruit perniciem. Multi ad Ismeni ripas perierunt, Amphiaraus terrae hiatu est deuoratus, antequam fugiens a Periclymeno hasta traiiceretur tergum. Nam terrore correpti etiam deorum filii fugiunt (— 65). Si fas est, Iupiter, deprecor bellum cum Poenis quam maxime; contra precor, vt Aetnaeos diu fortuna atque legibus florere et victoriis frui iubeas. Equorum studiosi sunt, et animos diuitiis maiores gerunt. Incredibile dixi. Rerum enim honestarum studium (plerumque) cedit lucri cupiditati (— 80).

Quicunque vel in pedestribus vel in naualibus proeliis Chromio adstitit armiger, iudicare potuit; nam illa dea (verecundia) eius animum incitauit. Pauci vero consiliis ad conuertendam caedem in hostes valent (— 92). Hectori hanc laudem ad Scamandrum obtigisse, traditur; at circa Helori ripas fulget hoc decus prima aetate Agesidami filio. Alia aliis diebus, partim terra partim mari gesta, commemorabo. Ex laboribus in iuuentute perfectis, et iuste, existit iucunda vita (— 106). Scito, a diis tibi insignem contigisse felicitatem. Si quis cum opibus gloriam fuerit consecutus, non potest altius escendere (— 113). Vt conuiuium quietam hilaritatem amat, ita victoria ornatur carmine. Cantus alacrior fit ad poculum. Statuat aliquis craterem, et vinum phialis argenteis praebeat, quas victoria curulis cum coronis Chromio Sicyone parauit (— 127). Vtinam hanc victoriam fauentibus Gratiis celebrem, et praestem aliis canendo iustas laudes (— 132).

ΕΙΔΟΣ Ϛ'.

ΧΡΟΜΙΩ ΑΙΤΝΑΙΩ

ΑΡΜΑΤΙ.

Δυωδεκὰς α'.

Κωμάσομεν παρ' Ἀπόλλωνος Σικυώνοθε, Μοῖσαι,
Τὰν νεοκτίσαν ἐς Αἴτναν,

1. Κωμάσομεν παρ' Ἀπόλλωνος] ἀπὸ τῦ χορῦ ὁ λόγος. ἔνιοι δὲ, κωμάσομεν εἰς τὴν Αἴτνην, φασίν.

2. Σικυωνόθεν μοῖσαι] περὶ τῶν ἐν Σικυῶνι Πυθίων ὁ Ἀλικαρνασεὺς ὕτω γράφει· φησὶ δὲ, ἐν τῷ πολέμῳ τῶν Κρισαίων κατὰ θάλασσαν ῥᾳδίως τὰ ἐπιτήδεια ποριζομένων, καὶ διὰ τῦτο μακρᾶς γενομένης τῆς πολιορκίας, Κλεισθένην τὸν Σικυώνιον, ναυτικὸν ἰδίᾳ παρασκευάσαντα, κωλῦσαι τὴν σιτομπομπίαν αὐτῶν, καὶ διὰ ταύτην τὴν εὐεργεσίαν τὸ τρίτον τῶν λαφύρων ἔδοσαν τῷ Κλεισθένει, καὶ Σικυωνίαν, ἀφ' ἧ καὶ Σικυώνιοι τὰ Πύθια πρῶτον παρ' ἑαυτοῖς ἔθεσαν.

3. Τὰν νεοκτίσαν] νεόκτιστον δὲ ταύτην φησὶν, ἐπειδὴ ἦν ὁ Ἱέρων νεωστὶ αὐτὴν ἀνακτίσας, πρότερον Κατάνην καλεμένην. Σείνων δὲ θύρσοι, αἱ τῆς φιλοξενίας. Τὸ δὲ νενίκαντας, ἀντὶ τῦ ἥττηντας. παντὶ ὧν εἴκασσα ξένῳ, καὶ δόενα ὑπελαύνασσα, νικῶντας τῇ φιλοξενίᾳ τῦ νικηφόρᾳ, ἣ, νίκας ἔχασιν ἐν οἴῳ τρόπῳ ἐτεφανῶσθαι τόνδε, ἀντὶ τᾶ, στέφανον ἔχειν. τὴν δὲ ὅλην Αἴτνην εἰπὼν ἐπήνεγκε Χρομίᾳ δῶμα, ὥστε ὅμοιον εἶναι τῷ (Od. IX, 362 s.)·

Ἥ δ' ἐς Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη
Ἐς Πάφον.

δ δὲ νῆς ὕτω· χορεύσωμεν, ὦ Μῦσαι, καὶ ὑμνήσωμεν ἐκ Σικυῶνος ἥκοντες, καὶ περὶ τᾶ ἐκεῖσε Ἀπόλλωνος εἰς τὴν καλλίστην Αἴτνην, ἐνῇ πᾶσιν ἀνεῳγοῖσι θύραι τᾶ Χρομίᾳ τῆς οἰκίας ἥττηντας ὑπὸ τῶν ξένων, ἔνθα πᾶσι ξένοις ὁ πλέ-

Ἔνθ' ἀναπεπταμένα
Ξείνων νενίκανται θύραι,
Ὄλβιον ἐς Χρομίαν.
Δῶμ'. ἀλλ' ἐπέων γλυκὺν ὕμνον πράσσετε.
Τὸ κρατήσιππον γὰρ ἐς ἅρμ' ἀναβαίνων,
Ματέρι καὶ διδύμοις
Παίδεσσιν αὐθὰν μανύει,
Πυθῶνος αἰπεινᾶς ὁμο-
κλάροις ἐπόπταις.

Δυωδ. β'.

Ἔστι δέ τις λόγος ἀνθρώ-
πων, τετελεσμένον ἐσλὸν
Μὴ χαμαὶ σιγᾷ καλύψαι.
Θεσπεσίᾳ δ' ἐπέων
Καύχαις ἀοιδὰ πρόσφορος. —

Ἄλλ'

πλούσιος οἶκος ἀνέωκται ὑπὸ φιλο-
ξενίας ἡττηθείς. ἄγε δὴ ἔν, ὦ
Μῶσαι, διανύσατε καὶ πράσσετε
τὸς ἡδυτάτης διὰ λόγων ὕμνης.
τὸ γὰρ τὰς λοιπὰς κρατῶν καὶ νι-
κῶν ἅρμα ἐλαύνων ὁ Χρόμιος τῇ
τε Λατοῖ καὶ τοῖς δυσὶν αὐτῆς
παισὶ τὸ θαυμάζεσθαι δίδωσιν,
ὅσιν αὐτοῖς τῆς ὑψηλοτάτης Πυ-
θῶνος καὶ ὁμοκληρίας καὶ ἴσοις
ἐπισκόποις.

8. Τὸ κρατήσιππον γὰρ] κρα-
τήσιππον ἤτοι τὸ συνέχον ἐν τάξει
τὰς ἵππους, ἢ κρατῶν καὶ νικῶν
τὰς ἐναντίας.

13. Ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν μὴ χαμαὶ σι-
γᾷ καλύψαι] ἔστι γάρ τις παλαιὰ
παραίνεσις καὶ παρὰ ἀνθρώποις
φερομένη, ὡς δεῖ τὸ ὑπό τινος
κατεργαζόμενον καλὸν σιγῇ παρα-
δίδόναι, ὥστε εἰς γῆν κατενεχθῆ-
ναι, καὶ ἄδοξον διὰ τῆς σιωπῆς
γενέσθαι. τὸ δὲ ἐπιτελεσικὸν ἀγα-
θὸν δεῖ, φησὶ, τῇ σιγῇ παρα-
δίδόναι, ὑπ' ἀνεπισήμαντον ἀφεῖ-
ναι.

16. Θεσπεσίᾳ δ' ἐπέων καύχας (sic) ἀοιδὰ πρόσφορος] τοῖς νενικη-
κόσι, φησὶ, πρόσφορός ἐστι καὶ ἐοι-
κυῖα ἡ διὰ τῆς καυχήσεως ᾠδή· τί γὰρ ἄλλοι μέλλουσι καυχᾶσθαι ἢ οἱ
νικήσαντες; Ἀττικοὶ δὲ λέγουσι καύ-
χην τὴν καύχησιν, καὶ ἄνθην, τὴν
ἄνθησιν, καὶ βλάστην, τὴν βλά-
στησιν. ἤ, οὕτω προσφορωτέρα ἐστὶ
τῆς καυχήσεως ἡ τῶν ἐπῶν ᾠδή·
ἢ πρόσφορος καὶ ἀγαθή τις ἡ τῆς
τῶν

Ἀλλ' ἀνὰ μὲν βρομίαν
Φόρμιγγ', ἀνὰ δ' αὐλὸν ἐπ' αὐτὰν ὄρσομεν
Ἱππείων ἄθλων κορυφάν, ἅτε Φοίβῳ
Θῆκεν Ἄδρηστος ἐπ' Ἀ-
σωπῷ ῥεέθροις· ὧν ἐγὼ
Μνασθεὶς, ἐπασκήσω κλυταῖς
Ἥρωα τιμαῖς·

Δυωδ. γ'.

Ὃς τότε μὲν βασιλεύων
Κεῖθι, νέαισί θ' ἑορταῖς
Ἰσχύος τ' ἀνδρῶν ἀμίλλαις
Ἄρμασί τε γλαφυροῖς
Ἀμφαινε κυδαίνων πόλιν.

τῶν ἐπῶν καυχήσεως ᾠδή, ἢ καυχητικὴ ᾠδή. ὁ δὲ νῦς· ἀλλ' ὅτι πρόσφορός ἐσι καὶ ἁρμόζουσα τύτοις θαυμασή τις λόγων ᾠδή.

18. Ἀλλ' ἀνὰ μὲν βρομίαν Φόρμιγγα] ἑκυτῷ παρακελεύεται ὑμνεῖν τὸν νικηφόρον. βρομία δὲ ἡ φόρμιγξ, ἤτοι παρὰ τὸν βρόμον καὶ τὸν ἦχον τὸν τελύμενον κατὰ τὸν κιθαρισμόν, ἢ βρομίαν, τὴν συναναστρεφομένην τῷ Διονύσῳ. Ὅμηρος (Od. XVII, 271)·

Φόρμιγγός θ' ἣν δαιτὶ θεοὶ ποίησαν ἑταίρην.

ὁ δὲ νῦς· διὰ τύτο δὴ σὺν πᾶσιν ὀργάνοις μυσικοῖς, τύτο μὲν κιθάρᾳ, τύτο δὲ αὐλῷ, ὁρμήσωμεν ἐπὶ τὴν κορυφὴν τῶν ἱππικῶν ἄθλων, ἐπὶ τὸ ἐξαίρετον, τυτέσι, τὴν νίκην.

20. Ἅτε Φοίβῳ θῆκεν Ἄδρηστος] ἅτινα τὰ Πύθια, φησι, κατ' αὐτὸν τὸν Πίνδαρον· ἀνατίθησι γὰρ τὴν τῶν Πυθίων θέσιν ἐν Σικυῶνι Ἀδράστῳ, ποιητικὴν ἄγων ἄθεσιν, Κλεισθένυς αὐτὰ διαθέντος, καθὰ δεδήλωται. ἵνα ἂν ἐνδοξότερον ἀποφήνῃ τὸν ἀγῶνα, ὡς πρὸ, φησὶν, ἄθλων μνημονεύσας ἐγὼ, καὶ τῶν ἐνδόξων μνησθήσομαι τιμῶν τῷ ἥρωος Ἀδράστυ.

25. Ὃς τότε μὲν βασιλεύων] ὅτις Ἄδρηστος τὸ τηνικαῦτα λοιπὸν ἐκεῖ βασιλεύων ἐν Σικυῶνι, μηκέτι ἐν Ἄργει, ταυτὶ αἰς ἀρεταῖς, τῦτο μὲν ἀγωνισμασιν ἀνδρῶν τοῖς ἐκ δυνάμεως, τῦτο δὲ φιλοκαλίαις ἁρμάτων γλαφυρῶν καὶ ὡραίων καὶ καινοτέραις εὐωχίαις, ἐμφανεστάτην καὶ λοίδιμον ἐποίει

30 Φεῦγε γὰρ Ἀμφιάρη-
ὁν τε θρασυμήδεα καὶ δεινὰν ϛάσιν,

Πατρίων

ἐκοίει τὴν πόλιν. καὶ Κλεισθένης μὲν τὰ ἐν Σικυῶνι Πύθια διέθηκε πρῶτος, ἀνατίθησι δὲ τὸ ὅλον Ἀδράϛῳ κατατεθέντι, ἐπειδὴ καὶ διωρθώσατο αὐτὸς ὕστερον, καὶ ἄλλως ἐνδοξότερος ὁ ἀνήρ.

30. Φεῦγε γὰρ Ἀμφιάρηον] περὶ τῆς Ἀδράϛου εἰς Σικυῶνα μεταστάσεως Ἡρόδοτος μὲν ὕτω φησίν (V, 67. p. 405. Wess.)· οἱ δὲ Σικυώνιοι εἰώθεσαν κάρτα τιμᾶν τὸν Ἄδρηστον. ἡ γὰρ χώρη αὕτη ἦν Πολύβου· ὁ δὲ Ἄδρηστος ἦν Πολύβου θυγατρίδεος, ἄπαις δὲ ὁ Πολυβος τελευτῶν διδοῖ Ἀδρήϛῳ τὴν χώρην. Μέναιχμος δὲ ὁ Σικυώνιος ὕτω γράφει· χρόνῳ παρελθόντος πολλῷ Πρώναξ μὲν ὁ Ταλαῦ καὶ Ἀυσιμάχης τῆς Πολύβου βασιλεύων Ἀργείων ἀποθνήσκει, καταϛαθεὶς ὑπὸ Ἀμφιαράου καὶ τῶν Μελαμποδιδῶν καὶ τῶν Ἀναξαγορίδων. Ἄδρηστος δὲ ὁ ἀδελφὸς τῆ Πρώνακτος φυγὼν ἦλθεν εἰς Σικυῶνα, καὶ τὴν Πολύβου μητροπάτορος βασιλείαν λαβὼν ἐβασίλευσε τῆς Σικυῶνος, καὶ τῆς Ἥρας τῆς Ἀλεξάνδρας καλουμένης ἱερὸν καθ' ὅντερ ὦκει τόπον ἱδρύσατο. τὴν δὲ ἐπωνυμίαν ἔλαβε ταύτην τὸ ἱερὸν, διὰ τὸ φεύγοντα τὸν Ἄδρηστον ἱδρύσασθαι, καὶ καλέσαι ἱερὸν Ἥρας Ἀλεξάνδρας. τὸ δὲ φυγεῖν τινὲς ἀλᾶσθαι ὠνόμαζον. Διευτυχίδας δὲ ἐν τῷ τρίτῳ τῶν Μεγαρικῶν τὸ μὲν κενήριον τῆ Ἀδράϛῳ ἐν Σικυῶνί φησιν, ἀποκεῖσθαι δὲ αὐτὸν ἐν Μεγάροις. οἱ δέ φασι· Προῖτος ἐβασίλευσε τῆ Ἄργους, τῶν θυγατέρων δὲ αὐτῆ μανεισῶν, Μελάμπους μάντις ὢν παρεγένετο· ὁμολογηθέντος δὲ αὐτῷ μισθῆ τῶν δυεῖν μερῶν τῆς βασιλείας, ἐκάθηρεν αὐτάς· ὡς δὲ ἐκάθηρεν, ἔλαβε κατὰ τὴν ὑπόσχεσιν, καὶ τὸ μὲν ἥμισυ ἐκοινωνήσατο τῷ ἀδελφῷ Βίαντι, τὸ δὲ ἥμισυ κατέσχεν αὐτῷ, ὥϛε γενέσθαι τὴν ὅλην βασιλείαν τριμερῆ, Μελαμποδίδας, Βιαντίδας, Προιτίδας. Μελάμποδος μὲν ὢν Ἀντιφάτης, ὃ Οἰκλῆς, ὃ Ἀμφιάραος· Βίαντος δὲ Ταλαὸς, ὃ Ἄδρασος· Προίτου Μεγαπένθης, ὃ Ἱππόνους, ὃ Καπανεὺς, ὃ Σθένελος. διαφορὰ δὲ ἐγενήθη τοῖς περὶ Ἀμφιάραον καὶ Ἄδρασον, ὥϛε τὸν μὲν Ταλαὸν ὑπὸ Ἀμφιαράου ἀποθανεῖν, τὸν δὲ Ἄδρασον φυγεῖν εἰς Σικυῶνα καὶ γῆμαι τὴν Πολύβου θυγατέρα. τελευτήσαντος δὲ τοῦ Πολύβου χωρὶς ἐπιγονῆς ἀρσενικῆς, τὸν Ἄδρασον ἔχειν τὴν Σικυωνίων βασιλείαν. εὐλόγως ὖν εἶπε· φεῦγε γὰρ Ἀμφιάρηον Ἄδρηστος διὰ τὴν ϛάσιν τὴν πρὸς τὸς Μελαμποδίδας. ὕστερον μέντοι συνελθεῖν πάλιν, ἐφ' ᾧ συνοικήσει τῆ Ἐριφύλῃ ὁ Ἀμφιάραος, ἵν' εἴ τι μεγ' ἔρισμα μετ' ἀμφοτέροισι γένηται, αὐτὴ διαιτᾷ. ὁ δὲ νῦς ὕτως· ἔφευγε γὰρ πρὸ τούτου πολέμιον ὄντα τὸν Ἀμφιάραον, καὶ τὴν πρὸς αὐτὸν ϛάσιν δεινὴν οὖσαν ἔφευγε καὶ ἐκ τῆς πατρῴας ἑστίας καὶ ἀπὸ Ἄργους.

32. Ἀρχοὶ

Πατρίων οἴκων ἀπό τ' Ἄργεος. ἀρχοὶ
Δ' ἦκ ἔτ' ἔσαν Ταλαῦ
Παῖδες, βιασθέντες λύᾳ.
Κρέσσων δὲ καππαύει δίκαν
Τὰν πρόσθεν ἀνήρ·

Δυωδ. δ'.

Ἀνδροδάμαν τ' Ἐριφύλαν,
Ὅρκιον ὡς ὅτε πιστὸν,
Δόντες Οἰκλείδᾳ γυναῖκα,
Ξανθοκομᾶν Δαναῶν
Bb 5 Ἦσαν

32. Ἀρχοὶ δ' ἦκέτ' (sic) ἔσαν Ταλαῦ παῖδες] ἔτι δὲ εἰς ἄρχοντας ἠριθμοῦντο ἐν τῷ Ἄργει οἱ Ταλαοῦ παῖδες, οἱ περὶ Ἄδραστον βιασθέντες ἐν τῇ τάσει καὶ τῷ πολέμῳ τῷ πρὸς Ἀμφιάραον. ἔφυγε γὰρ Ἄδραστος.

35. Κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνὴρ] ὁ δὲ ἰσχυρὸς ἀνὴρ τὸ προϋπάρχον δίκαιον καταπαύει. ἐν ἄλλοις ὁ Πίνδαρος (Fragm. p. 107 f.)· Νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων ἄγει δικαιῶν τὸ βιαιότατον ὑπερτάτᾳ χειρί. ἢ δεκτέον τοῦτο εἰρῆσθαι διὰ τὴν ἔχθραν τὴν ἐπὶ τῷ Ἀδράστῳ. διὸ δὴ καὶ ὕστος ἰσχυθεὶς τότε ὑπὸ Ἀμφιαράου ὕστερον αὐτὸν μετῆλθε, κρείσσων φανεὶς καὶ συνετώτερος. πῶς δὲ μετῆλθε; μέσην ποιησάμενος τὴν Ἐριφύλην τῶν πρὸς αὐτὸν συμφορῶν. ἔφθειρε γὰρ ἐκείνην τῇ δόσει τοῦ ὅρμου, καὶ μετῆλθεν αὐτὸν, ὥσε ἀπολέσθαι. Ἀνδροδάμαν (sic) δὲ, τὴν τὸν ἄνδρα ἀνελοῦσάν φησιν. ἡ γὰρ Ἐριφύλη τὸν ἑαυτῆς ἄνδρα Ἀμφιάραον προὔδωκεν εἰς φόνον. μέμνηται τούτου καὶ Ὅμηρος (Od. XI, 325 f.)·

τὴν γερυρήν τ' Ἐριφύλην
Ἣ χρυσὸν φίλῳ ἀνδρὸς ἐδέξατο τιμήεντα.

ὁ δὲ νῦς· συνετὸς ἀνὴρ καὶ κρείσσων τῶν λοιπῶν ὁ Ἄδραστος κατέπαυσε τὴν μάχην τὴν προτέραν οὕτω· τὴν ἀδελφὴν αὐτοῦ τὴν Ἐριφύλην τὴν τὸν πρότερον ἄνδρα δαμάσασαν ἔδωκε τῷ Ἀμφιαράῳ, ἥτις, ὥσπερ τις ὅρκος πιστότατος, δοθεῖσα τῷ Οἰκλέος παιδὶ Ἀμφιαράῳ, καὶ γυνὴ αὐτῷ γενομένη, ἔσβεσε τὴν μάχην, καὶ οὕτω τῶν ξανθοκόμων Ἑλλήνων ἐγένοντο περιφανέστεροι οἱ περὶ Ἄδραστον.

41. Καὶ

Ἦσαν μέγιστοι. καί ποτ' ἐς
Ἑπταπύλας Θήβας
[Λεκτῶν] ἄγαγον στρατὸν ἀνδρῶν, αἰσιᾶν
Οὐ κατ' ὀρνίχων ὁδόν. ὑδὲ Κρονίων
Ἀστεροπὰν ἐλελί-
ξαις, οἴκοθεν μαργυμένους
Στείχειν ἐπώτρυν', ἀλλὰ φεί-
σασθαι κελεύθου.

Δυωδ. ε'.

Φαινομέναν δ' ἄρ' ἐς ἄταν
Σπεῦδεν ὅμιλος ἰκέσθαι
Χαλκέοις ὅπλοισιν ἱππει-
οις τε σὺν ἕντεσιν. Ἰ-
σμηνὸ δ' ἐπ' ὀχθαισι, γλυκὺν
Νόστον ἐρυξάμενοι

Λευκαν-

41. Καί ποτ' ἐς ἑπταπύλας Θήβας] ἐντεῦθεν δὴ καὶ εἰς τὰς Θήβας ποτὲ τὰς ἑπταπύλας στρατευμα ἤγαγον, ἐκ αἰσίοις οἰωνοῖς χρησάμενοι, οἱ περὶ Ἀμφιάραον καὶ Ἄδραστον. ὑδὲ γὰρ ὁ ζεὺς ἀστραπὴν δεξιὰν μηνύσας μαργῶντας αὐτὰς καὶ ἐπειγομένους ἀπὸ τῶν φίλων ἀπιέναι προσέταξεν, ἀλλὰ μᾶλλον ἀποσχέσθαι τῆς ἀφίξεως. ὑδὲν γὰρ αὐτοῖς δεδώκει δεξιὸν σημεῖον. εἰς δὲ φανερὰν ἄτην καὶ βλάβην τοῦ τούτων ἕσπευδε στρατευμα, καὶ περιγενέσθαι σὺν τοῖς χαλκοῖς ὅπλοις φησὶ, τοῖς πεζοῖς καὶ τοῖς ἱππεῦσιν.

42. Ἰσμηνὸ δ' ἐπ' ὀχθαισι γλυκὺν νοστον ἐρυσάμενοι] τυτέστιν, ἀποθανόντες ἐπὶ τῇ τῦ Ἰσμηνῦ ἀναβολῇ. Λευκανθέα δὲ λέγει τὰ σώματα· γίνεται γὰρ τὰ σώματα τῶν κατομένων νεκρῶν λευκὰ, ἢ ὅτι ὁ καπνὸς διὰ τὴν πιμελὴν λευκός ἐστι καὶ βαρὺς, παρὸ ὑδὲ πόρρω διϊκνεῖται μετέωρος, καθὼς ὁ ἐκ τῶν ξηρῶν ξύλων καπνός. ὁ δὲ νῦς· τοιγαρῦν παρ' αὐταῖς ταῖς ὄχθαις τῦ Ἰσμηνῦ πεσόντες αὐτοῦ καὶ τὴν οἴκοι ἀνακομιδὴν ἀπέδεντο θανάτῳ λυθέντες, καὶ ἑαυτῶν τὰ σώματα τροφὴν δόντες τῷ πυρί. ἑπτὰ γὰρ ὅλων πυρκαϊὰ τὰ τῶν νεκρῶν, ἢ τὰ τῶν νέων κατευωχήθησαν καὶ κατέφλεξαν σώματα. τὸ δὲ ἑπτὰ πυραὶ, ἢ πρὸς τὰς λοχαγὺς, ἀλλὰ πρὸς τὸ τῶν νέων στρατευμα. ἐφ' ἑκάστῃ γὰρ πύλῃ πολυάνδριον ἐγένετο.

57. Ὁ

Λευκανθέα σώματ' ἐπίαναν κατηγόν.
Ἑπτὰ γὰρ δαίσαντο πυραὶ νεαγγίως
Φῶτας· ὁ δ' Ἀμφιάρᾳ
Σχίσεν κεραυνῷ παμβία
Ζεὺς τὰν βαθύστερνον χθόνα,
Κρύψεν δ' ἅμ' ἵπποις,

Δυωδ. ς'.

Δερὶ Περικλυμένᾳ πρὶν
Νῶτα τυπέντα μαχατὰν
Θυμὸν αἰσχυνθῆμεν. — ἐν γὰρ
Δαιμονίοισι Φόβοις
Φεύγοντι καὶ παῖδες θεῶν. —
Εἰ δυνατόν, Κρονίων,

Πεῖραν

37. Ὁ δ' Ἀμφιάρηϊ (lic) σχίσε] τυτέσιν, ὁ δὲ Ζεὺς τῷ Ἀμφιαράῳ διέσχισε τὴν γῆν, κεραυνὸν βαλών, ὥστε καταποθῆναι αὐτὸν τῷ πάντα βιαζομένῳ κεραυνῷ. τοῦτο ἂν λέγει, ὡς τὸ Ἀμφιαράου συνεσταλμένα τῷ Περικλυμένῳ, ὃς ἦν υἱὸς Ποσειδῶνος καὶ Χλωρίδος τῆς Τειρεσίου, ὁμωνύμη τῇ Νηλέως. πρὶν ἦν, φησὶν, ὑπὸ τὰ Περικλυμένη τρωθῆναι τὰ νῶτα τὸν Ἀμφιάραον φεύγοντα, καταποθῆναι. ἀεὶ γὰρ ἐπεδίωκεν αὐτόν, ὁ δὲ νεῦς ἤτως· ὁ δὲ Ζεὺς τῷ Ἀμφιαράῳ διέσχισε καὶ διέκυψε τὴν γῆν τὴν πλατεῖαν, ἄνωθεν ἐπιπέμψας τὸν κεραυνὸν, τὸν πάντα βιάζεσθαι δυνάμενον, καὶ ἤτως ὑπὸ τὴν γῆν ἐκρύφθη ὁ Ἀμφιάραος ἅμα τῷ ἅρματι τῷ ἑαυτοῦ, πρὶν ἢ τῷ τοῦ Περικλυμένη δόρατι τρωθῆναι τὰ νῶτα φεύγοντος αὐτοῦ, καὶ αἰσχύνην προστρίψασθαι τῇ ἀνδρειοτάτῃ ψυχῇ αὐτοῦ τὸν τοιοῦτον θάνατον.

63. Ἐν γὰρ δαιμονίοισι φόβοις] ἐν γὰρ τοῖς μεγίστοις καὶ ἐνθέοις φόβοις συνέχονται καὶ οἱ τῶν θεῶν παῖδες καὶ φεύγησιν. συγγνώμη οὖν, φησὶ, καὶ τῷ Ἀμφιαράῳ φεύγοντι· ὁ γὰρ Ζεὺς συνεμάχει τότε τοῖς Θηβαίοις, διὸ ἔφευγε τότε ὁ Ἀμφιάραος. οὕτω καὶ ὁ Αἴας ἔφευγεν ἐντροπαλιζόμενος, ὀλίγου γόνυ γυνὸς ἀνταμείβων, τὸν Δία ἔχων ἀντιστάτην.

67. Πεῖραν

Πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων
Ἐγχέων ταύταν θανάτᾳ πέρι καὶ ζω-
ᾶς ἀναβάλλομαι ὡς
Πόρσιτα. μοῖραν δ' εὔνομον
Αἰτέω σε παισὶν δαρὸν Αἰ-
τναίων ὀπάζειν,

Δυωδ. ζ'.

Ζεῦ πάτερ, ἀγλαΐαισιν
Δ' ἀσυνόμοις ἐπιμίξαι
Λαόν. ἐντί τοι Φίλιπποί
Τ' αὐτόθι καὶ πτεάνων
Ψυχὰς ἔχοντες κρέσσονας

Ἄνδρες.

67. Πεῖραν μὲν ἀγάνορα] πεῖραν, τὴν λῃστρικὴν ἐπίθεσιν.

Φοινικοστόλων ἐγχέων] μεθ' ὧν οἱ Φοίνικες ἐστάλησαν δοράτων, ἤτοι ὑπὸ Φοινίκων ἐταλμένων, ἐπειδὴ Φοίνικες ᾤκησαν τὴν Λιβύην μετὰ Καρχηδονίων, οἵτινες ἀνιόντες ἐπολέμων Σικελίᾳ. διὸ νῦν εὔχεται ὁ Πίνδαρος τῷ Διΐ, ὥστε (μὴ) ἐμποδισθῆναι αὐτῶν τὴν ὁρμήν. Ἄλλως. οἱ Καρχηδόνιοι ἦσαν τότε Φοίνικες, οἵτινες μέγα ἰσχύοντες ἐπέβαλον καὶ τῆς Ἰταλίας καὶ τῆς Σικελίας κρατῆσαι. ἀντεῖχον δὲ οἱ περὶ Γέλωνα καὶ Ἱέρωνα. διὸ καὶ φοινικόστολα εἶπεν ἔγχη, τὰ ὑπὸ Φοινίκων τελλόμενα ἐπὶ τὴν Ἰταλίαν. τὸ δὲ λεγόμενον, τοιοῦτόν ἐστιν· εἰ δυνατόν ἐστιν, ἀναβαλέσθαι τὴν πεῖραν, ἀναβάλλομαι, περὶ εἰς πεῖραν τὰ Σικελικὰ καὶ Φοινικικὰ ἔγχη συμβαλλόμενα περὶ ζωῆς καὶ θανάτου, ἀναβάλλομαι αὐτά, ὦ Ζεῦ, καὶ ὑπερτίθεμαι. ἢ ὅτω· τὸν μὲν πόλεμον τὸν Φοινικικὸν ἀναβάλλομαι, ὦ Ζεῦ, αἰτῶ δέ σε μοῖραν εὔνομον τοῖς παισὶ τῶν Αἰτναίων δοῦναι, τυτέσιν, αἰτῶ δέ σε καὶ ἱκετεύω, ὦ Ζεῦ, ὥστε ἐπὶ πολὺν χρόνον τοῖς τῶν Αἰτναίων παισὶν εἰρήνης μοῖραν παρέχειν. ἀπὸ μέρους δὲ τὸ πᾶν, ἀπὸ τῶν Αἰτναίων δηλοῖ τοὺς σύμπαντας Σικελιώτας.

73. Ἀγλαΐαισι δ' ἀσυνόμοις ἐπιμίξαι λαὸν] καὶ πολλαῖς εὐφροσύναις ἐπιμίξαι τὰς ὄχλους, εὐφροσύναις δὲ ἀναστρεφομέναις κατὰ τὴν πόλιν. εἰσὶ γάρ σοι ἐνταῦθα καὶ ἱππικώτατοι ἄνδρες καὶ νικῶντες τῇ προαιρέσει τὸν πλοῦτον, καὶ οὐχ ἡττώμενοι χρημάτων. ἢ ὅτως· εἰσὶν ἄνδρες ἐν Σικελίᾳ καὶ φίλιπποι καὶ ἱπποτρόφοι, ὡς νῦν ὁ Χρόμιος ἵππος νενικηκώς. εἰς τοῦτον γὰρ ἡ ἀπόστασις.

78. Ἀπι-

Ἄνδρες. — ἄπιστον ἔειπ'. Αἰδὼς γὰρ ὑπόκρυφα κέρδει κλέπτεται,
Ἃ φέρει δόξαν. — Χρομίῳ κεν ὑπασπίζων παρὰ πεζοβόαις
Ἵπποις τε νεῶν τ' ἐν μάχαις
Ἔκρινας αὖ κίνδυνον ὀξείας ἀϋτᾶς.

Δυωδ. ή.

Οὕνεκεν ἐν πολέμῳ κείνα θεὸς ἔντυεν αὐτῷ
Θυμὸν αἰχματάν, ἀμύνειν
Λοιγὸν Ἐνυαλίᾳ.
Παῦροι δὲ βελεῦσαι, φόνα

Παρτο-

78. Ἄπιστον ἔειπ'· αἰδὼς γὰρ] Ἄπιστον δὲ εἶπεν, ὡς ἔοικεν, ὅτι τὴν προαίρεσιν εἰσί τινες βελτίας χρημάτων. καὶ γὰρ αἰδὼς ὑποκλέπτεται δίχα τοῦ κέρδους, ἀντὶ τοῦ, οὐκ αἰδοῦνται διὰ κέρδος τὶ πρᾶξαι, ἥτις αἰδὼς εὐδοξίαν φέρει. καὶ ὅτι ἡ αἰδὼς ἡ φέρουσα δόξαν ἔσιν ὅτε παραλογίζεται ὑπὸ φιλοκερδείας. Ἄλλως. κἂν τις, φησὶν, αἰδήμων ὑπάρχῃ, ὑπὸ τοῦ κέρδους παραλογίζεται. ἔνεκα γὰρ τοῦ κέρδους καὶ οἱ αἰδήμονες πολλάκις ἀναισχυντοῦσι.

80. Χρομίῳ κεν ὑπασπίζων] τῷ Χρομίῳ συμπαρὼν ἄν, ἔν τε πεζομαχίᾳ καὶ ἱππομαχίᾳ καὶ ναυμαχίᾳ, ἔκρινας οἷός τις ὁ κίνδυνος ὁ τῶν πολέμων. φαίνεται δὲ, ὅτι βάλεται αὐτὸν ὡς ἀνδρεῖον καὶ διασώζοντα τοὺς συνόντας αὐτῷ ἀφόβως παρασῆσαι. ἐπεὶ πῶς ἂν ἀγαθὸς γένοιτο κριτὴς μετὰ δέους ἀναστρεφόμενος ἐν πολέμῳ;

85. Οὕνεκεν ἐν πολέμῳ κείνα θεὸς] ὁ λόγος ἐπὶ τῆς προειρημένης αἰδοῦς. ἤδεσαν ἄν, φησὶν, ὅτι ἐν τῷ πρὸς τοὺς Φοίνικας πολέμῳ ἐκείνη ἡ θεὸς, δηλονότι ἡ Αἰδὼς, παρεσκεύαζεν αὐτῷ τὸν θυμὸν αἰχμητὴν εἶναι, ὥσε ἀμύνειν λοιγὸν Ἐνυαλίᾳ. Ὁμήρος (Il. V, 531)·

Αἰδομένων δ' ἀνδρῶν πλέονες σῶοι ἠὲ πέφαντο.

παρεσκεύαζεν ἤν ἡ Αἰδὼς τῷ Χρομίῳ, οὐχ ἵνα κτήσηται τὸ κέρδος, ὡς ἄλλοι ἀναισχυντοῦσιν, ἀλλ' αὐτοῦ χάριν τοῦ καλοῦ, ἵνα τῇ πατρίδι ἀμύνῃ.

89. Παῦροι δὲ βελεῦσαι φόνα] ὀλίγοι, φησὶ, φόνα ἐφεστηκότος βουλεύσασθαι δυνατοὶ, τὴν τοῦ πολέμου

Παρῳδίᾳ νεφέλαν
Τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν ἐίχας
Χερσὶ καὶ ψυχᾷ, δυνατοί. — λέγεται μὲν
Ἕκτορι μὲν κλέος ἀν-
θῆσαι Σκαμάνδρῳ χεύμασιν
Ἀγχῷ. βαθυκρημνοῖσι δ' ἀμ-
φ' ἀκταῖς Ἑλώρου,

Δυωδ. ϑ'.

λέμῳ νεφέλην τρέψω πρὸς τοὺς πολεμίους, πτείνοντες αὐτοὺς, καὶ χερσὶ καὶ ψυχαῖς, καὶ ἐν τῷ δράσαι καὶ φονεῦσαι τοὺς πολεμίους, καὶ ἐν τῷ βουλεύσασθαι, πῶς δεῖ ἀνελεῖν αὐτούς. κατορθώσαι γὰρ ὁ πόλεμος γνώμῃ καὶ χειρὶ· χειρὶ, τῇ ἀνδρείᾳ, ψυχῇ, τῇ φρονήσει, ἵν' ᾖ βώμη μετὰ φρονήσεως. ἀμφότερα δὲ ταῦτα ἔχει ὁ Χρόμιος. καὶ γὰρ ὕτος βουλῇ καὶ χειρὶ ἐγένετο ἀγαθὸς ἐν τῷ πολέμῳ τῷ πρὸς τοὺς Φοίνικας.

93. Ἕκτορι μὲν κλέος ἀνθῆσαι] ἀπεικάζει αὐτὸν τῷ Ἕκτορι, καὶ τῷ Ἕκτορί φησιν ἀνθῆσαι τὸ κλέος μαχομένῳ παρὰ τῷ Σκαμάνδρῳ. τοῦτο δὲ εἰς ἔπαινον παρείληπται τοῦ Χρομίου. τὸν δὲ Ἕκτορα παρείληφε, καὶ ἐκ Αἴαντα ἢ Ἀχιλλέα, τῷ καὶ τὸν Ἕκτορα μεμαχῆσθαι ὑπὲρ τῆς πατρίδος, ὡς καὶ τὸν Χρόμιον. ὁ δὲ νῦς· λέγεται μὲν καὶ ἄδεται τῷ μὲν Ἕκτορι τὴν εὐδοξίαν παρὰ τῷ Σκαμάνδρῳ, ἐν δὲ ταῖς ἀκταῖς τοῦ Ἑλώρου ποταμοῦ, ἀφ' οὗ δὴ καὶ ὁ Ἀρείας πόρος καλεῖται, δέδεικται τοῦτο τὸ φέγγος τῷ Χρομίῳ, ἐν τῇ πρώτῃ καὶ νέᾳ ἡλικίᾳ. ἐνίκησε γὰρ ἐνταῦθα Καρχηδονίους, συμμαχῶν Γελῶνι τῷ τυράννῳ, τῷ Ἱπποκράτους διαδόχῳ.

95. Βαθυκρημνοῖσι δ' ἀμφ' ἀκταῖς Ἑλώρου] περὶ τοῦτον τὸν ποταμὸν συνέστη Ἱπποκράτει, τῷ Γελώων τυράννῳ, πρὸς Συρακουσίους πόλεμος. ὁ δὲ Γέλων ὕτος ἕτερος, ὃς ἱππάρχει τότε Ἱπποκράτει. ἐν δὴ τούτῳ, φησὶ, τῷ πολέμῳ εἰκὸς τὸν Χρόμιον ἐπιδείξασθαι πολλὰ ἔργα κατὰ τὴν μάχην. περὶ δὲ τούτου τοῦ πολέμου Τίμαιος ἐν τῇ δεκάτῃ δεδήλωκε. καθάπαξ γάρ, φησιν ὁ Δίδυμος, ὠδεμίαν ἄλλην μάχην ἔχομεν εὑρεῖν περὶ τὸν Ἕλωρον τῶν συνηκμακότων τῷ Χρομίῳ τυράννων, ὅτι μὴ σὺν Ἱπποκράτει τοῦ Γέλωνος πρὸς Συρακουσίους. ὅτι μὲν οὖν Γέλωνα ἱπαρχεῖν κατέστησεν Ἱπποκράτης, σαφὲς ὁ Τίμαιος ποιήσει γράφων οὕτως· Ἱπποκράτης δὲ μετὰ τὴν Κλεάνδρου τελευτὴν ἅμα μὲν τοῦ Γέλωνος ἐν τῇ τεταγμένῃ μεμενηκότος, ἅμα δὲ τοῖς Γελωοις χαρίσασθαι βουλόμενος αὐτὸν καὶ παρακαλέσας παρὰ τὰς πράξεις, ἁπάντων τῶν ἱππέων τὴν ἐπιμέλειαν ἐκείνῳ παρέδωκε. ὡς δὲ καὶ ὁ Γέλων τῷ Χρομίῳ ἐχρῆτο ἑταίρῳ, ὅλον πάλιν ἐξ ὧν

Δυωδ. θ'.

Ἔνθα Ῥείας πόρον ἄνθρω-
ποι καλέουσι, δέδορκεν
Παιδὶ τεῦ Ἀγησιδάμᾳ
Φέγγος ἐν ἀλικίᾳ
Πρώτα. τὰ δ' ἄλλαις ἀμέραις
Πολλὰ μὲν ἐν κονίᾳ
Χέρσῳ, τὰ δὲ γείτονι πόντῳ, φάσομαι. —
Ἐκ πόνων δ', οἵ σὺν νεόταται γένωνται
Σύν

ὧν φησι Τίμαιος ἐν τῇ δευτέρᾳ γραφῶν ὕτως· Ἐπιτρόπους δὲ τῶ παιδὸς μετ' ἐκείνου κατέστησεν Ἀριστόνικον καὶ χρήμιον τὸς κηδεστάς. τούτοις γὰρ ὁ Γέλων δέδωκε τὰς ἀδελφάς. Ἄλλως. Ἀρείας πόρος ἔλεγετο πᾶς ὁ περὶ τὸν πορθμὸν καὶ τὸ ῥηγιον τόπος. ἔχει δὲ ὁ ποταμὸς ἰερὸς ἰχθύας, οἳ παρὰ τῶν διαβαινόντων δέχονται τροφήν, ὁ δὲ τῆς Ἀρείας πόρος ἀνεξήγητός ἐστι. διὸ καὶ ἄδηλον, εἴτε Ἀρείας, εἴτε Ῥείας λεκτέον, εἴτε ὑφ' ἓν Ἀρειάσπορον. καὶ καλεῖσθαι μέχρι τῦ νῦν Ἀρείας πόρον διὰ τὸ πλῆθος τῶν φυομένων, ἢ ἀπὸ τῦ συμβεβηκέναι ἐκεῖσε πόλεμον. Ἄρεα δὲ οἱ ποιηταὶ τὸν πόλεμόν φασιν.

102. Πολλὰ μὲν ἐν κονίᾳ χέρσῳ] χέρσω τῆς ἠπείρω φησί. γείτονι δὲ πόντῳ, ἀντὶ τῦ, ἐν ταῖς νήσοις καὶ θαλασσίοις τόποις. ἐν ὑπερβατῷ δέ φησιν· ἐν δὲ ἄλλαις ἡμέραις φήσω καὶ διελεύσομαι τὰ ἐν τῇ γῇ τῆς ἠπείρω καὶ τὰ ἐν ταῖς νήσοις αὐτῶ διηνύσματα. ἢ ὕτως· ἐὰν κατορθώσω, πάλιν ἐρῶ ὕστερον τὰ ἐν τῇ γῇ τῆς ἠπείρω καὶ τὰ ἑξῆς.

104. Ἐκ πόνων δὲ οἵ σὺν νεόταται γένωνται] ἐκ τῶν πόνων τῶν ἐπιτελεσθέντων τῇ νεότητι, καὶ πόνων γε τοιούτων τῶν σὺν δικαίῳ τελεσθέντων, μία ἡμέρα αἰῶνος ὅλω τάξιν ἔχει εἰς εὐφροσύνην· ἐπειδάν τινες ἐν νεότητι πεπονηκότες ὦσι, καὶ βεβιωκότες δικαίως, ἡμέρα μία ἐν τῷ γήρᾳ συγκριτικὴ ἐστι πρὸς ὅλον τὸν αἰῶνα· τινὲς δὲ θηλυκῶς φασὶν ἐξεννηνέχθαι τὴν ἡμέραν, ἀντὶ τῦ ἥμερος, καὶ τὸν αἰῶνα θηλυκῶς εἰρῆσθαι· ἡ αἰὼν ἐστιν αὐτοῖς ἡμέρα, ἀντὶ τῦ, ἥμερος καὶ πρᾶός ἐστιν αὐτοῖς ὁ βίος πρὸς γῆρας, ὅταν ὦσιν ἐν νεότητι πεπονηκότες δικαίως. τὰ δὲ προσηνῆ κατὰ μεταφορὰν ἀπὸ τῆς ἡμέρας σημαίνεται, ὥσπερ τὰ χαλεπὰ ἀπὸ τῆς νυκτός. ἢ ὕτως· ὁ δὲ ἐκ πόνων καὶ κινδύνων αἰὼν καὶ χρόνος, οἵτινες ἂν πόνοι μετὰ δικαιοσύνης ἐν τῇ νέᾳ ἀνυσθῶσιν ἡλικίᾳ, τούτω ὁ πρὸς τὸ γῆρας πᾶς χρόνος, ὥσπερ μία ἡμέρα παρατρέχει, διὰ τὸ εὐθυμεῖν καὶ μὴ ἐπαι-

Σύν τε δίκᾳ, τελέθει
Πρὸς γῆρας αἰὼν ἄμερα. —
Ἴσω, λαχὼν πρὸς δαιμόνων
Θαυμαστὸν ὄλβον.

Δυωδ. ί.

Εἰ γὰρ ἅμα πτεάνοις πολ-
λοῖς ἐπίδυξον ἄρηται
Κῦδος, ἐκ εἶτ' ἐσὶ πόρσω
Θνατὸν ἔτι σκοπιᾶς
Ἄλλας ἐφάψασθαι ποδοῖν. —
Ἀσυχίαν δὲ φιλεῖ
Μὲν συμπόσιον· νεοθαλὴς δ' αὔξεται
Μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ.
Θαρσαλέα δὲ παρὰ
Κρητῆρα φωνὰ γίνεται.

Ἐγκιρ-

ἐπαισθάνεσθαι τῶν φαύλων. τὸ δὲ ἐξῆς· ὁ δὲ αἰὼν πρὸς τὸ γῆρας τύτοις τελέθει ἀεὶ φῶς τοῖς πόνοις, οἳ ἂν ἐν νεότητι γένωνται καὶ δίκῃ. ἔστι δὲ ἐκ τῦ ἐναντίυ τῦ Ὁμήρυ (Od. XIX, 360)·

Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκυσιν.

109. Εἰ γὰρ ἅμα πτεάνοισι (sic) πολλοῖς] εἰ γὰρ ἅμα τῷ πλυτεῖν καὶ δοξασθήσετό τις καλὰ ἐργασάμενος, ἐκ ἔσιν ὑπερθέσθαι ταύτην τὴν μακαριότητα, ὅταν συνέλθῃ δόξα πλύτῳ. ὁ δὲ νῦς· ὁ γὰρ ἅμα πλήθει περιυσίας καὶ δόξαν εὐκλεᾶ καρπωσάμενος ἐκέτι περαιτέρω, θνητὸς ὤν, ὀφείλει περισκοπεῖν, ἢ δὲ ἄλλης εὐτυχίας ἐκὲς ἐπιζητεῖν τοῖς αὐτῦ πσιν. ἀνυπέρβλητος γάρ, φησιν, αὕτη ἡ ἀρετή. παρέοικε δὲ τῇ ἄνω διανοίᾳ (III, 33)· εἰ δὲ ὧν καλὸς, ἔρδων δ' ἐοικότα μορφῇ, ἐκέτι πόρσω, καὶ τὰ ἑξῆς.

114. Ἡσυχίαν δὲ φιλεῖ μὲν συμπόσιον] τῇ μὲν ἓν εἰρήνῃ καὶ ἡσυχίᾳ προσφιλὲς ἐσι τὸ συμπόσιον, ἡ δὲ νεωσὶ καταπραχθεῖσα νίκη συναύξεται τῇ μαλθακῇ καὶ ἡδείᾳ ᾠδῇ. ἢ ὕτω· τὸ συμπόσιον τὴν ἡσυχίαν φιλεῖ· καὶ ἐσιν ὅμοιον τῷ (V, 11)· Ματέρ' οἰνάνθας ὀπώραν. ἡ δὲ νικηφορία δ' φιλεῖ ἡσυχίαν.

117. Θαρσαλέα δὲ παρὰ κρατῆρα φωνὰ γίνεται] παρὰ δὲ τὸν κρατῆρα, ὃς ἴσατο διὰ τὸ τέλος τῆς νίκης, θαρσαλεωτέρα ἡ φωνὴ γίνεται,

Ἐγκιρνάτω τίς μιν, γλυκὺν
Κώμῳ προφάτᾱν.

Δυωδ. ιά.

Ἀργυρέαισι δὲ νωμάτω
φιάλαισι βιατὰν
Ἀμπέλω παῖδ' ἃς ποθ' ἵπποι
Κτησάμεναι Χρομίῳ

Πέμψᾱν

γίνεται, καὶ δύνατόν τις θαῤῥῶν ἐπὶ τῇ τῦ νικηφόρῳ ἀνδραγαθίᾳ μετὰ παῤῥησίας τὸν ὕμνον ᾄδειν ἐπὶ τῇ νίκῃ. ἢ ἄλλως· ὅταν τὶς νικήσῃ, μετὰ παῤῥησίας εἰς αὐτὸν φωνὴ γενέσθωσαν καὶ ὕμνοι.

119. Ἐγκιρνάτω τίς μιν γλυκὺν] τοίνυν, τὸν κρατῆρα τὸν ἱσάμενον ἐπὶ τῇ νίκῃ ἐγκιρνάτω τὶς, προηγητὴν ὄντα τῦ ὕμνυ. προηγητὴν δὲ ἔφη τῦ ὕμνυ τὸν κρατῆρα, ἐπειδὴ τῇ νίκῃ ἅμα κρατὴς τῆς σπονδῆς, εἶθ' ὕτως ὁ ὕμνος ᾄδετο. ὁ δὲ νῦς· ἤδη κιρνάτω τὶς τὸν κρατῆρα, ὅς ἐστι προοίμιον καὶ προφήτης τῦ κώμυ. κωμάζωμεν ἓν αὐτὸν καὶ ὑμνῶμεν, ὅτι νενίκηκεν.

121. Ἀργυρέαισι δὲ νωμάτω φιάλαισι] μετὰ τὸ κεραννῦναι τὸν κρατῆρά, φησι, καὶ ἀποβαπτιζέτω τὶς τὰς φιάλας, καὶ διανεμέτω τὸν οἶνον τοῖς κατακειμένοις ἀργυρέαις φιάλαις, ἃς ἔλαβεν ὁ Χρόμιος νικήσας ἔνθεν. ἐν γὰρ τοῖς κατὰ Σικυῶνα Πυθίοις ἀργυραῖ φιάλαι ἔπαθλα. βιατὰν δὲ ἀμπέλω παῖδα τὸν οἴνου φησὶ, ἤτοι τὸν βίᾳ θλιβόμενον, ἢ τὸν βιάζεσθαι εἰδότα καὶ εἰς μέθην ἄγειν.

123. Ἃς ποθ' ἵπποι κτησάμεναι] ἅς τινας φιάλας αἱ τῇ Χρομίᾳ ἵπποι προσεκόμισαν διὰ τῆς νίκης τῷ δεσπότῃ, ἅμα τοῖς μετὰ δικαιοσύνης ὑπάρξασιν αὐτῷ παρὰ τῦ Ἀπόλλωνος τεφάνοις ἐκ τῆς ἱερᾶς Σικυῶνος. ὑ παρὴν δὲ ὑπὸ τὴν νίκην, ἀλλ' ἐπεπόμφει τὰ ἄρμα. ἃς ἤνεγκάν, φησὶν, ἅμα τοῖς τεφάνοις οἱ ἵπποι. θεμιπλέκτας δὲ τὰς τεφάνους φησὶν, ἤτοι νομίμως καὶ καθηκόντως πεπλεγμένας, ἢ καθὸ πάρεδρός ἐστι τῦ Ἀπόλλωνος ἡ Θέμις χάριν τῦ χρησῳδεῖν· καὶ γὰρ ἦν προφῆτις· ἢ ὅτι δικαίως καὶ ἄνευ δωροδοκίας ἐξέφθη. ἐσορεῖται δὲ τὰ ἐν φωκίδι χρήματα ἀνύεσθαι. διὸ καὶ πρόσκειται ἐνταῦθα τὰ ἐν Σικυῶνι· οἰκείως δὲ ἱερὰν τὴν Σικυῶνα προσηγόρευσεν. ἡ γὰρ Μηκώνη ἐπ' αὐτῆς ἐστιν, ἐφ' ἧς οἱ θεοὶ διεδάσαντο τὰς τιμάς. Ἡσίοδος (Theog. 534. f.)·

Καὶ γὰρ ὅτ' ἐκρίνοντο θεοὶ θνητοί τ' ἄνθρωποι
Μηκώνῃ.

καὶ Καλλίμαχος (Fr. 195. T. I. p. 513.)·

Μηκώνην μακάρων ἕδρανον αὐτὶς ἰδεῖν.

Πέμψαν Θεμιπλέκτοις ἅμα
Λατοΐδα σεφάνοις
Ἐκ τᾶς ἱερᾶς Σικυῶνος. Ζεῦ πάτερ,
Εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι
Σὺν Χαρίτεσσιν, ὑπὲρ
Πολλῶν τε τιμαλφεῖν λόγοις
Νίκαν, ἀκοντίζων σκοπᾶ
Ἄγχιστα Μοισᾶν.

127. Ζεῦ πάτερ, εὔχομαι ταύταν ἀρετὰν] εὔχομαι δὴ ἔν, ὦ Ζεῦ πάτερ, ταύτην αὐτᾷ τὴν ἀρετὴν ὑμνῆσαι ἐπιχαριέντως ἐπὶ πολλῶν τε καὶ ἄλλων τὴν νίκην ἔνδοξον ποιῆσαι τοῖς λόγοις τοῖς ἐμοῖς, πέμπων με τὴν Μῶσαν ἐγγὺς τᾷ σκοπᾷ· οἱονεὶ ἐπαξίως αὐτὸν ὑμνῆσαι. Ἄλλως. τιμαλφεῖν λόγοις, ἀντὶ τᾷ, τιμᾶν αὐτὸν λόγοις, προσβάλλων ταῖς μουσικαῖς τὴν νίκην, καὶ συναρμόζων αὐτὴν, τοῖς ὕμνοις βάλλων τὴν νίκην. τινὲς δὲ ἀνέγνωσαν περισπωμένως, νικᾶν, ἵν' ᾖ, ὑπὲρ πολλῶν νικῶν τιμᾶν τοῖς λόγοις· ἀκοντίζων δὲ ἐγγὺς τᾷ σκοπᾷ τὴν μουσικὴν, ἤτοι θλικνέμενος ταῖς μουσικαῖς.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τῆ δεκάτη τῶν Νεμέων εἴδες.

Τῆς δεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστιν ια΄. Τὸ α΄ ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον δισύλλαβον. Τὸ β΄ ἰαμβέλεγος. Τὸ γ΄ ἰαμβέλεγος λείπων μιᾷ ἐν ἀρχῇ, ἢ περίοδος. Τὸ δ΄ προσοδιακὸν ἀπὸ Ἰωνικῆ καὶ χοριαμβικῆ. [Τὸ ε΄, τὸ αὐτὸ τῷ τρίτῳ. Τὸ ς΄ περίοδος τροχαϊκὴ, ἐπίτριτος ἢ χορίαμβος διὰ τὴν ἀπόδοσιν. Τὸ ζ΄ Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ η΄ ἰαμβέλεγος μετατιθεμένης τῆς τελευταίας ἐπὶ τὴν ἀρχήν. Τὸ θ΄ δακτυλικὸν πενθημιμερές. Τὸ ι΄ ὅμοιον τῷ· Ζεῦ πάτερ, γάμον μὲν ἐκ ἐδασάμην. Τὸ ια΄ τὸ αὐτό. Τὸ δὲ κολεῷ (v. 11.) ἀντὶ τῆ κολῷ κατὰ συνίζησιν.

Περὶ τῆς ἐπῳδῆς αὐτῆ. Ἡ δὲ ἐπῳδὸς κώλων ἐστὶ δυωκαίδεκα. Τὸ α΄ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ β΄ ὅμοιον τῷ ζ΄ τῆς στροφῆς. Τὸ γ΄ ὅμοιον τῷ α΄ τῆς ἐπῳδῆ. Τὸ δ΄ ὅμοιον τῷ β΄. τὸ δὲ χαλκέοις (v. 26.) ἀντὶ τῆ χαλκοῖς, κατὰ συνίζησιν. Τὸ ε΄ δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ ς΄ δακτυλικὸν πενθημιμερές. Τὸ ζ΄ ἐγκωμιολογικόν. Τὸ η΄ Εὐριπίδειον. Τὸ θ΄ ἀναπαιστικὸν Ἀριστοφάνειον ἥμισυ ἀκροτέλευτον. [Τὸ ι΄ παιωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ Παιῶνος τετάρτε, Κρητικῆ καὶ συλλαβῆς. Τὸ ια΄ ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ιβ΄ Εὐριπίδειον.]

Περὶ τῆς ἐπιγραφῆς αὐτῆ. Ἐν Ἄργει τελεῖται τῇ Ἥρᾳ ἀγὼν ἱερὸς, Ἑκατόμβαια, ὃν καὶ Ἥραια καλοῦσιν. ἐν γὰρ τῇ τοῦ ἀγῶνος πανηγύρει ἑκατὸν βοῦς θύουσι τῇ Ἥρᾳ. ὁ δὲ Δαναὸς Βήλου παῖς ὢν τοῦ Ἄργους ἐβασίλευσεν. ὁ δὲ Αἴγυπτος τῆς ὁμωνύμου χώρας. ὁ δὲ Ἀγήνωρ τῆς Φοινίκης.

ARGV-

ARGVMENTVM DECIMI CARMINIS.

Gratiae, Argos, Iunonis ſedem, canite, multis ornamentis ob fortia facta claram (1 — 5). Perſei res cum Meduſa clarae ſunt; Epaphus in Aegypto multas condidit vrbes; Hypermneſtra maritum non interfecit; Diomedem Minerua deum reddidit; Amphiaraum terra diffiſſa ad Thebas recepit (— 16). Mulieribus etiam pulcris inſigne eſt Argos. Alcmenam atque Danaen Iupiter adiit. Talaum atque Lynceum Argos prudenter et iuſte in gratiam reduxit; aluit Amphitryonem; in cuius affinitatem venit Iupiter. Vbi enim Teleboas debellauit, rex deorum ipſi ſpecie ſimilis intrauit aedes, genuitque Herculem, cuius vxor Hebe pulcherrima eſt, Iunoni adſidens (— 34). Facundia deeſt ad enumeranda omnia Argiuorum ornamenta. Difficulter vero etiam taedio occurritur. Tamen excita lyram, et certamina celebra (— 40). Aguntur Heraea, in quibus Thiaeus bis victor exſtitit. Sed in Pythiis quoque, Iſthmiis et Nemeis ludis victorias obtinuit, ter in Iſthmo, ter Nemeae (— 52). Iupiter! vota ſua reticet; omnis factorum euentus a te pendet; nec decus ex certamine prae ignauia reſpuit, cum animoſus ſit. Nota dico et Thiaeo et quisquis certamina ſumma (Olympica) adit. Piſa ſummum habet certamen ab Hercule inſtitutum (— 61). Bis in Panathenaeis ab Athenienſibus victor celebratus eſt, oleumque ſacrum (praemii loco datum) Argos reportatum eſt (— 68). Thiaee, adeſt auunculorum gloria ex

victoriis saepe parata, Gratiis et Dioscuris fauentibus. Equidem si Thrasycli et Antiae cognatus essem, non deiicerem oculos. Quot enim victoriis eorum Argos floruit! In Isthmo et Nemeae quater (vicerunt); Sicyone argenteas phialas, Pellenae laenas acceperunt; at aerea praemia numerari non possunt, quae Clitorium, Tegea, et Achiuorum vrbes et Lycaeum proposuerunt cursu et lucta contendentibus (— 90). Non mirum est, eos (Thiaei stirpem) bonos athletas esse, cum Castor et Pollux ad Pamphaen venerint. Nam Dioscuri cum Mercurio et Hercule certaminibus praesunt, proborum hominum inprimis studiosi. Atqui dii fidem seruant (— 102). Alternis vero (Dioscuri) vnum diem apud Iouem, alterum in sepulcro ad Therapnas transigunt, aequali sorte. Maluit enim ea Pollux vti, Castore interfecto, quam semper deus in coelo habitare. Castorem enim Idas, ob boues iratus, vulnerauit (— 113). Lynceus (Idae frater) a Taygeto vidit eum (Castorem) in quercus trunco sedentem. Fuit enim acutissimis oculis. Celeriter adorti eum sunt, et atrox patrarunt facinus, sed graue etiam malum a Ioue perpessi sunt Idas et Lynceus. Nam Pollux insecutus eos est. Illi ad paternum sepulcrum constiterunt. Inde columnam arreptam in pectus Pollucis coniecerunt, nec tamen eum vulnerarunt; Pollux vero Lyncei latus iaculo transfixit, et Iupiter Lynceum atque Idam fulmine combussit (— 134). Graue est hominibus, cum potentioribus contendere. Pollux statim ad fratrem semianimem rediit, lacrymansque fatus est: Iupiter! quis modus luctus erit? me quoque mori iube. Peest felicitas amicis orbato. Pauci mortalium alios

in

in labore iuuant (— 148). Cui Iupiter ita respondit: Tu filius meus es; Castorem vero Tyndareus postea mortalem genuit. Verum optionem tibi permitto. Si ipse mortem et senectutem effugere, atque in Olympo cum Minerua et Marte esse mauis, licet (— 159). Sin de fratre contendere, et omnia cum eo partiri, altera vitae pars sub terra, altera in coelo erit transigenda. Tum ille statim consilium cepit; soluit vero oculum, dein etiam vocem, Castoris (— 170).

ΕΙΔΟΣ ί.

ΘΕΙΑΙΩι ΠΑΙΔΙ ΟΥΛΙΟΥ

ΠΑΛΑΙΣΤΗΙ.

Σ. ά. Κ. ιά.

Δαναᾶ πόλιν, ἀγλαο-
θώκων τε πεντήκοντα κορᾶν, Χάριτες,
Ἄργος, Ἥρας δῶμα θεοπρεπὲς, ὑ-
μνεῖτε. Φλέγεται δ' ἀρεταῖς
Μυρίαις, ἔργων θρασέων ἕνεκεν.

Μακρὰ

1. Δαναᾶ πόλιν ἀγλαοθρόνων τε] ἔνιοί φασιν, εἰς πλείας νίκας τὸν ἐπίνικον τετάχθαι· λαβεῖν γὰρ αὐτὸν καὶ Ἴσθμια καὶ Πύθια καὶ Νέμεα. περὶ δὲ τῶν Ὀλυμπίων εὔχεται, ὅτε φησί (v. 33)· Ζεῦ πάτερ, τῶν γε μὰν ἔραται. ὁ δὲ Πίνδαρος, ὅτε βούλοιτο ἐπαινεῖν τὰς πατρίδας τῶν νενικηκότων, ἀθροίζειν εἴωθε τὰ πεπραγμένα ταῖς πόλεσι περιφανῆ, καθὼς ἐν τῇ ᾠδῇ, ἧς ἡ ἀρχὴ (Fragm. p. 44 f.), Ἰσμηνόν, ἣ χρυσηλάκατον Μελίαν. ὁ δὲ λόγος· ὑμνεῖτε, ὦ Χάριτες, τὴν τῆ Δαναᾶ πόλιν καὶ τὰς πεντήκοντα αὐτῆ θυγατέρας. ὁ δὲ νῆς ὅλος· τὴν τῆ Δαναᾶ πόλιν καὶ τῶν πεντήκοντα θυγατέρων αὐτῆ, φημὶ δὲ τὸ Ἄργος, ἥτις πόλις Ἀργείων εἰκητήριον θειοδέστατόν ἐστι τῆς Ἥρας, ὑμνήσατε, ὦ Χάριτες. εὖ δὲ παρὰ τὸ Ὁμηρικόν (Il. IV, 51 f.)·

Ἤτοι ἐμοὶ μὲν τρεῖς πολὺ φίλτατοί εἰσι πόληες,
Ἄργος τε Σπάρτη τε καὶ εὐρυαγυία Μυκήνη.

καὶ Καλλίμαχος (Fragm. 108. p. 480)·

Τοῖς μὲν ἀρισκύδης εὔνις ἀνῆκε Διὸς
Ἄργος ἔχειν, ζώιόν περ ἐὸν λάχος· ἀλλὰ γενέθλῃ
Ζηνὸς ὅπως σκοτίῃ τρηχὺς ἄεθλος ἔοι.

Τὸ δὲ φλέγεται ἀντὶ τοῦ, λάμπεται καὶ δοξάζεται· ἐκλάμπει χάριν τῶν ἀρετῶν ὧν ἔσχε.

6. Μακρὰ

Μακρὰ μὲν τὰ Περσέος ἀμ-
φὶ Μεδοίσας Γοργόνος.
Πολλὰ δ' Αἰγύπτῳ γε κατῴκισεν ἄγη
Ταῖς Ἐπάφοι παλάμαις.
Οὐ δ' Ὑπερμνήστρα παρεπλάγχθη, μονό-
ψαφον ἐν κολεῷ κατασχοῦσα ξίφος.

6. Μακρὰ μὲν τὰ Περσέως] ἀπὸ Περσέως ἄρχεται· Ἀργεῖος γὰρ ὅτος· μακρὰ δ' ἦν, φησὶ, τὰ διηγήματα τὰ περὶ Περσέως, ἃ ἔπραξε κατὰ τὴν Γοργόνα. μακρὰ δὲ αὐτὰ εἶπεν, ἤτοι, ὅτι πολλά ἐστι τὰ λεγόμενα, οἷον, ἀπὸ πολλοῦ χρόνου μήκιστος εἰς ἡμᾶς· ἢ μακρὰ, οἷον ὑψηλὰ καὶ ἔνδοξα· ἢ καὶ τρίτον, μακρά ἐστι τὰ διηγήματα, ἐὰν ἄρξωμαι εἰπεῖν τὰ περὶ Περσέως. μακρὰ τοίνυν ἂν εἴη λέγειν καὶ διηγεῖσθαι τὰ Περσέως καὶ Μεδούσης, τῆς Γοργόνος. καὶ ῥητορικῶς δὲ τοῦτο ποιεῖ· δοκῶν παραιτεῖσθαι τὸ λέγειν καθ' ἕκαστα τῶν Ἀργείων ἀνδραγαθήματα, λελῃθότως καταριθμεῖται αὐτά. Ἔστι δὲ ἡ ἱστορία αὕτη· Μέδουσα (μία δὲ τῶν Γοργόνων αὕτη), ἥρισέ ποτε διὰ κάλλους τῇ Ἀθηνᾷ, ἡ δὲ πρὸς τὴν πρόκλησιν ἀγανακτήσασα πείθει Περσέα εἰς τὸν Ὠκεανὸν διαβῆναι, παρασχοῦσα αὐτῷ καὶ τὴν Ἅιδος κυνέην· εἶη δ' ἂν ἡ ἀφανσία· καὶ ἀποτεμεῖν τῆς Γοργόνος τὴν κεφαλήν. ὁ δὲ τῷ αὐτοῦ τάχει θαῤῥῶν καὶ τῇ τῆς Ἀθηνᾶς συμπραξίᾳ ἐπὶ τὸν Ἄθλον τέλλεται, καὶ κατειληφὼς τὰς Γοργόνας, καὶ ἰδὼν διαδύσας ἀλλήλαις τὸν ὀφθαλμὸν (ἑνὶ γὰρ αἱ πᾶσαι ἐχρῶντο) ἁρμοζόμενον τὸ διδόμενον πρὸς τὸ ἐγχείρημα σκοπήσας ἀποτέμνει τῆς Μεδούσης τὴν κεφαλὴν καὶ δίδωσι τῇ Ἀθηνᾷ· ἡ δὲ δεξαμένη ἐνέθηκε τῷ ἑαυτῆς σήθει, ὅπως ἂν ἐν τῇ παραθέσει ἡ τοῦ κάλλους εἴη διάκρισις. ἐδυνήθη δὲ καὶ τῇ τῆς Γοργόνος κεφαλῇ τὴν Ἀνδρομέδαν τοῦ κήτους ἀπολύσασθαι. δείξας γὰρ τῷ κήτει τὴν Γοργόνα καὶ ἀπολιθώσας αὐτὸ, ἀπέλυσε τῆς βορᾶς τὴν παρθένον. οἱ γὰρ ὁρῶντες τὴν κεφαλὴν τῆς Γοργόνος ἀπελιθοῦντο.

8. Πολλὰ δ' Αἰγύπτῳ κατῴκισθεν (sic) ἄγη] πολλὰ δ' ἂν εἴη λέγειν, ὅπως ἐν τῇ Αἰγύπτῳ κατῳκίσθησαν πόλεις ὑπὸ τῶν τοῦ Ἐπάφου χειρῶν. Ἔπαφος δὲ Διὸς καὶ Ἰοῦς, Ἰὼ δὲ Ἰνάχου τοῦ ἐν Ἄργει ποταμοῦ καὶ νύμφης. ὅτος οὖν ὁ Ἔπαφος ἐβασίλευσεν Αἰγύπτου, Ἀργεῖος ὢν ἀπὸ μητρός.

10. Οὐδ' Ὑπερμνήστρα παρεπλάγχθη] τί δ' ἄν τις φήσειε περὶ τῆς Ὑπερμνήστρας, ἥτις ἐκ ἐσφάλη φείσαμένη τοῦ αὐτῆς ξίφους, καὶ μὴ ἀνελοῦσα τὸν Λυγκέα. παρεπλάγχθη δὲ, ἀντὶ τοῦ, τῇ δέοντος ἀπεπλανήθη λογισμοῦ.

Ἄλλως,

Α. ά. Κ. ια.

Διομήδεα δ' ἄμβροτον
Ξανθά ποτε Γλαυκῶπις ἔθηκε θεόν.
Γαῖα δ' ἐν Θήβαις ὑπέδεκτο, κεραυ-
νωθεῖσα Διὸς βέλεσιν,

Μάντιν

Ἄλλως. καὶ τοῦτο εἰς ἔπαινόν φησι. τῶν γὰρ ἄλλων Δαναϊδῶν κοινῇ γνώμῃ ἐπιθεμένων τοῖς Αἰγυπτιάδαις, μόνη ἡ Ὑπερμνήστρα, ἐπεὶ διεφύλαξεν αὐτὴν ἀγνὴν καὶ παρθένον ὁ Λυγκεύς, ὐκ ἐφαίνετο ἰσόψηφος ταῖς ἀδελφαῖς, ἀλλὰ μονόψηφος ἐγένετο, ψῆφον ἤνεγκε μόνη καθ' ἑαυτὴν ἀπολυτικήν τινα ταύτην ἐν κολεῷ κατασχεῦσα τὸ ξίφος, τυτέστι, μόνη παρὰ τὰς ἄλλας Δαναΐδας, ἰδίᾳ ψήφῳ χρησαμένη, ὐκ ἔσπασε κατὰ τοῦ Αυγκέως τὸ ξίφος.

12. Διομήδεα δ' ἄμβροτον] καὶ ὅτος Ἀργεῖος, ὅς δι' ἀρετὴν ἀπηθανατίσθη· καὶ ἐστι περὶ τὸν Ἀδρίαν Διομήδεια νῆσος ἱερά, ἐν ᾗ τιμᾶται, ὡς θεός. καὶ Ἴβυκος φησίν (p. 119. Vrsin.)· τὴν Ἑρμιόνην γήμας ὁ Διομήδης ἀπηθανατίσθη σὺν τοῖς Διοσκούροις· καὶ γὰρ συνδιαιτᾶται αὐτοῖς. καὶ Πολέμων ἱστορεῖ· ἐν μὲν γὰρ Ἀργυρίππαις ἄγιόν ἐστιν αὐτοῦ ἱερόν· καὶ ἐν Μεταποντίῳ δὲ διὰ πολλῆς αὐτὸν ἄγεσθαι τιμῆς, ὡς θεόν, καὶ ἐν Θουρίοις εἰκόνας αὐτοῦ καθιδρύσθαι, ὡς θεοῦ. Ἄλλως. μὴ διὰ καὶ τὸν Διομήδην ἡ Ἀθηνᾶ θεὸν ἐποίησε; κατὰ γὰρ τὸν Θηβαϊκὸν πόλεμον Μελανίππου (ἦν δὲ ὅτος ἥρως Θηβαῖος) ἔτρωσε τὸν Τυδέα. ὁ δὲ πρὸς τὴν πληγὴν θυμήνας καθικέτευσε τὸν Ἀμφιάραον, ἀνελεῖν τὸν Μελάνιππον, καὶ προσαγαγεῖν αὐτοῦ τὴν κεφαλήν. προσαχθείσης δὲ αὐτῷ τῆς κεφαλῆς, καὶ τῆς ὀργῆς νικησάσης τὸν δέοντα λογισμόν, ἀπεγεύσατο τῶν Μελανιππείων κρεῶν, ὡς καὶ Εὐριπίδης ἐν τῷ Μελεάγρῳ φησίν (n. 18. Musgr. Fr.)·

Εἰς ἀνδροβρῶτας ἡδονὰς ἀφίξετο
Κἄρηνα Περσεὺς γένυσι Μελανίππου σπάσας.

τετρωμένῳ ὖν τῷ Τυδεῖ ἡ Ἀθηνᾶ τὴν ἀθανασίαν παρήγαγε, καὶ ὐκ ἀπήλαυσε τῆς δωρεᾶς ἔτι διὰ τὴν τῶν ἀνθρωπείων κρεῶν βρῶσιν· εἶτα, ὡς αὐτὸς ὐκ ἠδυνήθη τῆς ἀθανασίας τυχεῖν, ἠξίωσε τὴν θεὸν ἐπὶ τὸν Διομήδην τὸ δῶρον μεταθεῖναι. τιμᾶται γοῦν καὶ παρὰ Θουρίοις καὶ Μεταποντίοις, ὡς θεὸς, Διομήδης, καὶ ὐκ ἔστι παρὰ τοῖς ἱστορικοῖς εὑρεθῆναι αὐτοῦ τὸν θάνατον.

14. Γαῖα δ' ἐν Θήβαις ὑπέδεκτο] καὶ ὁ Ἀμφιάραος Ἀργεῖος. Θηβαῖοι δὲ ὐκ ἔχουσιν ὡς θεὸν τὸν Οἰκλέος παῖδα Ἀμφιάραον· σχισθείσης ὑπὸ κεραυνοῦ τῆς γῆς καὶ δεξαμένης αὐτόν. ὁ γὰρ Ζεὺς εἰς τιμὴν αὐτοῦ σχίσας τὴν γῆν τῷ κεραυνῷ, καταχθῆναι ἐποίησεν αὐτὸν σὺν τῷ ἅρματι, καὶ ἐποίησεν

Μάντιν Οἰκλείδαν, πολέμοιο νέφος.
Καὶ γυναιξὶν καλλικόμοι-
σιν ἀριστεύει. πάλαι
Ζεὺς ἐπ' Ἀλκμάναν Δαναάν τε μολὼν τᾷ-
τὸν κατέφανε λόγον.
Πατρί τ' Ἀδρήστοιο Λυγκεῖ τε Φρενῶν
Καρπὸν εὐθεία συνάρμοξεν δίκᾳ.

Ε. α'. Κ. ιβ'.
Θρέψε δ' αἰχμὰν Ἀμφιτρύω-
νος. ὁ δ' ὄλβῳ φέρτατος

Ἵκετ'

σεν αὐτὸν ἀθάνατον. ἀφ' ᾧ δὴ μέχρι νῦν τὸ τᾷ Ἀμφιαράᾳ μαντεῖον ἐνδοξότατον τῶν ἐπὶ τῆς Ἑλλάδος. ἀμφίβολον δὲ, πότερον τὸν Ἀμφιάραον ἐδέξατο ἡ γῆ, πολέμᾳ ὄντα νέφος, ἢ ὅτε τὸ τᾷ πολέμᾳ νέφος τοῖς Ἀργείοις ἐπῆλθε τὸ ἀπὸ Θηβῶν, τότε ὁ Ζεὺς κηδόμενος τᾷ Ἀμφιαράᾳ ἐκέλευσεν αὐτὸν ὑπὸ τῆς γῆς δεχθῆναι καὶ εἶναι ἀθάνατον.

17. Καὶ γυναιξὶ καλλικόμοισι] προεξαριθμησάμενος τὰς τῶν Ἀργείων ἀρετὰς φησὶ, μὴ μόνον ἥρωσι διαπρέπειν αὐτὰς, ἀλλὰ καὶ ἡρωίσι γυναιξὶ διαπρέπειν πάλαι ἀρχῆθεν. τίς ἀπόδειξις, ὅτι καὶ γυναιξί; Ζεὺς ἐπ' Ἀλκμήναν Δαναάν τε μολών. τοῦτον κατέφηνε τὸν λόγον, ὅτι καὶ γυναιξὶν ἀριστεύει· τὸ Ἄργος, οὐχ ἕτερος μάρτυς, ἀλλ' ὁ Ζεύς, ὃς καὶ πρὸς Ἀλκμήνην ἀφίκετο καὶ Δανάην, Ἀργείας οὔσας.

21. Πατρί τ' Ἀδρήστοιο Λυγκεῖ τε] οὐχὶ δὲ καὶ τῷ τᾷ Ἀδράστᾳ πατρὶ Ταλαῷ καὶ τῷ Λυγκεῖ ἄριστον λογισμὸν παρέσχε καὶ μετὰ δικαιοσύνης συνήρμοσε; καρπὸς δὲ φρενῶν ὁ λογισμός. τίς δὲ συνήρμοσεν; ὁ Ζεύς. ὁ δὲ νῦς· καὶ ἐπὶ Ταλαῷ γὰν καὶ Λυγκεῖ τὸν τῶν φρενῶν καρπὸν εὐθὺν ἐποίησεν, ὅ ἐστι, δίκαιον αὐτῶν τὸν νοῦν ἐποίησεν ὁ Ζεύς. ἀπὸ Λυγκέως δὲ οἱ περὶ Περσέα.

24. Ὁ δ' ὄλβῳ φέρτατος] κοινωσάμενος τῷ Ἀμφιτρύωνι τὴν γενεὰν ὁ Ζεὺς ἵκετ' ἐς ἐκείνα γενεάν. πῶς δὲ παρεγένετο συγγενέσθαι; ὁ μὲν γὰρ Ζεὺς τᾷ πρωτέρᾳ ἡμέρᾳ ἐγέννησε τὸν Ἡρακλέα, ὁ δὲ Ἀμφιτρύων τᾷ ἑξῆς τὸν Ἰφικλέα, καὶ ἐμίχθη τὰ γένη ἀμφοτέρων. καὶ ἔτως εἰς τὸν οἶκον ἐλθὼν τῆς Ἀλκμήνης ἐπλησίασεν αὐτᾷ καὶ τὸν Ἡρακλέα ἔσπειρεν. ἄθλον γὰρ ἡ Ἀλκμήνη τὸν ἑαυτῆς γάμον προὔθηκε τῷ τὰς Τηλεβόας καταπολεμήσαντι. ἔπραττε τοῦτο ὁ Ἀμφιτρύων, καὶ ἐκείνῃ πρὸς πόλεμον ἀσχολουμένῃ

Ἵκετ' ἐς κείνᾳ γενεάν.
Ἐπεὶ ἐν χαλκοῖς ὅπλοις
Τηλεβόας ἔναρέν γ', οἱ
Ὄψιν ἐειδόμενος
Ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν,
Σπέρμ' ἀδείμαντον Φέρων
Ἡρακλέος· ὃ κατ' Ὄλυμπον
Ἄλοχος Ἥβα Τελεία
Παρά ματέρι βαίνοι-
σ' ἔτι, καλλίστα θεῶν. —

Σ. β'. Κ. ια'.

Βραχύ μοι τόμα πάντ' ἀνά-
γήσασθ', ὅσων Ἀργεῖον ἔχει τέμενος
Μοῖραν ἐσλῶν. ἔτι δὲ καὶ κόρος ἀν-
θρώπων βαρὺς ἀντιάσαι.

Ἀλλ'

ὁ Ζεὺς ἀφομοιωθεὶς συνῆλθεν αὐτῇ. Ἀδείμαντον δὲ ἔφη τὸ σπέρμα, ὃ ἔμελλεν εἰς τὴν τοῦ Ἡρακλέους γένεσιν καταβαλεῖν ὁ Ζεύς, ὃ ἐστιν ἄφοβον. ὁ γὰρ ἐξ αὐτοῦ γεννηθεὶς ἦν ἄφοβος Ἡρακλῆς.

31. Οὗ κατ' Ὄλυμπον ἄλοχος] οὗ τινος Ἡρακλέος ἡ γαμετὴ κατὰ τὸν Ὄλυμπον Ἥβη παρὰ τῇ τελείᾳ ἑαυτῆς μητρὶ προϊοῦσα πορεύεται τῶν θεῶν ἐκτρεπεστάτη. λέγει δὲ μητέρα τελείαν τὴν Ἥραν. καὶ Αἰσχύλος·

Ἥρα τελεία, Ζηνὸς εὐναίαν
ὁάμαρ.

ἔστι γὰρ αὐτὴ γαμηλία καὶ ζυγία. ἔστι δὲ ὁ γάμος τέλειος διὰ τὸ τελειότητα βίου κατασκευάζειν.

35. Βραχύ μοι τόμα πάντ' ἀναγήσασθαι] ἥττητά μοί, φησι, τῶν Ἀργείων ἀνδραγαθημάτων ὁ λόγος, καὶ ἀδυνάτως ἔχει πάντα διηγήσασθαι τὰ τοῦ Ἄργους καλά. διατὶ δὲ εἰς ταῦτα παρεκβέβηκεν; ὅτι ὁ ἀγών, ὃν ἐνίκα ὁ Θειαῖος, τὰ Ἑκατόμβοια, ἃ ἦν ἐπίσημος, ἐδ' ἑκτροπὰς ἔχων. ἵν' ὃν ἔχῃ μῆκος περιποιήσαι τῇ ᾠδῇ, ἐπὶ τὴν κοινότητα τῶν ἐπαίνων τῆς πατρίδος αὐτοῦ κατήντησεν.

37. Ἔστι δὲ καὶ κόρος ἀνθρώπων βαρὺς ἀντιάσαι] ἔστι μὲν γὰρ ὁ τῶν ἀνθρώπων φθόνος βαρὺς πρὸς ἐναντίωσιν. οὐκ ἡδέως γὰρ ἀκούουσιν ἀλλοτρίων θαυμάτων οἱ ἄνθρωποι, ἀλλ' εὐθὺς κόρον ἔχουσι τῶν ἐπαί-

νων

Ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν,
Καὶ παλαισμάτων λάβε Φροντίδ'. — ἀγών τοι χάλκεος
Δᾶμον ὀτρύνει ποτὶ βαθυσίαν Ἥρας ἀέθλων τε κρίσιν·
Οὐλία παῖς ἔνθα νικάσαις δὶς ἔσχεν Θειαῖος εὐφόρων λάθαν πόνων.

Α. β'. Κ. ιά'.

Ἐκράτησε δὲ καὶ ποθ' Ἕλλανα τρατὸν Πυθῶνι, τύχα τε μολὼν
Καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον Μοίσαισιν ἔδωκ' ἀρόσαι.

Τρὶς

νων διὰ βασκανίαν. Ἄλλως. ὁ κόρος βαρύς ἐστιν ὁ ἀπὸ τῶν ἀνθρώπων ἀντιάσαι καὶ συναντῆσαι, τυτέστιν, ἀντίος γενηθεὶς ὁ κόρος τῶν ἀνθρώπων βαρύς ἐστι καὶ δυσβάστακτος· διὸ, τὸν ὕμνον τῶν Ἀργείων καταλείψας, τὸν κόρον φεύξομαι, ὅ ἐστι τὸν φθόνον.

39. Ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν] πρὸς ἑαυτόν φησι ταῦτα ὁ Πίνδαρος· ὅμως μέντοι τὴν εὐάρμοστον λύραν λάμβανε, καὶ τὴν φροντίδα τῶν παλαισμάτων δέξαι, τυτέστιν, ἐπαίνει τὸν παλαιστήν. Χάλκεον δέ φησι τὸν ἀγῶνα, τυτέστιν ἰσχυρὸν, ἢ ὅτι χαλκᾶν ὅπλον τὸ ἔπαθλον. ὁ τοίνυν ἀγὼν ὁ τερπρότατος τὸν δῆμον παρορμᾷ εἰς τὴν τῆς θεᾶς θυσίαν, εἴς τε τὴν τῶν ἄθλων κρίσιν τὸν δῆμον ὁ τῆ Οὐλίᾳ παῖς Θειαῖος παρορμᾷ. τὸ παρορμᾷ δὲ ἀπὸ κοινῆ. δὶς δὲ αὐτόν φησι νενικηκέναι τὰ Ἑκατόμβαια, καὶ ἐσχηκέναι εὐφόρων λήθην πόνων. ἐπιλανθάνονται γὰρ οἱ ἄνθρωποι τῶν κατὰ τὴν ἄθλησιν πόνων, ὅταν νικήσωσι. γράφεται δὲ καὶ εὐφρόνων. εὐφόρων μὲν, ἐπεὶ εὔφοροί εἰσιν οἱ τοιοῦτοι πόνοι τῷ ἄριστα ἆθλα ἐνηνοχέναι· εὐφρόνιον δὲ, τῶν εὐφραντικῶν.

46. Ἐκράτησε δὲ καὶ ποθ' Ἕλλανα τρατὸν Πυθῶνι τύχᾳ] τὸ πλῆθος τρατὸν εἶπεν, ὡς καὶ Πύθια νενικηκότος αὐτῷ καὶ Ἰσθμια καὶ Νέμεα· ἢ ὕτω· παραγέγονε δὲ καὶ ἐκράτησε πάντων τῶν ἀνταγωνιζῶν ἐν τοῖς Πυθίοις. ὁ δὲ νῦς· σὺν εὐτυχίᾳ δὲ παραγενόμενος ἐκράτησε πάλιν καὶ τὰς ἐν Ἰσθμῷ καὶ Νεμέᾳ στεφάνας.

49. Μοίσαισί τ' (lic) ἔδωκ' ἀρόσαι] τυτέστι, ταῖς Μούσαις ἔδωκεν ἀρόσαι καὶ σπεῖραι τὰς στεφάνας διὰ τὸν ὕμνον· ἢ ὡς ἑτέρων ποιησάντων

Τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχὼν,
Τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις
Ἐν Ἀδραστείῳ νομῷ.
Ζεῦ πάτερ, τῶν μὰν ἔρατα Φρενὶ, σιγᾷ
Οἱ σόμα. πᾶν δὲ τέλος
Ἐν τὶν ἔργων. ἀδ' ἀμόχθῳ καρδίᾳ,
Προσφέρων τόλμαν, παραιτεῖται χάριν.

Ε. β'.

ἄντων καὶ ὑμνησάντων αὐτὸν ἐπὶ ταῖς νίκαις ἐκείναις, τοῦτό φησιν. ὁ δὲ νοῦς· καὶ παρέσχε πρόφασιν ταῖς Μούσαις. τρίτον μὲν γὰρ κληρωθεὶς ἐνίκησε τὰ Ἴσθμια. Πόντιε γὰρ πύλας εἶπε τὸν Ἰσθμόν, διὰ τὸ σενόν. τρὶς δὲ τὰ Νέμεα, κατὰ τὴν Ἀδράστου διοίκησιν καὶ νομοθέτησιν τελούμενα. οἱ γὰρ ἑπτὰ ἐπὶ Θήβαις ἀνενεώσαντο τὰ Νέμεα, ὧν εἷς Ἄδραστος. ἐπεὶ ἦν καὶ αὐτὸς τῶν ἐν Ἄργει ἐπιφανῶν, διὰ τοῦτο, Ἀδραστείῳ νόμῳ, φησὶ, χαριζόμενος καὶ διὰ τοῦτο πλέον τι τοῖς Ἀργείοις. Σεμνοῖς δὲ δαπέδοις, τοῖς Νεμείοις φησὶν ὁ Δίδυμος. πλησίον γάρ ἐστι Σικυῶνος. Ὅμηρος (Il. II, 572)· Ἔνθ' Ἄδρηστος πρῶτ' ἐμβασίλευσεν. ἐτίθετο δὲ πάλαι ἐν τῇ Σικυῶνι τὰ Νέμεα. ὃ γὰρ ἂν σημαίνοι τὰ Πύθια τὰ ἐν Σικυῶνι ἀγόμενα. ὃ γάρ ἐστιν ἐκεῖνος περιοδικὸς ὁ στέφανος, ἀλλ' ὁ τῶν Νεμέων. βέλεται δὲ νῦν τὸς περιοδικὸς εἰπεῖν. τὸ λοιπὸν γὰρ ἐπιφέρει τὸν Ὀλυμπιόνικον, εὐχόμενος τελειωθῆναι ὑπ' αὐτοῦ τὴν περίοδον.

53. Ζεῦ πάτερ, τῶν μὲν (sic) ἔρατα] διὰ τούτων φανερὸν, ὅτι περὶ τῶν Ὀλυμπίων λέγει, φάμενος αὐτὸν ἐπιθυμεῖν καὶ τοῦτον τὸν στέφανον λαβεῖν, ἵν' ἐκπληρώσῃ τὴν περίοδον, σιγᾷν δὲ καὶ ἐπιτρέπειν τῷ θεῷ. διὰ δὲ τοῦ, παραιτεῖται χάριν, ὑπακουστέον, ὅτι παρὰ σοῦ αἰτεῖται τὴν χάριν, ἀλλὰ καὶ τόλμῶν καὶ μοχθῶν τι πράττειν τῶν πρὸς τὸ ἔργον συντεινόντων. ὁ δὲ νοῦς· ὧν γε μὴν ἐπιθυμεῖ τυχεῖν, ἐν τῇ διανοίᾳ κρύπτει, σιωπῶ διὰ τὸ νεμεσητόν. βούλεται δὲ λέγειν τὰ Ὀλύμπια. διὸ καὶ τῷ Διὶ εὔχεται. ἐὰν ὦν, φησὶ, σὺ θέλῃς, καὶ τὰ Ὀλύμπια ἕξει. παντὸς γὰρ πράγματος τέλος ἐν σοί ἐστιν, ὦ Ζεῦ.

55. Οὐδ' ἀμόχθῳ καρδίᾳ] ὃ χωρὶς μόχθων αἰτεῖται τὰ Ὀλύμπια, ἵνα ἀμόχθως αὐτὰ λάβῃ· ἀλλὰ μοχθήσας καὶ πονήσας καὶ παλαίσας παραιτεῖται τὴν χάριν. ὃ συνήθως δὲ τὸ παραιτεῖται ἀντὶ τοῦ αἰτεῖται, ὅ ἐστιν ἐπικέκληται. ἐπιφέρει γάρ· παρὰ σοῦ αἰτεῖται τὴν χάριν ταύτην καὶ τὴν δωρεὰν, ὦ Ζεῦ, τὰ Ὀλύμπια νικῆσαι.

57. Γνώτ-

E. β'. K. ιβ'.

Γνώτ' ἀείδω Θειαίῳ χ' ὥσ-
τις ἀμιλλᾶται περὶ
Ἐσχάτων ἀέθλων κορυφαῖς.
Ὕπατον δ' ἔσχεν Πίσα
Ἡρακλέος τεθμόν. ἀδεῖ-
αί γε μὲν ἀμβολάδαν
Ἐν τελεταῖς δὶς Ἀθαναίων μιν ὀμφαὶ
Κώμα-

57. Γνώτ' ἀείδω θεῷ τε (ἴις)] εὖ γνώσῃ δὲ λέγω αὐτῷ τῷ θεῷ καὶ τῷ Θειαίῳ, ὅς τις Θειαῖος ἀμιλλᾶται καὶ σπεύδζει περὶ τῆς κορυφῆς τῶν ἐσχάτων ἄθλων. ἐσχάτων δὲ τῶν τὸ τέλειον ἐχόντων τῆς δόξης. ἢ ὕτω· φανερὰ δὲ λέγω τῷ τε Διΐ, καὶ τῷ βουλομένῳ παντὶ ἀμιλλᾶσθαι καὶ σπεύδζειν περὶ τῆς κορυφῆς τῶν τελευταίων ἄθλων. ἄθλων δὲ κορυφὴ καὶ τέλος τὰ Ὀλύμπια. εἰκότως δέ, φησιν, ἐπιθυμεῖ τῶν Ὀλυμπίων. τὸν γὰρ ἐνδοξότατον καὶ ὑπερέχοντα θεσμὸν ἔσχεν ἀπὸ τῦ Ἡρακλέος, τὰ Ὀλύμπια. ἢ ὕτως· ἐπεὶ προεῖπεν αἰνιγματωδῶς, ὅτι δ' δύναμαι εἰπεῖν, τίνων ἐρᾷ (ἦν δὲ τῶν Ὀλυμπίων) ἐπεῖτε· ταῦτα γνωσὰ λέγω καὶ σοὶ, ὦ Ζεῦ, καὶ σοὶ τῷ ἐπιθυμοῦντι ἀμιλλήσεσθαι περὶ τύτων τῶν ἄθλων, οἵ εἰσι κορυφαὶ ἐσχάτων τῶν ἄθλων. καὶ γὰρ τὸ πρῶτον ἔσχατόν ποτε δύναται γενέσθαι, καὶ τὸ ἔσχατον πρῶτον. κέχρηται καὶ Σοφοκλῆς τῷ ἐσχάτῳ, ἀντὶ τῦ πρώτυ. Ἤδη γὰρ ἔδρα Ζεύς, φησιν, ἐν ἐσχάτῳ θεῶν, ἀντὶ τῦ ἐν πρώτῳ (Fragm. inc. n. 82. ed. Brunk.)

61. Ἀδεῖαι γε μὲν ἀμβολάδαν] ὡς δὶς αὐτῦ νενικηκότος τὰ Παναθήναια, ταῦτά φησιν. ὀμφαὶ ἦν ἠδεῖαι τῶν Ἀθηναίων ἐκώμασαν αὐτὸν ἀμβολάδαν, τυτέστιν, ἀνατεταμένως τῇ φωνῇ, καὶ λαμπρῶς· ἢ, ἀμβολάδην ἀνακρουόμενοι, καθὸ προαναβολὰς λέγυσι τὰ πρὸ τῦ προοιμίυ. δὶς ὧν ὑμνήθη καὶ ἐκωμάσθη, φησὶν, ᾀδόντων καὶ ὑμνούντων αὐτῦ τὴν νίκην τῶν Ἀθηναίων ἐν ταῖς τελεταῖς. ἔστι δὲ καὶ ὕτω προενέγκασθαι, τὸ ἀδεῖα ἐν τελετᾷ, ἐν ἠδείᾳ τελετῇ ἐκώμασαν αὐτὸν αἱ τῶν Ἀθηναίων ὀμφαὶ δίς. τινὲς δὲ τὸ ἀμβολάδην ὕτως ἀκούσιν· ὅς τις δὶς μὲν ἐνίκησε τὰ Παναθήναια, οὐκ ἐφεξῆς δὲ, ἀλλὰ ἀναβολάδην, τυτέστιν, ἀναβολῆς τινὸς γενομένης μεταξύ.

64. Γαῖα

Κώμασαν. γαία δὲ καυ-
θεῖσα πυρὶ καρπὸς ἐλαίας
Ἔμολεν Ἥρας τὸν εὐά-
νορα λαὸν, ἐν ἀγγέων
Ἔρκεσιν παμποικίλοις. —

Σ. γ'. Κ. ιά.

Ἕπεται δὲ, Θειαῖε, μα-
τρώων πολύγνωτον γένος ὑμετέρων
Εὐαγὼν τιμὰ Χαρίτεσσί τε καὶ
Σὺν Τυνδαρίδαις θαμάκις.

Ἀξιω-

64. Γαῖα δὲ καυθεῖσα πυρὶ (sic), καρπὸς ἐλαίας ἔμολε] γαῖαν δὲ κεκαυμένην εἶπε τὴν ὑδρίαν, ἐν ᾗ τὸ ἔλαιον. ὀπτᾶται γὰρ ὁ κέραμος. διὰ δὲ τούτου σημαίνει τὰς τὰ Παναθήναια νενικηκότας. τίθενται γὰρ ἐν Ἀθήναις ἐν ἐπάθλῳ τάξει ὑδρίαι πλήρεις ἐλαίης. διὸ καὶ Καλλίμαχος (Fragm. 122. p. 490.)

Καὶ παρ' Ἀθηναίοις γὰρ ἐπὶ στέγος ἱερὸν ἦνται
Κάλπιδες· ὁ κόσμος σύμβολον, ἀλλὰ πάλης.

ᾗ ἦν διὰ πυρὸς καυθεῖσα ὁ καρπὸς τῆς ἐλαίας ἔμολε, τὸ ἔλαιον. Ἥρας δὲ εὐάνορα λαὸν τὸ Ἄργος. ὁ γὰρ Θειαῖος Ἀργεῖος. ἔκ ἔστι δὲ ἐξαγωγὴ ἐλαίης ἐξ Ἀθηνῶν, εἰ μὴ τοῖς νικῶσι. φησὶν οὖν τὴν ὑδρίαν πλήρη ἐλαίης κεκομικέναι ἐξ Ἀθηνῶν εἰς Ἄργος τὸν Θειαῖον νικήσαντα. τοῖς γὰρ ἀθληταῖς τοῖς τὰ Παναθήναια νενικηκόσι δίδοται ὑδρία ἐλαίης πλήρης.

67. Ἐν ἀγγέων ἔρκεσι παμποικίλοις] ἐν πεποικιλμένοις ἀγγείοις. ἐζωγράφητο γὰρ αὐ ὑδρίαι. Ἄλλως. ἐν ἀμφιφορεῦσι χαλκοῖς. ἔλαιον ἐτιμῶντο οἱ ἀγωνιζόμενοι Ἀθήνησι τὰ Παναθήναια, ἐπεὶ τὴν ἐλαίαν εὗρεν ἡ θεός. τὰ δὲ χαλκᾶ ταῦτα ἄγγη ἐκ γῆς καιομένης γίνεται· ἡ ἓν γῇ καιομένη δίδωσι τὸν χαλκὸν, ἐκ δὲ τοῦ χαλκοῦ γίνεται τὰ ἀγγεῖα, ἐν οἷς βάλλεται τὸ ἔλαιον. ταύτην οὖν φησὶ τὴν διανοίαν. τούτοις γὰρ ἐτιμῶντο.

69. Ἕπεται δὲ, Θειαῖε] ἐπακολουθεῖ δὲ, φησὶ, κατὰ τὸ πολύγνωτον ὑμῶν γένος τὸ ἀπὸ τῆς μητρὸς (μητρωες γὰρ οἱ τῆς μητρὸς πρόγονοι) εὐάγων τιμὴ, τουτέστιν, ἡ ἐπὶ τοῖς ἀγῶσι τοῖς εὖ ἀγωνισθεῖσιν, ἢ εὖ καὶ καλῶς τιμὴ,

εὖν

Ἀξιωθείην κεν, ἐὼν Θρασύκλε
Ἀντία τε ξύγγονος, Ἄρ-
γει μὴ κρύπτειν φάος
Ὀμμάτων. νικαφορίαις γὰρ ὅσαις ἱπ-
ποτρόφον ἄστυ τὸ Προί-
τοιο θάλησεν· Κορίνθῳ τ' ἐν μυχοῖς,
Καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετράκις·

Α. γ'. Κ. ιά.

Σικυωνόθε δ' ἀργυρω-
θέντες σὺν οἰνηραῖς φιάλαις ἐπέβαν·
Ἐκ δὲ Πελλάνας, ἐπιεσσάμενοι
Νῶτον

σὺν χάρισι καὶ Τυνδαρίδαις. τὴν δὲ αἰτίαν διὰ τῶν ἑξῆς ἀποδίδωσιν.

73. Ἀξιωθείην κεν] ἐγώ, φησι, καταξιωθείην τῶν περὶ Θράσυκλον καὶ Ἄντιον (lic) συγγενὴς ὤν, ἐν τῷ Ἄργει διάγειν καὶ ζῆν, ἔνθα ἂν ἄν ἀπαῤῥησίαστος διετέλεσα, οὐδὲ κάτω βλέπων καὶ κρύπτων ἐμαυτὸ τὸ ἐλεύθερον. οἱ γὰρ νικῶντες μετὰ παῤῥησίας ἄνω βλέποντες βαδίζουσιν, οἱ δὲ ἡττημένοι ἔχ ὕπως. Ἄλλως. τοῦτο εἶπεν, ὡς ἐκ τῆ Θειαίᾳ προσώπῳ, ὡς αὐτῆ περὶ ἑαυτῆ διαλεγομένῃ· τῆ γὰρ Θρασύκλε καὶ τῆ Ἀντίᾳ συγγενὴς ὤν, ἐν τῷ Ἄργει ὁ κρύψω τὸ φῶς τῶν ὀμμάτων, τυτέστιν, οὐκ ἀπαῤῥησιάστως ὄψομαι, ὡς ὁ νενικηκώς, ἀλλὰ μετὰ παῤῥησίας· νενίκηκα γάρ· ἄξιον δὲ ἂν εἴην μὴ κρύπτειν τὸ τῶν ὀμμάτων φάος, μηδὲ κατηφὴς εἶναι.

76. Νικαφορίαις γὰρ ὅσαις ἱπποτρόφον] πόσαις γὰρ ἱπποτροφίαις, φησὶν, αὕτη ἡ πόλις, ἐκ ἔθαλεν ἡ τῆ Προίτε, τοῦτο μὲν ἐν τῷ Κορινθίῳ Ἰσθμῷ, τοῦτο δὲ ἐν τῇ Νεμέᾳ, τετράκις νικήσασα. ἀπὸ Σικυῶνος δὲ καὶ τῶν ἐκεῖσε Πυθίων ἀργυραῖς φιάλαις τιμηθέντες ἀνεχώρησαν ἐπὶ τὸ Ἄργος οἱ πρόγονοι τῆ Θειαίᾳ.

82. Ἐκ δὲ Πελλάνας] ἀντὶ τῆ, καὶ ἐν Πελλήνῃ ἐνίκησε. Τίθεται δὲ παχέα ἱμάτια ἐν Πελλήνῃ ἄγναφα. δυσχείμεροι δὲ οἱ τόποι. περιφρασικῶς δὲ τὴν χλανίδα μαλακὴν κρόκην εἶπε. καὶ ἑτέρωθι (Ol. IX, 146.) ψυχρὰν ὁπότε εὐδιανὸν φάρμακον αὔραν Πελλάνα παρέχει. ὁ δὲ ἀγὼν Διὸς καλεῖται δὲ Δῖα ἡ ὕπως· ἐκ τῆς Πελλήνης δὲ τὰ θεοξένια νικῶντες, χλανίσιν ἐπιτηδειοτάταις κοσμηθέντες, ἀπὸ κοινῆ τὸ,

Νῶτον μαλακαῖσι κρόκαις.
Ἀλλὰ χαλκὸν μυρίον ἀ δυνατὸν
Ἐξελέγχειν· — μακροτέρας
Γὰρ ἀριθμῆσαι σχολᾶς· —
Ὅν τε Κλείτωρ καὶ Τεγέα καὶ Ἀχαιῶν
Ὑψίβατοι πόλιες
Καὶ Λύκαιον παρὰ Διὸς θῆκεν, δρόμῳ
Σὺν ποδῶν χερῶν τε νικᾶσαι σθένει. —

Ε. γ'. Κ. ιβ'.

Κάστορος δ' ἐλθόντος ἐπὶ
Ξενίαν παρὰ Παμφάη,
Καὶ κασιγνήτᾳ Πολυδεύ-
κεος, ἀ θαῦμα, σφίσιν
Ἐγγενὲς ἔμμεν ἀεθλη-
ταῖς ἀγαθοῖσιν· ἐπεὶ
Εὐρυχόρᾳ ταμίαι Σπάρτας ἀγώνων
Μοῖραν,

ἀνεχώρησαν. λέγεται δὲ, ὅτι καὶ ἐξωμίδας ἐτιμῶντο.

84. Ἀλλὰ χαλκόν] τὸ δὲ τῆ χαλκῆ πλήθος ἀ δυνατὸν εἰπεῖν ἁπλῶς. μακροτέρας γάρ, οἶμαι, δεῖται σχολῆς. λέβητα γὰρ ἐτιμῶντο ἐν πολλοῖς τῶν ἀγώνων καὶ ἀσπίδας χαλκᾶς.

87. Ὅν τε Κλείτωρ] ὄντινα χαλκὸν αἱ περὶ Κλείτορα καὶ Τεγέαν πόλεις Ἀργολικαὶ ἄθλον ἔθηκαν, ὃν καὶ τὸ Λύκαιον ἔθηκε χαλκὸν παρὰ τῷ τοῦ Διὸς βωμῷ, τοῖς δυναμένοις νικῆσαι σὺν ποδῶν δρόμῳ, καὶ χειρῶν σθένει, πάλῃ, καὶ παγκρατίῳ, καὶ πυγμῇ.

91. Κάστορος δ' ἐλθόντος] τὸ δὲ Κάστορος ξενωθέντος παρὰ τῷ Παμφάῃ (sic), τῷ προγόνῳ σε, ὦ Θειαῖε, σὺν τῷ ἀδελφῷ Πολυδεύκει, θαυμασὸν θὲν, ἀγαθὺς καὶ θαυμασίως γεγενῆσθαι τὺς προγόνυς σε ἀγωνιστάς· ἐπόπτυι γάρ εἰσι τῶν ἀγώνων ἔτοι. διὰ τῦτο γᾶν ἐν τοῖς ἐπάνω εἶπε (v. 71 f.), Χαρίτεσσί τε καὶ σὺν Τυνδαρίδαις τὴν νίκην αὐτῶν ἐλικυθένκι τῷ γένει.

96. Ἐπεὶ εὐρυχόρᾳ (sic) ταμίαι] ἐπεὶ οἱ τῆς εὐρυχόρυ Σπάρτης ταμίαι καὶ δεσπόται, Διόσκυροι σὺν τῷ Ἑρμῇ καὶ Ἡρακλεῖ τὴν τῶν ἀγώνων μοῖραν τῆς εὐωχίας διέπυσι καὶ διοικῦσι.

100. Μά-

Μοῖραν, Ἑρμᾶ καὶ σὺν Ἡ-
ρακλεῖ, διέποντι Θάλειαν·
Μάλα μὲν ἀνδρῶν δικαίων
Περικαδόμενοι. — καὶ
Μὰν θεῶν πιτὸν γένος. —

Σ. δ'. Κ. ια'.

Μεταμειβόμενοι δ' ἐναλ-
λὰξ, ἀμέραν τὰν μὲν παρὰ πατρὶ Φίλῳ
Δὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαί-
ας, ἐν γυάλοις Θεράπνας,
Πότμον ἀμπιπλάντες ὁμοῖον. ἐπεὶ
Τᾶτον, ἢ πάμπαν Θεὸς ἔμ-
μεναι οἰκεῖν τ' ἐρανῷ,

100. Μάλα μὲν ἀνδρῶν] πάνυ μὲν ὑμῶν τῶν ὄντων δικαιοτάτων ἀνδρῶν φροντίζοντες διὰ τὸ τῆς ξενίας δίκαιον, καὶ ἄλλως δὲ καὶ κατὰ φύσιν οἱ θεοὶ πιστοί τινες καὶ φιλάνθρωποι περὶ τὺς εὐσεβοῦντας ὄντες. ἢ ὅτως· ὅτι πίσιν σώζοντες πρὸς τὸν πρόγονον φησι τὸν ὑποδεξάμενον αὐτὺς, νίκην τάτῳ νῦν ἐδωρήσαντο. ἢ ὅτοι, φησὶ, περισσῶς κηδόμενοι τῶν δικαίων ἀνδρῶν. δοκεῖσι γὰρ ἐπιφαινόμενοι κατὰ τὸ πέλαγος σώζειν τὺς δικαίυς.

103. Μεταμειβόμενοι δ' ἐναλλὰξ] μεταλαβόντες δ' αὐτοὶ οἱ Διόσκυροι, καὶ ἐκ διαδοχῆς ἐναλλάσσοντες τὰς ἡμέρας, μίαν μὲν διάγυσιν ἐν τῷ ὐρανῷ ὡς θεοὶ, μίαν δὲ ἐν τοῖς ὑπογείοις τῆς Θεράπνης, ὁμοίαν καὶ ἴσην ἐκπληροῦντες τύχην. ἰσέον δὲ ὅτι περιπέπτωκε τοῖς ἐν τῇ Νεκυομαντείᾳ λεγομένοις περὶ τῶν Διοσκύρων (Hom. Od. XI, 302 f.)·

Ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε
Τεθνᾶσιν, τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσι.

φησὶ γὰρ τὺς Διοσκύρυς μίαν μὲν ἡμέραν ὑπὲρ γῆς εἶναι, ἑτέραν δὲ ὑπὸ γῆν, ὥστε κατὰ μὲν τὸν διεσκευακότα παρ' Ὁμήρῳ, παρ' ἡμέραν αὐτὺς ἀποθνήσκειν· κατὰ δὲ Πίνδαρον μίαν μὲν ἡμέραν παρὰ τοῖς ἀθανάτοις διαιτᾶσθαι, μίαν δὲ ἡμέραν ὁρῶντας τὰ παρ' ἀνθρώποις σὺν αὐτοῖς εἶναι.

107. Ἐπεὶ τᾶτον, ἢ πάμπαν θεὸς ἔμμεναι] ἐπειδὴ μᾶλλον τᾶτον εἵλετο τὸν αἰῶνα, φησὶ, Πολυδεύκης, τὸν ἀδελφὸν ἔχων μεθ' ἑαυτὸ, ἐκ διαδοχῆς θεὸς γενέσθαι καὶ πάλιν ἄνθρωπος, ἢπερ μόνος ἐν ὐρανῷ θεὸς κατοικεῖν, Κάστορος τὸ

110 Εἶλετ' αἰῶνα φθιμένω Πολυδεύκης
Κάστορος ἐν πολέμῳ.
Τὸν γὰρ Ἴδας ἀμφὶ βουσὶν πως χολω-
θεὶς, ἔτρωσεν χαλκέας λόγχας ἀκμᾷ.

Α. δ'. Κ. ια'.

Ἀπὸ Ταϋγέτω πεδαυ-
115 γάζων ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει
Ἡμέ-

τῷ ἀδελφῷ αὐτῷ φθαρέντος ἐν πολέμῳ. αὐτὴ γὰρ τρωθέντος καὶ μέλλοντος ἀπόλλυσθαι εἵλετο Πολυδεύκης, ὁ τότε ἀδελφὸς αὐτὸς ἀθάνατος ὤν, μᾶλλον παρ' ἡμέραν ἄνθρωπος εἶναι ἅμα τῷ ἀδελφῷ, καὶ πάλιν θεὸς, ἅμα τῷ ἀδελφῷ, ἀπολομένου αὐτοῦ. καὶ οὕτως ἐποίησαν οἱ θεοί.

112. Τὸν γὰρ Ἴδας ἀμφὶ βουσίν πως] ἡ ἱστορία ἐστὶ τοιαύτη. Λυγκεὺς καὶ Ἴδας οἱ Ἀφαρέως παῖδες, ἐμνηστεύσαντο τὰς Λευκίππου θυγατέρας, Φοίβην καὶ Ἱλάειραν. κατὰ δὲ τὴν τῶν γάμων εὐωχίαν τὰς Διοσκούρους εἰς ἑστίασιν ἐκάλεσαν. οἱ δὲ τὰς κόρας ἁρπάσαντες, ἀπέφευγον, οἱ δὲ ἐπεδίωκον, καὶ συνίστατο τοῖς Ἀφαρητιάδαις καὶ τοῖς Διοσκούροις μάχη περὶ τῶν γάμων, καὶ ἀναιρεῖται Κάστωρ. εἶτα Πολυδεύκης ἀνεῖλεν ἀμφοτέρους, συμπράξαντος τοῦ Διὸς καὶ κεραυνὸν αὐτοῖς ἐπιπέμψαντος. ὁ δὲ Πίνδαρος ὑπὸ διὰ τὰς νύμφας φησὶν αὐτοῖς γεγενῆσθαι τὴν τάσιν, ἀλλὰ διὰ βοῶν ἀπελασίαν. ψυχορραγοῦντος οὖν τοῦ Κάστορος Πολυδεύκης ὢν ἀθάνατος πρὸς τὸν ὄντα φθαρτὸν εἵλετο καταμερίσασθαι τὴν ἀθανασίαν, τῇ τῆς φύσεως ἐνικώμενος ἀνάγκῃ. οὕτως οὖν αὐτὸς καὶ Ὅμηρος ἑτερημέρους καλεῖ. ὁ δὲ νῦς· τὸν Κάστορα γάρ, φησι, τῆς τῶν βοῶν ἁφαιρέσεως ἕνεκεν ὁ Ἴδας ὀργισθείς πως, ὁ Ἀφάρεως παῖς, ἔτρωσε.

114. Ἀπὸ Ταϋγέτω] ὁ μὲν Ἀρίσταρχος ἀξιοῖ γράφειν, ἥμενον, ἀκολούθως τῇ ἐν τοῖς Κυπρίοις λεγομένῃ ἱστορίᾳ. ὁ γὰρ τὰ Κύπρια συγγράψας φησὶ, τὸν Κάστορα ἐν τῇ δρυῒ κρυφθέντα ὀφθῆναι ὑπὸ Λυγκέως· τῇ δὲ αὐτῇ γραφῇ καὶ Ἀπολλόδωρος κατηκολούθησε. πρὸς οὓς φησὶ Δίδυμος, ἀμφοτέρων ὑπὸ τῇ δρυῒ λοχώντων, τὸ Κάστορος καὶ τὸ Πολυδεύκους, μόνον ὁ Λυγκεὺς τὸν Κάστορα εἶδε. μήποτε ὧν δεῖν, φησὶν, ἀναγινώσκειν τὴν παραλήγουσαν συλλαβὴν ὀξυτόνως, τὸ ἥμενος, ὡς ἡρμένος, ἵνα κατ' ἀμφοῖν ἀκούηται· ὁ δὲ Λυγκεὺς δρυὸς ἐν στελέχει ἥμενος, ἀντὶ τοῦ ἡμένου, δηλονότι τοὺς Διοσκούρους· ὡς ἀελλόπως, καὶ τρίπως· οὐχ ἕδως ἐστὶ, γεραιὲ, ἀντὶ τοῦ οὐχ ἕδους. παρατίθενται δὲ καὶ τὸν τὰ Κύπρια γράψαντα, οὕτω λέγοντα·

αἶψα

Ἠμένως — κείνᾳ γὰρ ἐπιχθονίων
Πάντων γένετ' ὀξύτατον
Ὄμμα. — λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ
Ἐξικέσθαν, καὶ μεγα ἔρ-
γον ἐμήσαντ' ὠκέως,
Καὶ πάθον δεινὸν παλάμαις Ἀφαρητί-
δαι Διός. αὐτίκα γὰρ
Ἦλθε Λήδας παῖς διώκων. τοὶ δ' ἔναντα σάθεν τύμβῳ σχεδὸν πατρωΐῳ.

E. δ'. K. ιβ'.

Ἔνθεν ἁρπάξαντες ἄγαλμ' Ἀΐδα, ξεστὸν πέτρον,
Ἔμβαλον στέρνῳ Πολυδεύκεος· ἀλλ' ὄ νιν φλάσαν,

Οὐδ'

Dd 3

αἶψα δὲ Λυγκεὺς
Ταΰγετον προσέβαινε, ποσὶν ταχέεσσι πεποιθώς,
Ἀκρότατον δ' ἀναβὰς, διεδέρκετο νῆσον ἅπασαν
Τανταλίδᾳ Πέλοπος, τάχα δ' εἴσιδε κύδιμος ἥρως
Εἰν ὀφθαλμοῖσιν ἔσω δρυὸς ἄμφω κοίλης
Κάστορά θ' ἱππόδαμον καὶ ἀεθλοφόρον Πολυδεύκεα.
Νύξε δ' ἄρ' . . . . .

Ὁ Κάστωρ ἐλόχα τὸν Ἴδαν, φησὶν, ἐν κοίλῃ δρυῒ κρυφθεὶς, καὶ τὸν Λυγκέα. ὁ δὲ Λυγκεὺς ὀξυδερκὴς ὤν, ὡς καὶ διὰ λίθων καὶ διὰ γῆς τὰ γινόμενα βλέπειν, ἐδόκει διὰ τῆς δρυὸς τὸν Κάστορα ἔτρωσε λόγχῃ. ἀπὸ γὰρ τῆ ὄρυς σκοπῶν ὁ Λυγκεὺς ἐθεάσατο αὐτὺς ἐγκαθεζομένυς ἐν τελέχει δρυὸς καὶ ἐλλοχῶντας. τῆ γὰρ Λυγκέως ὑπὲρ πάντας ἀνθρώπυς ὀξύτατον ἦν τὸ ὄμμα.

118. Λαιψηροῖς δὲ] τάχιστα δὲ ἐκ τῆ ὄρυς πρὸς τὺς Διοσκύρυς δραμόντες περιεγένοντο καὶ μέγιστον ἔργον κατεπράξαντο, τρώσαντες τὸν Κάστορα τάχιστα. ἀλλὰ μὴν καὶ ὑπέσχησαν δεινὸν ἔργον οἱ προειρημένοι τῆ Ἀφαρέως παῖδες ὑπὸ τῶν Διοσκύρων. εὐθέως γὰρ ἦλθεν ὁ Πολυδεύκης τῆ ἀδελφῆ πεσόντος· οἱ δὲ ἐλθόντι αὐτῷ ἀνθυπέσχησαν ἐξ ἐναντίας περὶ τὸν τάφον τῆ πατρὸς αὐτῶν Ἀφαρέως, καὶ ἐνέβαλον τῷ στέρνῳ τῆ Πολυδεύκης σήλην ἕνος τῶν κειμένων ἁρπάσαντες καὶ πέμψαντες τῷ Πολυδεύκει ἀπὸ τοῦ τύμβε τοῦ

Οὐδ' ἀνέχασσαν. ἐφορμα-
Θεὶς δ' ἄρ', ἄκοντι θοῷ
Ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκῷ.
Ζεὺς δ' ἐπ' Ἴδα πυρφόρον
Πλᾶξε ψολόεντα κεραυνόν·
Ἅμα δὲ καίοντ' ἔρημοι. —
Χαλεπὰ δ' ἔρις ἀνθρώ-
ποις ὁμιλεῖν κρεσσόνων. —

Σ. ε'. Κ. ια'.

Ταχέως δ' ἐπ' ἀδελφεῷ
Βίαν πάλιν χώρησεν ὁ Τυνδαρίδας,
Καί μιν ὄπω τεθναότ', ἄσθματι δὲ
Φράσσοντα πνοὰς ἔκιχεν.
Θερμὰ δὴ τέγγων δάκρυα σοναχαῖς

Ὀρθιον

τοῦ πατρὸς αὐτῶν Ἀφαρέως, ἀλλ' οὔτε αὐτὸν ἔπληξαν τὸν Πολυδεύκην, οὔτε ὑποχωρήσαι ὑπὲρ τοῦ πατρὸς πεποιήκασιν οἱ Ἀφαρητιάδαι.

129. Ἐφορμηθεὶς (sic) δ' ἄρ' ἄκοντι θοῷ] Ὁ δὲ Πολυδεύκης, φησὶν, ἐφορμήσας τῷ τάχει, δόρατι ἐνέβαλε ταῖς τοῦ Λυγκέως πλευραῖς τὸν σίδηρον.

132. Ζεὺς δ' ἐπ' Ἴδᾳ πυρφόρον] οἱ μὲν ἐπὶ τῷ Ἴδᾳ φασὶν, οἱ δὲ ἐν τῷ ὄρει τῇ Ἴδῃ, ἵνα Ἴδην πᾶν ὄρος ὑψηλὸν ἀκούσωμεν. οὐδὲ γὰρ νῦν τοῖς κατὰ τὴν Ἀρκαδίαν τελεμένοις ἡ κατὰ Τροίαν συντελεῖ, ὁ δὲ νῦς ἄτως· ὁ δὲ Ζεὺς πυρφόρον καὶ τεφρώδη κεραυνὸν προσέξηξεν ἀμφοτέροις, ὁμοῦ δὲ ἐκαίοντο ἐρημωθέντες. χαλεπὴ δὲ καὶ δεινοτάτη ἡ ἔρις τοῖς ἀνθρώποις ἢ κατὰ τῶν κρειττόνων. ἡ γὰρ πρὸς τοὺς κρείττονας, φησιν, ἔρις χαλεπή ἐστιν, ὥστε ὁμιλεῖν αὐτοῖς καὶ προσφέρεσθαι. ἀποδιαπομπεῖσθαι δεῖ ὧν τὴν ἔριν πρὸς τοὺς κρείττονας. ἡ μὲν πρὸς τοὺς ὁμοίους ἐυκτὴ, ἡ δὲ πρὸς τοὺς κρείττονας χαλεπή. οἱ γοῦν Ἀφαρητιάδαι ἐρίσαντες κρείττοσι τοῖς Διοσκούροις, ἀπώλοντο.

137. Ταχέως δ' ἐπ' ἀδελφεῷ] ταχέως δ' ἐπὶ τὸν ἀδελφὸν ὁ Πολυδεύκης ἦλθεν ὑποστρέψας, καὶ δὴ αὐτὸν ὄπω τεθνηκότα, πνευσιῶντα δὲ κατέλαβεν. ὄπω, φησὶ, τὸν Κάστορα εὗρε τεθνηκότα, τὰς δὲ πνοὰς ἀποψυχρύμενον ἀπὸ τῆς φρίκης. καταψύχονται γὰρ οἱ νεκρύμενοι.

142. Πά-

Ὄρθιον φώνασε· „πάτερ
Κρονίων, τίς δὴ λύσις
Ἔσσεται πενθέων; καὶ ἐμοὶ θάνατον σὺν
Τῶδ' ἐπίτειλον, ἄναξ.
Οἴχεται τιμὰ φίλων ταπωμένῳ
Φωτί. παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν,

Α. ε. Κ. ια'.

Καμάτῳ μεταλαμβάνειν.“
Ὡς ἤνεπε· Ζεὺς δ' αὐτίος ἤλυθέν οἱ,
Καὶ τόδ' ἐξαύδασ' ἔπος· ἐσσί μοι υἱός. τόνδε δ' ἔπειτα πόσις

142. Πάτερ Κρονίων] ὦ πάτερ Ζεῦ, τίς δὴ λύσις γενήσεται τούτων τῶν πενθῶν; καὶ μοι θάνατον ἐπίδες καὶ δεῖξον, ὦ βασιλεῦ.

146. Οἴχεται τιμὰ φίλων ταπωμένῳ] ἀντὶ τοῦ ταρισκομένῳ. οὐδεὶς συμπονεῖ, φησὶν, ἐὰν μὴ φίλος ἢ καὶ ἀγαθὸς ἀδελφός· ταρηθεὶς δὲ τούτῳ, τίνα ἕξω κοινωνὸν τῶν πόνων; ἢ οὕτως αὐτὸ δεῖ νοεῖν· τὸ ταπωμένῳ φησὶ Δωρικῶς· ἀνδρὶ γὰρ τῶν φίλων ταρισκομένῳ, πᾶσα διέφθαρται τιμή. ἢ οὕτως· ἐάν τις καθυστερήσῃ τῇ προσφιλεῖ, ἀποτρεπέσθω τῆς συμπράσσοντος, ἀπραγὴς δὲ γινόμενος ἀτιμάσθω ὑπ' αὐδενός.

147. Παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν] ἀντὶ τοῦ, οὐδὲ ὀλίγοι. ὡς καὶ παρ' Ὁμήρῳ (Il. V, 800)·

Ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς.

ὁ δὲ νῦς· οὐδὲ ὀλίγον δὲ ἀνθρώπων ἐστὶν ἐν τοῖς ὑπερβάλλουσι κινδύνοις τῶν δεινῶν κοινωνεῖν, ἢ ὅτως· οὐδὲ ὀλίγοι δὲ τῶν ἀνθρώπων πιστοὶ κατὰ τὰς πόνους πάσχουσι τοῖς ἑταίροις, τῷ καμάτῳ κοινωνεῖν.

150. Ἐσσί μοι υἱός] ὁ μὲν Ἡσίοδος ἀμφοτέρους Διὸς εἶναι γενεαλογεῖ· ὁ δὲ Πίνδαρος ἑτέρους τῶν ἱστορικῶν ἐξακολουθήσας τὸν μὲν Πολυδεύκην ἐκ Διὸς, τὸν δὲ Κάστορα ἐκ Τυνδάρεω εἶναι φησιν, ὡς καὶ Ἡρακλῆς μὲν ἐξ Ἀλκμήνης καὶ Διὸς, Ἰφικλῆς δὲ ἐξ Ἀμφιτρύωνος. λέγεται γὰρ τάδε, ὅτι Πολυδεύκης καὶ Ἑλένη ἐκ Διὸς εἰσι καὶ Λήδας, Κάστωρ δὲ ἐκ Τυνδάρεω. Ὁ μέντοι Ἡσίοδος ὅτε Λήδας ὅτε Νεμέσεως δίδωσι τὴν Ἑλένην, ἀλλὰ θυγατέρα Ὠκεανοῦ καὶ Τηθύος. τὸ δὲ σκῆφος ὅτως· σὺ μὲν, ὦ Πολυδεύκες, τυγχάνεις μοι υἱὸς, τὸν δὲ Κάστορα μετὰ ταῦτα

Σπέρμα θνατὸν, ματρὶ τεᾷ πέλάσσαις,
Στάζεν ἥρως. ἀλλ' ἄγε τῶν-
δέ τοι ἔμπαν αἵρεσιν
Παρδίδωμι· εἰ μὲν θάνατόν τε φυγὼν καὶ
Γῆρας ἀπεχθόμενον
Αὐτὸς Οὐλυμπον θέλεις οἰκεῖν ἐμὶν
Σύν τ' Ἀθαναίᾳ κελαινεγχεῖ τ' Ἄρει·

Ε. ε'. Κ. ιβ'.

Ἔστι σοι μὲν τάτων λάχος.
Κασιγνήτε δ' εἰ πέρι
Μάρναται, πάντων δὲ νοεῖς
Ἀποδάσασθαι ἶσον,
Ἥμισυ μέν κε πνέοις γαί-
ας ὑπένερθεν ἐὼν,
Ἥμισυ δ' ἐρανῷ ἐν χρυσείοις δόμοισιν.
Ὣς ἄρ' αὐδάσαντος, ὁ
Γνώμα διπλόαν θετο βελάν.

Ἀνὰ

ταῦτα ὁ Τυνδάρεως, σπέρμα θνητὸν ὄντα, τῇ σῇ μητρὶ συνελθὼν ἔσπειρεν.

153. Ἀλλ' ἄγε τῶνδέ τοι] ἀλλ' ὅμως τάτων ἀμφοτέρων σοι τὴν κρίσιν καὶ τὴν αἵρεσιν ἐπιδίδωμι· εἰ μὲν γὰρ τὸν θάνατον ἐκφυγὼν καὶ τὸ γῆρας τὸ ὀδυνηρὸν, αὐτὸς βέλει τὸν οὐρανὸν οἰκεῖν σὺν ἐμοὶ καὶ Ἀθηνᾷ καὶ Ἄρει, ἔστι σοι τάτων μερίς. εἰ δὲ ὑπὲρ τῦ ἀδελφῦ Κάστορος διαμάχῃ, πάντων τε τῶν καλῶν βέλει αὐτῷ ἀπομερίσασθαι τὸ ἴσον, τὸ μὲν ἥμισυ τῦ χρόνε ἕξεις ὑπὸ τὴν γῆν διατρίβων, τὸ δὲ ἥμισυ ἐν τῷ οὐρανῷ καὶ τοῖς τιμίοις τῶν θεῶν οἴκοις.

166. Ὣς ἄρ' αὐδάσαντος] ὕτω ταῦτα τῦ Διὸς εἰπόντος, ὁ κατεμερίσθη τὴν γνώμην ὁ Πολυδεύκης, ἀλλ' εὐθέως ἐπὶ τὸ ἕτερον ἐχώρησεν, ἐπὶ τὸ τὴν εὐδαιμονίαν τῷ ἀδελφῷ μερίσασθαι.

168. Ἀνὰ

Ἀνὰ δ' ἔλυσεν μὲν ὀφθαλ-
μὸν, ἔπειτα δὲ φωνὴν
Χαλκομίτρα Κάστορος.

168. Ἀνὰ δ' ἔλυσε μὲν ὀφθαλμὸν] ὁ Ζεὺς δηλονότι· οἷον ὁρᾷν παρεσκεύασε τὸν τῦ ἀδελφῦ ἰόν μύοντα καὶ κλειόμενον διὰ ὀφθαλμῶν, ἔπειτα καὶ τὴν φωνὴν τὸν θάνατον ἀναβλέψαι ἐποίησεν. ἐνέβαλε τῦ χαλκομίτρα Κάστορος.

Περὶ τῶν κώλων τῆς τροφῆς καὶ ἀντιστροφῆς τὸ ια΄ τῶν Νεμέων εἴδος.

Τῆς ἐνδεκάτης ᾠδῆς ἡ τροφὴ καὶ ἀντίστροφος κώλων ἓξ. Τὸ α΄ Πινδαρικόν. ἔστι δὲ ἰαμβελεγος, λείπων τῇ ἀρχῇ, καὶ πάλιν ἰαμβικὸν πενθημιμερὲς, λείπον τῷ τέλει, ὃ καλεῖται ἀμφιλειπὲς, ἐπεὶ καὶ ἐν ἀρχῇ καὶ ἐν τῷ τέλει λείπει. ἡ δὲ ἀπόδοσις τὸ, ἀοιδαῖς, ᾠδαῖς ποιεῖ (23). Τὸ β΄ σύνθετον ἀπὸ διμέτρε τροχαίε καὶ ἡμίσεος ἔπος. Τὸ γ΄ ἔπος παρὰ συλλαβήν. Τὸ δ΄ ὅμοιον τῷ· Ζεῦ πάτερ, γάμον μὲν ἐκ ἐδασάμην. Τὸ ε΄ χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἢ πενθημιμερὲς δακτυλικὸν πλεονάζον μιᾷ συλλαβῇ. Τὸ ς΄ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτῆ. Ἡ ἐπῳδὸς κώλων ἐννέα. Τὸ α΄ δακτυλικὸν τρίμετρον καταληκτικόν. Τὸ β΄ δακτυλικὸν πενθημιμερές. Τὸ γ΄ ὅμοιον τῷ πρώτῳ τῆς τροφῆς. Τὸ δ΄ δακτυλικὸν πενθημιμερές. Τὸ ε΄ Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ς΄ δακτυλικὸν πενθημιμερές. Τὸ ζ΄ Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ η΄ ὅμοιον τῷ τετάρτῳ τῆς τροφῆς. Τὸ θ΄ σύνθετον ἐκ πενθημιμερὲς τροχαίε καὶ ἐφθημιμερὲς δακτυλικῆ.

Ὅτι ἐκ ἐχρῆν τὴν ᾠδὴν ταύτην εἰς ἐπινίκιος συνενῶσθαι.

Οὐδὲ ὅλως, φησὶν ὁ Δίδυμος, ἐχρῆν τὴν ᾠδὴν ταύτην εἰς τὸς ἐπινίκιος συνενῶσθαι. ἐ γὰρ ἱερὸν ἀγῶνα νενί-

νενίκηκεν ὁ Ἀριστογόρας, ἀλλὰ περὶ χώρας γεγράφθαι φησὶ τὴν ᾠδὴν εἰς πρυτανεύοντα καὶ τῆς πόλεως προστῶτα τὸν Ἀριστογόραν. σαφὲς δὲ τοῦτο, ἐξ ὧν φησιν (10 f.)· Ἀλλὰ σὺν δόξᾳ τέλος δυωδεκάμηνον περάσαι. ἠπατῆσθαι δέ φησιν ὁ Δίδυμος ἐνίους, ὡς δοκεῖν ἱερὰς στεφάνους αὐτὸν ἀνηρῆσθαι. διὰ τῆς ᾠδῆς δὴ σημαίνεται, ὅτι στεφάνους ἔσχεν ὡς δεκαὲξ, ἀλλ' οὐχὶ περιοδικούς, ὡς ἐπλανήθησαν ἐκ τοῦ λέγεσθαι (28 f.)· Ἐλπίδες δ' οἰκηρότεραι γονέων παιδὸς βίαν ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων. ὁ γὰρ σημαίνει διὰ τούτων, ὡς Ἴσθμια καὶ Νέμεα νενικηκότος αὐτοῦ, ἀλλὰ τἀναντίον· οἱ γονεῖς δι' εὐλάβειαν συγγενικὴν οὐκ ἀπέστειλαν αὐτὸν ἐπὶ τοὺς ἱεροὺς στεφάνους, ἐπεὶ κἂν Ἴσθμια καὶ Νέμεα εἰλήφει. ἐποίσει γάρ (30 f.)· Ναὶ, μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν παρὰ Καστάλια καὶ παρ' εὐδένδρῳ μολὼν ἄχθῳ Κρόνου κάλλιον ἂν θηριώντων ἐνοσήσατ' (sic) ἀντιπάλων. ὁμνύει γὰρ ὁ Πίνδαρος, ὅτι κατὰ τὴν ἑαυτοῦ δόξαν, εἰ ἐξεδήμησεν εἰς Πυθῶνα καὶ Ὀλυμπίαν, κάλλιον ἂν τῶν ἀνταγωνιστῶν ἐπανεληλύθει εἰς τὴν πατρίδα, τουτέστιν, ἐνίκησεν ἄν. νῦν δὲ ἐλπίδες οἰκηρότεραι κατέσχον τῶν γονέων αὐτόν. διὸ οὐδ' ὅλως ἐξεδήμησεν. συντακτέον δ' ἂν, φησὶν ὁ Δίδυμος, εἰς τὰ παροίνια, καθὰ καὶ τοῖς περὶ τὸν Φασηλίτην ἀρέσκει. ὅλως δ' ἂν οὐδὲ δεῖ τετάχθαι τὴν ᾠδήν· ὁ γὰρ οἷον Νεμεονίκης ἐστίν· ἀλλ' οὐδ' ὅλως ἀθλοῦντι γέγραπται ἔτι, ἀλλ' ἀνδρὶ τελείῳ πρυτανεύοντι τῆς πατρίδος. εἰ δὲ παραμιμνήσκεται, ὅτι περιχώρους ἀγῶνας ἐνίκα παῖς ὤν, ὁ διὰ τοῦτο ἀθλητής, καθὸ οὐκ ἀθλητὴς γέγραπται, ἀλλὰ πρυτάνει, καθὸ ἐπρυτάνευεν· ἔτυχε δὲ ἐπὶ τῆς παιδικῆς ἡλικίας ἄθλων· διὸ δὴ καὶ ὡς πρυτανεύοντος τὴν Ἑστίαν προσφωνεῖ. ἔοικε δὲ ὁ Ἀριστογόρας μὴ νῦν

νεν-

νενικηκέναι. Φασὶ γὰρ οἱ ἱστορικοὶ, παιδὶ μὲν ὄντι πολλὰς ὑπεισελθεῖν νίκας, ἀνδρωθέντι δὲ νῦν καὶ πρυτανεύοντι τὸν Πίνδαρον πρόσχημα μὲν ἐπίνικον γράψαι, τὸ δὲ ἀληθὲς προσφωνητικὸν εἰς τὴν πρυτανείαν. Τένεδος δέ ἐστι καὶ τῆς Λιβύης καὶ τῆς Τροίας.

ARGV-

ARGVMENTVM VNDECIMI CARMINIS.

Veſta, Rheae filia, in Prytaneis collocata, excipe ſedibus tuis beneuole Ariſtagoram, et ſocios eius (alios prytanes), qui Tenedum gubernant te venerantes et libationibus et ſacris (1 — 8); cantum amant, hoſpitiumque (publice) exercent; atque fac eos hilariter annuum magiſtratum exigere (— 12). Felicem praedico Arceſilam (Ariſtagorae) patrem, et Ariſtagoram corpore admirandum atque congenitam fortitudinem (— 15). Si quis opulentus formae pulcritudine et robore aliis praeſtiterit, is meminerit ſe mortalem eſſe (— 21). A ciuibus ipſum (Ariſtagoram laudari et celebrari cantu oportet. E ſedecim vicinis illum patriamque victoriae lucta et pancratio reportatae coronarunt. Parentum cunctatio prohibuit, ne Delphis et Olympiae periculum certaminum faceret (— 29). Profecto ex vtroque loco victor in certaminibus ab Hercule inſtitutis rediturus fuiſſet. At alium vana gloriatio felicitate deiicit, alium nimia diffidentia ornamentis priuat (— 42). Facile erat, Piſandri Spartani progeniem agnoſcere; Amyclis ille cum Oreſte venerat, Aeolas Tenedum deducens; et Thebani Melanippi, aui materni, genus. Priſcae virtutes etiam poſt generationum viciſſitudines ſe exſerunt (— 49). Arua, et arbores, non ſemper, ſed alternis, ferre fructus ſolent. Idem in hominibus valet (— 55).

Incer-

Incertum est, quousque virtutis quis procedere possit. Tamen multa molimur, spe irretiti, etsi euentus ignari. At praestat, moderata consilia sequi; insanum est, nimis ardua appetere (— fin.).

ΕΙΔΟΣ ιά.

ΑΡΙΣΤΑΓΟΡΑ ΠΡΥΤΑΝΕΙ ΤΕΝΕΔΙΩ ΤΙΩ ΑΡΚΕΣΙΛΑ.

Σ. ά. Κ. ς'.

Παῖ Ῥέας, ἄ γε Πρυτανεῖα λέλογχας,
Ἑστία,
Ζηνὸς ὑψίσε καςιγνήτα καὶ ὁμοθρόνε Ἥρας,
Εὖ μὲν Ἀριςαγόραν δέξαι τὸν ἐς θάλαμον
Εὖ δ' ἑταίρως ἀγλαῶ σκάπτω πέλας,
Οἵ σε γεραίροντες ὀρ-
θαν φυλάσσοισιν Τένεδον,

Α. ά.

1. Παῖ Ῥέας, ἅτε (sic) πρυτανεῖα λέλογχας] πρυτανεῖα φησι λαχεῖν τὴν Ἑστίαν, παρόσον καὶ τῶν πόλεων ἑστίαι ἐν τοῖς πρυτανείοις ἀφίδρυνται, καὶ τὸ ἱερὸν λεγόμενον πῦρ ἐπὶ τούτων ἀπόκειται. εἰη δ' ἂν πρυτανεῖον, κατὰ τὸ ἔτυμον, πυρταμεῖον, κατὰ συγγένειαν τοῦ μ εἰς τὸ ν, ὡς τὸ μὶν, νίν· ἢ κατὰ κοινωνίαν τοῦ β πρὸς τὸ π, βρυτανεῖον παρὰ τὸ βρύειν, ὅ ἐστιν αὔξειν καὶ θάλλειν, ἀφ' οὗ καὶ τὸ ἄμβρυον, τὸ ἐν τῇ γαστρὶ αὐξανόμενον. καίτε βρύει ἄνθεϊ λευκῷ, Ὅμηρος (Il. XVII, 56). ὁ δὲ ὑς· ὦ Ἑστία, τῆς Ῥέας παῖ, ἥτις ἔλαχες τὰ πρυτανεῖα, τῷ ὑψίσε Διὸς ἀδελφὴ τυγχάνουσα, καὶ τῆς Ἥρας τῆς ὁμοθρόνε καὶ τῆς συμβασιλευούσης τῷ Διΐ, καλῶς μὲν τὸν Ἀριςαγόραν ὑπόδεξαι εἰς τὸ πρυτανεῖον, καλῶς δὲ καὶ τοὺς ἑταίρως τοὺς συμπρυτανεύοντας αὐτῷ, τοῦ σοῦ σκήπτρε πέλας. ἐκ τούτε οὖν πρόδηλον, ὡς εἰς τὴν πρυτανείαν γράφεται. ἵδρυται δὲ ἐν τοῖς πρυτανείοις ἡ ἑστία.

ς. Οἵ σε γεραίροντες] οἵτινες σε τιμῶντες, οἱ πρυτάνεις, ἐν δικαιοσύνῃ διαφυλάσσυσι τὴν Τένεδον, πολλάκις μὲν σπονδαῖς καὶ θυσίαις ἐξιλεούμενοι πρώτην τῶν ἄλλων θεῶν, πολλάκις δὲ καὶ ταῖς θυσίαις. πρώτην δὲ ταύτην εἶπε, καθόσον ἀπ' αὐτῆς ἤρχοντο. καὶ Σοφοκλῆς (Fragm. 82. Brunk.):

ὦ

Α. α'. Κ. ε'.

Πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν
θεῶν,
Πολλὰ δὲ κνίσσᾳ. — λύρᾳ δέ σφιν βρέμεται καὶ ἀοιδᾷ,
Καὶ ξενίᾳ Διὸς ἀσκεῖται θέμις αἰνέοις
Ἐν τραπέζαις. — ἀλλὰ σὺν δόξᾳ τέλος
Δωδεκάμηνον περάσειαν ἀτρώτῳ καρδίᾳ. —

Ε. α'. Κ. θ'.

Ἄνδρα δ' ἐγὼ μακαρίζω
Μὲν πατέρ' Ἀρκεσίλαν,
Καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε ξύγγονον. —
Εἰ δέ τις ὄλβον ἔχων

Μορφᾷ

ὦ πρώρα λοιβῆς Ἑστία. ἀπὸ οὖν τῆς κνίσσης, ὅ ἐστι, τῆς πιμελῆς, καὶ τὰς θυσίας.

8. Λύρα δὲ σφιν βρέμεται] λύρα δὲ αὐτοῖς κατὰ τὰς πανηγύρεις ἠχεῖ καὶ ᾠδή, καὶ τοῦ ξενίου Διὸς θέμις ἀσκεῖται καὶ ἀποσώζεται παρ' αὐτοῖς διαπαντὸς ἐν ταῖς τραπέζαις, ἀντὶ τοῦ, φιλόξενοί εἰσιν.

10. Ἀλλὰ σὺν δόξᾳ τέλος] εὔχεται τὴν ἀρχὴν μετὰ δόξης αὐτὸν τελέσαι, σὺν ἀτρώτῳ καὶ ἀλύπῳ καρδίᾳ, τουτέστιν, ἀπταίστῳ καὶ ἀβλαβεῖ, τὴν ἐνιαυσίαν ἀρχὴν διανύσειεν. δῆλον δὲ, καθὼς καὶ προείπομεν, διὰ τούτων, ὅτι οὐκ ἔστιν ἐπίνικος ἡ ᾠδή. ὁ δὲ νοῦς· παράσχῃ οὖν αὐτοῖς διανύσαι σὺν εὐδοξίᾳ τὴν πρυτανείαν, καὶ σὺν ἀλύπῳ καρδίᾳ.

13. Ἄνδρα δ' ἐγὼ μακαρίζω] τὸν δὲ ἄνδρα ἐγὼ μακαρίζω Ἀρκεσίλαν τὸν σὸν πατέρα, καὶ τὸ ἐκείνου ἀνδρεῖόν τε καὶ ἐπέρασον σῶμα. Ἄλλως. τὸν πατέρα αὐτοῦ Ἀρκεσίλαν μακαρίζω, θαητὸν ὄντα τὸ σῶμα, καὶ τὸν σύγγονον αὐτοῦ Ἀτρεμίαν· ὡς ἀδελφοῦ αὐτοῦ ὄντος Ἀτρεμίου, ἢ ὡς ἀδελφῆς· ἀμφίβολον γάρ· ἢ, τὴν συγγενομένην αὐτῷ ἀφοβίαν.

16. Εἰ δέ τις ὄλβον ἔχων] εἴ τις δὲ πλούσιος καὶ καλὸς, καὶ ἐν ἀεθλοις δεδήνεγκε τῶν ἄλλων, γινωσκέτω, ὅτι θνητός ἐστι, καὶ μηκέτι παρὰ ταῦτα εὐθαιμονίαν μείζονα ζητείτω, μὴ ὡς θεὸς τῶν μειζό-

Μορφᾶ παραμεύσεται ἄλλως,
Ἐντ' ἀέθλοισιν ἀρι-
στεύων ἐπέδειξεν βίαν·
Θνατὰ μεμνάσθω περισ έλλων μέλη,
Καὶ τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμενος.

Σ. β'. Κ. ς'.

Ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσι μὲν αἰνεῖσθαι χρεών,
Καὶ μελιγδέποισι δαιδαλθέντα μελίζειν ἀοιδαῖς.
Ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρισαγόραν
Ἄγλαᾳ νίκᾳ πάτραν τ' εὐώνυμον
Ἐστεφάνωσαν πάλᾳ
Καὶ μεγαυχεῖ παγκρατίῳ.

Α. β'. Κ. ς'.

Ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν
Ἔσχον

μειζόνων ὀρεγέσθω. ἢ οὕτως· εἰ δὲ ἀνθρώπων τὶς εὐδαιμονίαν κεκτημένος καὶ τῷ εἴδει παρέχεται τοὺς ἄλλους, καὶ ἐν τοῖς ἄθλοις ἀριστεύσασαν ἐφανέρωσε τὴν ἑαυτοῦ ἰσχύν, γινωσκέτω μέλλων ἀποθνήσκειν. ἡ δὲ τοῦ νοῦ φαντασία τοιαύτη· μὴ διὰ τὸ ὑπερβεβλημένου τῆς εὐδαιμονίας θεοῖς ἑαυτὸν καταριθμείτω. γινωσκέτω δὲ ὅτι ἀνθρωπίνην ἔχει τὴν φύσιν.

22. Ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖς (sic)] ἐν δὲ τῇ τῶν ἀγαθῶν γνώμῃ ἐπαινεῖσθαι τοὺς ἀγαθοὺς προσήκει, φησίν. ἢ οὕτω· τοὺς τοιούτους καὶ τοιαῦτα ἡσυχίους ἄρχοντας δεῖ ὑπὸ τῶν ἀγαθῶν καὶ λόγοις ἐπαινεῖσθαι καὶ κοσμεῖσθαι ποιήμασιν.

24. Ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρισαγόραν] ὡς τῶν ἀγωνισῶν τοῦ Ἀρισαγόρου τοσούτων ὄντων τῷ ἀριθμῷ. ἡ δὲ νοῦς· ἐκ δὲ τῶν περιοίκων ἀντιγωνιστῶν ἑκκαίδεκα ὄντων, τὸν Ἀρισαγόραν αἱ νίκαι, καὶ τὴν τούτου πατρίδα ἐστεφάνωσαν τὴν ἐπίδοξον, πάλῃ καὶ παγκρατίῳ νικήσαντα.

28. Ἐλπίδες δ' ὀκνηρότεραι γονέων] παιδὸς δὲ ὄντος τοῦ Ἀρισα-

Ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπία ἀέθλων.

Ναὶ μὰ γὰρ Ὅρκον, ἐμὰν δόξαν, παρὰ Κασταλία
Καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου,
Κάλλιον ἂν δηριών-
των ἐνόσησ' ἀντιπάλων,

Ε. β'. Κ. θ'.

Πενταετηρίδ' ἑορτὰν
Ἡρακλέος τέθμιον
Κωμάσας, ἀνδησάμενός τε κόμαν ἐν πορ-
φυρέοις
Ἕρνεσιν. — ἀλλὰ βροτῶν
Τὸν μὲν κενεόφρονες αὐχαὶ

Ἐξ

γόρυ, φησὶν, αἱ τῶν γωνέων ἐλπίδες ὀκνηρότερον διατεθεῖσαι, ἐνεπόδισαν, εἴς τε τὴν Πυθῶνα καὶ τὴν Ὀλυμπίαν σαλπικὰ τῶν ἄθλων εἵνεκα.

30. Ναὶ μὰ γὰρ Ὅρκον, ἐμὰν δόξαν] ἐνταῦθα ὄνομα ὁ πρόκειται. ἰδίως γὰρ οἱ παλαιοὶ κατ' αὐτοῦ τοῦ ὅρκου ὤμνυον, ὡς καὶ Ἡσίοδος (Theog 231. f.)·

Ὅρκον θ' ὃς δὴ πλεῖστον ἐπιχθονίοις ἀνθρώποις
Πημαίνει, ὅστε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ.

Ἄλλως. εὐλαβείᾳ τοῦ ὀμνύειν οἱ ἀρχαῖοι παρελίμπανον τὰ ὀνόματα τῶν θεῶν. διὸ καὶ ψιλῶς εἶπε· ναὶ μὰ γὰρ Ὅρκον, τὴν ἐμὴν δόκησιν, ἔν τε Πυθῶνι καὶ ἐν τῷ εὐδένδρῳ ὄρει τοῦ Κρόνου, ὅ ἐστι, καὶ ἐν τῇ Ὀλυμπίᾳ, κάλλιον ἄν τῶν ἀγωνιζομένων ἐπανῆλθεν ὁ Ἀρισαγόρας τῇ πατρίδι, τὴν πενταετηρικὴν πανήγυριν διάταξιν καὶ νόμον οὖσαν Ἡρακλέος, κωμάσας καὶ ἀναδησάμενος τὴν κόμην.

31. Καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου] εὐδένδρῳ διὰ τὰ τῶν ἐλαιῶν φυτὰ, ἅπερ Ἡρακλῆς ἐξ Ὑπερβορέων κομίσας ἐνεφύτευσε τῇ γῇ. τὸ δὲ, παρ' ὄχθῳ Κρόνου, ἀντὶ τοῦ, καὶ τῷ λόφῳ, τῷ κατὰ τὴν Ὀλυμπίαν ἀνιερωθέντι τῷ Κρόνῳ.

37. Ἀλλὰ βροτῶν (sic, sine τὸν) κενεόφρονες αὐχαὶ] αἱ καυχήσεις. ἀλλὰ τῶν ἀνθρώπων τὸν μὲν αἱ ματαιόφρονες καυχήσεις καὶ ἀλαζονείαι ἐκ τῶν παρὰ τοῦ καλῶν ἀποτυχεῖν παρεσκεύασαν,

Ἐξ ἀγαθῶν ἔβαλον·
Τὸν δ' αὖ καταμεμφθέντ' ἄγαν
Ἰσχὺν οἰκείων παρέσφαλεν καλῶν,
Χειρὸς ἕλκων ὀπίσω, θυμὸς ἄτολμος
ἐών. —

Σ. γ'. Κ. ς'.

Συμβαλεῖν μάλ' εὐμαρὲς ἦν τό τε Πεισάνδρω πάλαι
Αἷμ' ἀπὸ Σπάρτας· Ἀμύκλαθεν γὰρ ἔβα
σὺν Ὀρέστᾳ,
Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων·
Καὶ παρ' Ἰσμηνὸν ῥοὰν κεκραμένου

Ee 2 Ἐκ

σαν, τῷ τῶν μειζόνων παρὰ δύναμιν καὶ τὸ προσῆκον ὀρέγεσθαι, ἕτερον δὲ, ἰσχυρὸν ὄντα κατὰ φύσιν, μετριάζοντα δὲ, καταμεμφόμενον τὴν ἑαυτοῦ δύναμιν, τῶν προσόντων καλῶν σφαλῆναι πεποίηκεν ἡ ψυχὴ, ἄτολμος οὖσα καὶ τῆς χειρὸς αὐτὸν εἰς τοὐπίσω ἕλκουσα, τουτέστιν, ἄτολμον ποιοῦσα.

43. Συμβαλεῖν λίαν εὐμαρὲς ἦν] ἐκ δὲ τῆς Ἀριστογόρου ἀρετῆς εὐμαρὲς ἦν διαγνῶναι συμβαλόντας, ὅτι τοῦ Λακωνικοῦ Πεισάνδρου ἀπόγονος ἦν, τοῦ ποτὲ σὺν τῷ Ὀρέστῃ ἀποικίαν ἀπὸ τῆς Δακεδαίμονος εἰς Λέσβον στειλαμένου τὸ τῶν Αἰολέων γένος. τὸ δὲ δεῦρο, ὡς πρὸς τὴν Τένεδον, τὴν τῆς Λέσβου. ἦν δὲ συμβαλεῖν καὶ τὸ μητρῷον αὐτοῦ γένος περὶ τὰ Ἰσμηνοῦ ῥεύματα κρεμάμενον τῷ Θηβαίῳ Μελανίππῳ. ἢ οὕτω· συμβαλεῖν λίαν εὐμαρὲς καὶ συμεωσασθαι τὸν ἰδόντα τὸν Ἀριστογόραν, ὅτι τὸ πάλαι αὐτοῦ αἷμα καὶ τὸ γένος ἦν ἀπὸ Πεισάνδρου τοῦ Σπαρτιάτου, ὡς ἀπό τινος τῶν παλαιῶν Πεισάνδρου ὄντος τοῦ Ἀριστογόρου. οὗτος δὲ, φησι, σὺν Ὀρέστῃ ἀπῴκησεν ἐκ Σπάρτης, καὶ τὴν Τένεδον κατῴκησε. Τενέδιος γὰρ ὁ Ἀριστογόρας. περὶ δὲ τῆς Ὀρέστου εἰς τὴν Αἰολίδα ἀποικίας Ἑλλάνικος ἐν τῷ πρώτῳ περὶ Αἰολικῶν ἱστόρηκεν. Ὁ δὲ Μελάνιππος ὅτος Θηβαῖος ἦν ἐπὶ τῷ πολέμῳ συσὰς τῷ Τυδεῖ. τοῦτο δοκεῖ διὰ τὴν ὀργὴν λαβὼν ὁ Τυδεὺς τὴν κεφαλὴν καὶ βήξας ἐκροφῆσαι τὸν ἐγκέφαλον. διὸ καὶ ἀπεστράφη ἡ Ἀθηνᾶ τότε νομίζουσα αὐτῷ τὴν ἀθανασίαν. τὸ μὲν οὖν ἀπὸ πατρὸς γένος εἰς Πείσανδρον, τὸ δὲ ἀπὸ μητρὸς εἰς τοῦτον τὸν Μελάνιππον. μήτρωες γὰρ οὗτοι οἱ κατὰ μητέρα πρόγονοι.

48. Ἀρ-

Ἐκ Μελανίππου μά-
τρως. ἀρχαῖαι δ' ἀρεταὶ

Σ. γ'. Κ. ε'.

Ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν
σθένος. —
Ἐν σχερῷ δ' ὅτ' ὦν μέλαιναι ἔδωκαν
ἄρρεμ·
Δένδρεά τ' ἀκ ἐθέλει πάσαις ἐτέων περ
ὁδοῖς
Ἄνθος εὐῶδες φέρειν πλέτῳ ἴσον,
Ἀλλ' ἐν ἀμείβοντι. καὶ
Θνατὸν ἔτω γ' ἔθνος ἄγει

Ε. γ'. Κ. θ'.

Μοῖρα. — τὸ δ' ἐκ Διὸς ἀνθρώ-
ποις σαφὲς οὐκ ἔπεται
Τέρμαρ. ἀλλ', ἔμπαν μεγαλανορίαις ἐμ-
βαίνομεν,

Ἔργα

48. Ἀρχαῖαι δ' ἀρεταὶ] αἱ ἀρχαῖαι τῶν προγόνων φύσει ἀρεταὶ ὕστερον ἐκλάμπουσιν. ἐνίοτε γάρ τις γέγονεν ἀπὸ πατρικοῦ τινὸς ἀνδρὸς, εἶθ' οἱ ἐκείνῳ ἀπόγονοι ἄπρακτοι ἄφθησαν, ἕως διὰ πολλῶν ἐτῶν πάλιν εἰς ἐξέλαμψεν. οὗτος οὖν, φησὶν, ἀπὸ Μελανίππου γεγονὼς καὶ Πεισάνδρου, ἀρετηρίων γεγονότων, τὸ δὲ μεταξὺ ἠμαυρωμένον αὐτὸς ἐξέλαμψε τῶν ἐκείνων ἀρετῶν, αὐτὸς ἐφ' ἑαυτῷ δείξε τὸ γένος· οἷον ἦν. ἢ οὕτως· αἱ δὲ παλαιαὶ ἀρεταὶ ἀποφέρονται σθένος ἐναλλασσόμεναι ταῖς τῶν ἀνθρώπων γενεαῖς. οὔτε γὰρ ἐφεξῆς αἱ ἄρρεναι καρπὸν δύνανται ἀποδιδόασιν, οὔτε μὴν τὰ φυτὰ βούλεται ἐν ἁπάσαις ἐτῶν περιόδοις καρπὸν καὶ βλαστὸν εὐώδη καὶ ἐπικερδῆ φέρειν, ἀλλ' ἐξ ὑπαλλαγῆς καὶ διαστήματος ταῦτα δίδοται, καὶ τὸ τῶν ἀνθρώπων γένος τὸν αὐτὸν τρόπον τοῖς φυτοῖς καὶ ταῖς ἀρούραις ἀναδέχεται.

55. Τὸ δ' ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐκ ἔπεται τέρμα] τὸ ἀποβησόμενον τέλος ἐκ τοῦ Διός, φησιν, οὐ προγινώσκομεν οἱ ἄνθρωποι, ἀλλὰ μεγαληγοροῦμεν, μεγάλα τε μενοινῶντες καὶ φροντίζοντες ὑπὲρ ἑαυτούς. τείνει δὲ πρὸς

Ἔργα τε πολλὰ μενοι-
νῶντες. δέδεται γὰρ ἀναιδεῖ
Ἐλπίδι γυῖα· προμα-
θείας δ' ἀπόκειντα ῥοαί.
Κερδέων δὲ χρὴ μέτρον θηρευέμεν.
Ἀπροσίκτων δ' ἐρώτων ὀξύτερα μανίαι.

πρὸς Ἀριταγόραν, ἐπειδὴ τότε ἦρχε καὶ ἐρυτάνευε, παραινῶν αὐτῷ μὴ ὑπερφανεύεσθαι, ἀλλὰ μέτρίως βιοῦν, πρᾴως τε καὶ ἐν ἀρετῇ διάγειν.

59. Δέδεται γὰρ ἀναιδεῖ ἐλπίδι γυῖα] τυτέτιν, ἐμπέφυκεν ἡμῖν ἐλπὶς ἄποθεν. ἀναιδῆ δὲ τὴν ἐλπίδα εἶπεν, ὅτι οἱ πολλοὶ ἡμῶν ἀδύνατα ἐλπίζυσιν. ἢ ἀναιδῆ τὴν ἐλπίδα εἴρηκε, διὰ τὸ πολλάκις τὰς ἐλπίζοντας ἀποτυγχάνειν καὶ πάλιν ἐλπίζειν. ἢ ὅτω συνδέδεται δὲ τὰ ἡμέτερα σώματα ἀναιδεστάτη ἐλπίδι. τὸ δὲ προβηλεύεσθαι καὶ μανθάνειν μακρὰν ἡμῶν ἀπώκηκεν. ἤτοι, τῆς δὲ προγνώσεως αἱ ὁδοὶ ἄποθεν ἡμῶν κεῖνται, ἀντὶ τῦ, ὲ δυνάμεθα, ἄνθρωποι ὄντες, τὰ μέλλοντα προγινώσκειν.

62. Κερδέων δὲ χρὴ μέτρον θηρευέμεν] ὑ δεῖ, φησὶ, ζητεῖν ὠφελείας ὑπερμέτρυς, ὐδὲ κερδαίνειν τὰ ὑπὲρ ἡμᾶς. ἀπροσίκτων δὲ, ἀντὶ τῦ ἀμηχάνων, ὧν ὐκ ἔστι θίγειν. τῶν γὰρ ἐρώτων σκληρόν εἰσιν αἱ μανίαι καὶ σύντονοι αἱ ἐπιθυμίαι. τῶν ὖν ἀμηχάνων ἐρώτων, φησὶν, ἐπιθυμίαι, ὀξύτερας ἔχυσι τὰς μανίας. πρὸς τί δὲ τῦτο λέγει; ἀντὶ τῦ εἰπεῖν, ὦ Ἀριταγόρα, οἷς ἔσχηκας καὶ ἔλαβες δεκαεξ τεφάνοις, πλυτεῖς, ἄρχεις, πρυτανεύεις· ἀρκεῖ τούτοις· μηκέτι ὑπὲρ ταῦτα ζήτει.

Varietatem lectionis et annotationes criticas, quas Editor propter gravium occupationum, quibus tenebatur, multitudinem dare nondum potuit, quam primum illas dederit, ſtatim Redemtor libri typis exſcribendas curabit.



W 8523

(2)

ULB Halle 3
007 678 371

W 18

PINDARI

CARMINA

ET

FRAGMENTA

GRAECE

CVM SCHOLIIS INTEGRIS

EMENDATIVS EDIDIT

VARIETATEM LECTIONIS

ADNOTATIONEM CRITICAM

ET INDICES

ADIECIT

CHRISTIANVS DANIEL BECKIVS

Stadt-Gymnasium zu HALLE a/S.

TOMVS SECVNDVS

PYTHIA, NEMEA

LIPSIAE

APVD G. E. BEERIVM

cIↃIↃccxcv

Farbkarte #13 B.I.G.
Blue Cyan Green Yellow Red Magenta White 3/Color Black
Centimetres Inches
Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-842696-p0449-5